A. 8.

# ΠΛΟΥΤΑΡΧΟΣ

# PLVTARCHI CHAERONENSIS
## QVAE SVPERSVNT OMNIA.

CVM ADNOTATIONIBVS VARIORVM
ADJECTAQVE LECTIONIS DIVERSITATE.

OPERA

JOANNIS GEORGII HVTTEN
PHILOS. MAG. ET COLL. DENKENDORF. PROFESSORIS.

*VOLVMEN DUODECIMVM*

TVBINGAE
IMPENSIS JOANNIS GEORGII COTTAE
MDCCC.

4001

92399
II

# PLVTARCHI
# OPERVM MORALIVM
ET
# PHILOSOPHICORVM
*PARS SEXTA.*

## *Continentur hoc Volumine*


LIX. ΕΡΩΤΙΚΟΣ. Pag. 1.
Amatorius Liber.

LX. ΕΡΩΤΙΚΑΙ ΔΙΗΓΗΣΕΙΣ. 69.
Amatoriae narrationes.

LXI. ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΜΑΛΙΣΤΑ ΤΟΙΣ ΗΓΕΜΟΣΙ ΔΕΙ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΔΙΑΛΕΓΕΣΘΑΙ. 79.
Maxime cum principibus Viris Philofopho effe differendum.

LXII. ΠΡΟΣ ΗΓΕΜΟΝΑ ΑΠΑΙΔΕΥΤΟΝ. 89.
Ad Principem ineruditum.

LXIII. ΕΙ ΠΡΕΣΒΥΤΕΡΩ ΠΟΛΙΤΕΥΤΕΟΝ. 99.
An Seni Respublica gerenda fit.

LXIV. ΠΟΛΙΤΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ. 137.
Praecepta gerendae reipublicae.

LXV. ΠΕΡΙ ΜΟΝΑΡΧΙΑΣ ΚΑΙ ΔΗΜΟΚΡΑΤΙΑΣ ΚΑΙ ΟΛΙΓΑΡΧΙΑΣ. 203.
De Unius in Republica Dominatione, populari Statu, & paucorum Imperio.

LXVI. ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΔΑΝΕΙΖΕΣΘΑΙ. Pag. 207.
De vitando aere alieno.

LXVII. ΒΙΟΙ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ. 220.
Decem Oratorum Vitae.

LXVIII. ΣΥΓΚΡΙΣΕΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΑΙ ΜΕΝΑΝΔΡΟΥ ΕΠΙΤΟΜΗ. 280.
Ariſtophanis & Menandri Comparatio.

LXIX. ΠΕΡΙ ΤΗΣ ΗΡΟΔΟΤΟΥ ΚΑΚΟΗΘΕΙΑΣ. 285.
De Herodoti malignitate.

LXX. ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ. ΒΙΒΛΙΑ Ε'. 345.
De Placitis Philoſophorum.

## ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

α'. Τί ἐστι φύσις.

β'. Τίνι διαφέρει ἀρχὴ καὶ στοιχεῖον.

γ'. Περὶ τῶν ἀρχῶν, τί εἰσιν.

δ'. Πῶς συνέστηκεν ὁ κόσμος.

ε'. Εἰ ἓν τὸ πᾶν.

ς'. Πόθεν ἔσχον ἔννοιαν θεοῦ ἄνθρωποι.

ζ'. Τίς ἐστιν ὁ θεός.

η'. Περὶ δαιμόνων καὶ ἡρώων.

θ'. Περὶ ὕλης.

ι'. Περὶ ἰδέας.

ια'. Περὶ αἰτίων.

ιβ'. Περὶ σωμάτων.

ιγ'. Περὶ ἐλαχίστων.

ιδ'. Περὶ σχημάτων.

ιε'. Περὶ χρωμάτων.

ιϛ'. Περὶ τομῆς σωμάτων.

ιζ'. Περὶ μίξεως καὶ κράσεως.

ιη'. Περὶ κενοῦ.

ιθ'. Περὶ τόπου.

κ'. Περὶ χώρας.

κα'. Περὶ χρόνου.

κβ'. Περὶ οὐσίας χρόνου.

κγ'. Περὶ κινήσεως.

κδ'. Περὶ γενέσεως καὶ φθορᾶς.

κε'. Περὶ ἀνάγκης.

κϛ'. Περὶ οὐσίας ἀνάγκης.

κζ'. Περὶ εἱμαρμένης.

κη'. Περὶ οὐσίας εἱμαρμένης.

κθ'. Περὶ τύχης.

λ'. Περὶ φύσεως.

## ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ.

α'. Περὶ κόσμου.

β'. Περὶ σχήματος κόσμου.

γ'. Εἰ ἔμψυχος ὁ κόσμος καὶ προνοίᾳ διοικούμενος.

δ'. Εἰ ἄφθαρτος ὁ κόσμος.

ε'. Πόθεν τρέφεται ὁ κόσμος.

ϛ'. Ἀπὸ ποίων στοιχείων ἤρξατο κοσμοποιεῖν ὁ θεός.

ζ'. Περὶ τάξεως τοῦ κόσμου.

η'. Τίς ἡ αἰτία τοῦ τὸν κόσμον ἐγκεκλίσθαι.

θ'. Περὶ τοῦ ἐκτὸς τοῦ κόσμου, εἰ ἔστι κενόν.

ι'. Τίνα δεξιὰ τοῦ κόσμου, καὶ τίνα ἀριστερά.

ια'. Περὶ οὐρανοῦ, τίς ἡ τούτου οὐσία.

ιβ'. Περὶ διαιρέσεως οὐρανοῦ, εἰς πόσους κύκλους διαιρεῖται.

ιγ'. Τίς ἡ οὐσία τῶν ἀστέρων, καὶ πῶς συνεστήκασι.

ιδ'. Περὶ σχημάτων ἀστέρων.

ιε'. Περὶ τάξεως ἀστέρων.

ιϛ'. Περὶ τῆς τῶν ἀστέρων φορᾶς καὶ κινήσεως.

ιζ'. Πόθεν φωτίζονται οἱ ἀστέρες.

ιη'. Περὶ τῶν ἀστέρων τῶν καλουμένων διοσκούρων.

ιθ'. Περὶ ἐπισημασίας ἀστέρων, καὶ πῶς γίνεται χειμὼν καὶ θέρος.

κ'. Περὶ οὐσίας ἡλίου.

κα'. Περὶ μεγέθους ἡλίου.

κβ'. Περὶ σχήματος ἡλίου.

κγ'. Περὶ τροπῶν ἡλίου.

κδ'. Περὶ ἐκλείψεως ἡλίου.

κε'. Περὶ οὐσίας σελήνης.

κϛ΄. Περὶ μεγέθους σελήνης.

κζ΄. Περὶ σχήματος σελήνης.

κη΄. Περὶ φωτισμῶν σελήνης.

κθ΄. Περὶ ἐκλείψεως σελήνης.

λ΄. Περὶ ἐμφάσεως αὐτῆς, διὰ τί γεώδης φαίνεται.

λα΄. Περὶ ἀποστήματος σελήνης, ὃ ἀφέστηκε τοῦ ἡλίου.

λβ΄. Περὶ ἐνιαυτῶν, πόσος ἑκάστου τῶν πλανωμένων ὁ μέγας ἐνιαυτός.

## ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

α΄. Περὶ γαλαξίου κύκλου.

β΄. Περὶ κομητῶν, καὶ διαττόντων, καὶ δοκίδων.

γ΄. Περὶ βροντῶν, ἀστραπῶν, κεραυνῶν, πρηστήρων καὶ τυφώνων.

δ΄. Περὶ νεφῶν, ὑετῶν, χιόνων, χαλαζῶν.

ε΄. Περὶ ἴριδος.

ϛ΄. Περὶ ῥάβδων.

ζ΄. Περὶ ἀνέμων.

η΄. Περὶ χειμῶνος καὶ θέρους.

θ΄. Περὶ γῆς, καὶ τίς ἡ οὐσία αὐτῆς, καὶ πόση.

ι΄. Περὶ σχήματος γῆς.

ια΄. Περὶ θέσεως γῆς.

ιβ΄. Περὶ ἐγκλίσεως γῆς.

ιγ΄. Περὶ κινήσεως γῆς.

ιδ΄. Περὶ διαιρέσεως γῆς, πόσαι αὐτῆς εἰσι ζῶναι.

ιε. Περὶ σεισμῶν γῆς.

ιϛ'. Περὶ θαλάσσης, πῶς συνέςη, καὶ πῶς ἐςὶ πικρά.

ιζ'. Πῶς ἀμπώτιδες γίνονται καὶ πλημμύραι.

ιη'. Περὶ ἅλω.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΒΙΒΛΙΟΥ.

α'. Περὶ Νείλȣ ἀναβάσεως.

β'. Περὶ ψυχῆς.

γ'. Εἰ σῶμα ἡ ψυχὴ, καὶ τίς ἡ ȣσία αὐτῆς.

δ'. Περὶ μερῶν ψυχῆς.

ε. Τί τὸ τῆς ψυχῆς ἡγεμονικὸν, καὶ ἐν τίνι ἐςίν.

ϛ'. Περὶ κινήσεως ψυχῆς.

ζ'. Περὶ ἀφθαρσίας ψυχῆς.

η'. Περὶ αἰθήσεων καὶ αἰθητῶν.

θ'. Εἰ ἀληθεῖς αἱ αἰθήσεις καὶ αἱ φαντασίαι.

ι. Πόσαι εἰσὶν αἱ αἰσθήσεις.

ια'. Πῶς γίνεται ἡ αἴσθησις καὶ ἡ ἔννοια, καὶ ὁ κατὰ διάθεσιν λόγος.

ιβ'. Τίνι διαφέρει φαντασία, φανταςικὸν, φάντασμα.

ιγ'. Περὶ ὁράσεως, καὶ πῶς ὁρῶμεν.

ιδ'. Περὶ κατοπτρικῶν ἐμφάσεων.

ιε. Εἰ ὁρατὸν τὸ σκότος.

ιϛ'. Περὶ ἀκοῆς.

ιζ'. Περὶ ὀσφρήσεως.

ιη'. Περὶ γεύσεως.

ιθ'. Περὶ φωνῆς.

κ'. Εἰ ἀσώματος ἡ φωνὴ, καὶ πῶς ἠχὼ γίνεται.

κα. Πόθεν αἰσθητικὴ γίνεται ἡ ψυχὴ, καὶ τί αὐτῆς τὸ ἡγεμονικόν.

κβ'.

κβ'. Περὶ ἀναπνοῆς.

κγ'. Περὶ παθῶν σωματικῶν, καὶ εἰ συναλγεῖ τέτοις ἡ ψυχή.

## ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΕΜΠΤΟΥ ΒΙΒΛΙΟΥ.

α. Περὶ μαντικῆς.

β'. Πῶς ὄνειροι γίνονται.

γ'. Τίς ἡ ἐσία τε σπέρματος.

δ'. Εἰ σῶμα τὸ σπέρμα.

ε. Εἰ καὶ αἱ θήλειαι προΐενται σπέρμα.

ς'. Πῶς αἱ συλλήψεις γίνονται.

ζ'. Πῶς ἄῤῥενα γίνεται καὶ θήλεα.

η'. Πῶς τέρατα γίνεται.

θ'. Διὰ τί ἡ γυνὴ πολλάκις συνεσιάζεσα ἐ συλλαμβάνει.

ι. Πῶς δίδυμα καὶ τρίδυμα γίνεται.

ια. Πόθεν γίνονται τῶν γονέων ὁμοιώσεις, καὶ τῶν προγόνων.

ιβ'. Πῶς ἄλλοις γίνονται ὅμοιοι καὶ ἐ τοῖς γονεῦσι.

ιγ'. Πῶς σεῖραι γίνονται γυναῖκες, καὶ ἄγονοι ἄνδρες.

ιδ'. Διὰ τί αἱ ἡμίονοι σεῖραι.

ιε. Εἰ τὸ ἔμβρυον ζῶον.

ις'. Πόθεν τρέφεται τὰ ἔμβρυα.

ιζ'. Τί πρῶτον τελεσιεργεῖται ἐν τῇ γασρί.

ιη'. Διὰ τί τὰ ἑπταμηνιαῖα γόνιμα.

ιθ'. Περὶ ζώων γενέσεως· πῶς ἐγένοντο ζῶα, καὶ εἰ φθαρτά.

κ'. Πόσα γένη ζώων, καὶ εἰ πάντα αἰσθητὰ καὶ λογικά.

κα. Ἐν πόσῳ χρόνῳ μορφῦται τὰ ζῶα ἐν τῇ γασρὶ ὄντα.

κβʹ. Ἐκ ποίων συνίσαται ϛοιχείων ἕκασον τῶν ἐν ἡμῖν γονικῶν μορίων.

κγʹ. Πότε καὶ πῶς ἄρχεται ὁ ἄνθρωπος τῆς τελειότητος.

κδʹ. Πῶς ὕπνος γίνεται, ἢ θάνατος.

κεʹ. Ὁποτέρε ἐςὶν ὕπνος ἢ θάνατος, ψυχῆς, ἢ σώματος.

κϛʹ. Πῶς ηὐξήθη τὰ φυτὰ, καὶ εἰ ζῶα.

κζʹ. Περὶ τροφῆς καὶ αὐξήσεως.

κηʹ. Πόθεν αἱ ὀρέξεις γίνονται τοῖς ζώοις καὶ ἡδοναί.

κθʹ. Πῶς γίνεται ὁ πυρετὸς, καὶ εἰ ἐπιγέννημά ἐςι.

λʹ. Περὶ ὑγείας, καὶ νόσε, καὶ γήρως.

---

LECTO-

# LECTORI CVLTORIQVE
## *PLVTARCHI*

S. P. D.

JOANNES GEORGIVS HVTTEN.

Pro instituti nostri ratione pauca sunt, Benevole Lector! quae *Sextum* hoc *Plutarchi Operum Moralium & Philosophicorum Volumen* Tuae benignitati & indulgentiae commendaturus, de peculiaribus, quae mihi in eo curando obtigerunt, subsidiis praemoneam.

Opusculorum, quae inscripta sunt: *Maxime cum principibus Viris Philosopho esse disputandum*, et *ad Principem ineruditum*, latinas consului *Erasmi* interpretationes, cum aliis *de discrimine adulatoris et amici*, & *de utilitate ab inimicis capienda*, junctim in lucem editas Basileae MDXVI apud Jo. Frobenium.

Singularis porro mihi ad manus fuit editio *Praeceptorum Reipublicae gerendae*, forma octava Argentorati

torati vulgata MDXCVIII hoc titulo: *Plutarchi Chaeronensis Reipub. Gerendae Praecepta. In usum Scholarum seorsim cum versione latina Wilhelmi Xylandri, et resolutione brevi Melchioris Junii, Eloquentiae Argentinensi in Academia Professoris edita. Excudebat Antonius Bertramus.* Textu autem mere e prioribus editionibus repetito, mendisque insuper scatente typographicis, ad criticum usum plane nihil valere potuit. Cum meo exemplari chartae essent interſertae, in quibus, seriore quodam possessore teste, Koenigius Professor Altorfinus varia adscripsit, mentione simul codicis manuscripti facta: inde aliquid lucri me acquisiturum speravi. At fefellit me opinio. Notae istae solum ad ipsum libri argumentum spectarunt; & in commemorando codice ille Vir satis habuisse videtur exacte singula istius fragmenta designare, ubi incipiant & desinant *), nulla addita ulteriori descriptione, neque ullo alio studii critici apparente vestigio.

Libellum de *vitando aere alieno* in vernaculam transtulit *Nuischelerus* **), saepius jam a nobis laudatus.

Ad

*) ex gr. ad pag. 144. nostrae editionis lin. 10. nota legitur: *Ms. Ruperti in 8. incipit*; ad pag. autem 148. lin. 4: *Hucusque Ms. Ruperti in 8.* Iterum ad initium cap. X. pag. 153. legitur: *Incipit Rup. Ms. in 8. compactum*; ad pag. 188. lin. 17. autem: *Ms. Ruperti in 4. p. 80.*; & ad pag. 192. lin. 16. *Hucusque Ms. Ruperti in 4.* iterum p. 195. l. 21: *Ms. Rup. in 8. p. 92*; & pag. 199. l. 5. *Rup. Ms. in 8. p. 145*: denique p. 201. lin. pen. *Hucusque Ms. in 8.*

**) *Auserlesene moralische Schriften von Plutarch. Aus dem Griechischen.* Dritter Band p. 191.

Ad *Vitas decem Oratorum* melius commodiusque adornandas multum desideravi peculiares eorum editiones, quibus istae plerumque adhaerent, persuasum habens, verum esse, quod *Wyttenbachius* *) monet, singulares has vitas, editionibus singulorum Oratorum additas, versas & illustratas multum habere momenti ad criticum usum. At mea librorum copia solam Isocratis vitam mihi suppeditavit, *Brubachianae* **) orationum ejus editioni praemissam. Contuli simul latinam hujus vitae versionem, quam *Hieronymo Wolfio* debemus, unacum ejusdem castigationibus & adnotationibus ***).

Librorum, qui *de Placitis Philosophorum* inscribuntur, tres commemorandae sunt editiones peculiares, quibus mihi uti licuit. Prima est illa, quae *Basileae* ex officina *Joann. Heruagii* MDXXXI prodiit una cum latina *Guil. Budaei* interpretatione, forma 4. minore. Satis quidem nota est ista e commemoratione *Fabricii* Bibl. Gr. IV, 11. p. 361. T. III. At ejus exemplaria adeo rara sunt, ut *Corsinus*, recentior horum librorum editor, quamvis omnes Plutarchi interpretationes atque editiones undique conquisiverit studiosissime, ea se non invenisse fateatur, & vix ullibi reperiri moneat ****). Neque *Beckio*, recentissimo editori, neque *Wyttenbachio* melior sors obtigit. Quare non mirum, quod mihi ipse de acquisito meo exem-

*) in Prolegom. pag. CLXVII.

**) Francof. 1540. in 8.

***) Isocratis Orationes omnes — e Graeco in Latinum conversae per Hier. Wolfium — Basileae per Joann. Oporinum MDXLVIII. in fol.

****) in Plutarchi Vita, quam editioni praemisit, pag. XXI.

exemplari sim gratulatus. Plena libri inscriptio haec est: „Πλουταρχου Χαιρωνεως περι των αρεσκοντων τοις φιλοσοφοις, φυσικων δογματων επιτομης, βιβλια πεντε. *Eiusdem operis addita est Guilielmi Budaei interpretatio latina.*“ Verba, quae hic leguntur, φυσικῶν δογμάτων ἐπιτομῆς absunt a singulorum librorum inscriptionibus. Graecus textus progreditur usque ad paginam 80. Inde sequitur Budaei versio, praemissa epistola ad Germanum Ganeium Parlamentarem consiliarium, & Beluacensis ecclesiae Decanum *). Paginae totius libri complent numerum 166. Sufficiant haec de forma externa. Quaeret haud dubie nonnemo, quid de interno pretio censendum sit. Paucissimis dicam, quae sentio. Ad textum Graecum reconcinnandum, vel ad novas easque meliores lectiones colligendas & constituendas parum sane subsidii mihi adferre videtur haec editio ei, cui Aldino uti licet exemplari, unde textum repetitum esse censeo. Unum alterumve typographicum hujus mendum in ista correctum legi, haud negaverim: at fortassis multo plura irrepserunt, in quibus observandis notandisque diutius versari nec mihi lubuit, nec in hac Voluminis parte, quam aliarum subjectarum animadversionum copia justo uberiorem arbitreris, utile duxi. Ex his tamen ipsis, quae notavi, non dubito, quin mei judicii rationes, ne dicam veritatem, facile quivis colligat **).

Altera

*) Meis usibus amice oblata fuit alia ejusdem versionis editio, a *Corsino* non commemorata, quae prodiit Argentorati ex aedibus Schurerianis MDXVI. form. 4. min.

**) Aliud rarissimae hujus editionis exemplar, quod olim usui Virorum celeberrimorum, & Medici *Jani Cornarii*, & deinde *Fabricii* inserviit, innotuit mihi ex literis amicissimis

Altera eſt, qua *Eduard. Corſinus* de his libris meruit, hoc titulo inſignita: Πλȣταρχȣ περι των ἀρεσκόντων τοις φιλοσοφοις βιβλια ε. *Plutarchi de Placitis Philoſophorum Libri V. Latine reddidit, recenſuit, adnotationibus, variantibus lectionibus, diſſertationibus illuſtravit Eduardus Corſinus Cler. Reg Scholarum Piarum in Piſana Acad Philoſophiae Profeſſor. Florentiae CIƆCCL. ex Imp. Typographio* forma 8 maj. Finita dedicatione, praemiſſa eſt vita Plutarchi, multo ſtudio elaborata. Sequitur porro ſyllabus philoſophorum, quorum placita in his libris proferuntur, nec non index, ſingula loca exhibens, in quibus Philoſophi cujusque placita memorantur. Lectionum varietas eadem eſt, quam editioni Operum Plutarchi Francofurtanæ ſubjunctam noſcimus. Diſſertationes adhaerent libro duae, quarum prior difficiliora quaedam Plutarchi loca ſeu obſcuriora placita exponit, poſterior nonnulla decreta a Plutarcho memorata cum recentiorum placitis confert. Quid de editione hac cenſendum ſit, alii jam ſatis declararunt. Ita quidem *Beckius*: „nec in textu conſtituendo, nec in verſione interpolanda ſatis opera ceſſit Corſino.“ & *Wyttenbachius*: „Stobaeum, Galenum, Euſebium diligenter contulit; ex ſcriptis libris aut conjecturae ſagacitate nil novae emendationis attulit: ex rerum intelligentia nonnihil accendit lucis. Excellentis doctrinae fuit vir Corſinus: eumque minus ex hoc quam ex aliis de Hiſtoria & antiquitate ſcriptis ab eo libris cenſemus. In quibus ipſis adeo major futura erat praeſtantia, ſi major

ſimis, quas de eo benevole mecum communicando ad me ſcripſit *Schulzius*, Scholae regiae, quae *Slesvici* floret, Conrector meritiſſimus, qui nunc ejusdem eſt poſſeſſor.

jor in ipso Corsino fuisset Grammaticae rationis facultas, quae plurimum valet ad sententiam auctorum & recte percipiendam, & conjectura restituendam."

Tertia denique & recentissima est *Beckiana*, hac inscriptione Lipsiae MDCCLXXXVII. forma 8. minore edita: *Plutarchi de Physicis Philosophorum Decretis Libri quinque, Emendatiores edidit et lectionis varietatem adjecit Chr. Dan. Beckius Gr. et L. L Prof. Ord.* Omnem meum laborem hac editione eximie fuisse adjutum, lubentissime fateor, & cum gratissimi animi sensu praedico. Singularem praestitit operam Viro Celeberrimus in comparandis Galeni, Stobaei & Eusebii libris; alios, qui decreta philosophorum tradiderunt, studiose consuluit; Ea, quae ad emendandum nostrum scriptorem ex Mosquensis bibliothecae thesauris a Viro Cl. Jo. Friderico Matthaei prolata fuerunt, adhibuit, non neglecto variarum lectionum apparatu, Francofurtanae editioni adjecto; Corsini, Reiskii, aliorumque Criticorum observationibus diligentissime est usus. Quid plura? Omnia me monuerunt, ut eo potissimum duce mea via incederem.

Vale, Benevole Lector! Fave Plutarcho nostro! Fave mihi! Dabam Denkendorfii Cal. Mart. MDCCC.

---

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ
## ΕΡΩΤΙΚΟΣ.

Φλαουιανος. Ἐν Ἑλικῶνι φὴς, ὦ Αὐτόβȣλε, τȣς περὶ Ἔρωτος λόγȣς γενέσθαι, ȣ̃ς εἴτε γραψάμενος, εἴτε καταμνημονεύσας, τῷ πολλάκις ἐπανερέσθαι τὸν πατέρα, νυνὶ μέλλεις ἡμῖν δεηθεῖσιν ἀπαγγέλλειν.

Αὐτοβȣλος. Ἐν Ἑλικῶνι παρὰ ταῖς Μȣ́σαις, ὦ Φλαουϊανὲ, τὰ ἐρωτικὰ Θεσπιέων ἀγόντων· ἄγȣσι γὰρ ἀγῶνα πενταετηρικὸν, ὥσπερ καὶ ταῖς Μȣ́σαις, καὶ τῷ Ἔρωτι, φιλοτίμως πάνυ καὶ λαμπρῶς.

Φλαου. Οἶσθα ȣ̃ν, ὃ σȣ̃ [1] μέλλομεν δεῖσθαι πάντες οἱ πρὸς τὴν ἀκρόασιν ἥκοντες;

Αὐτοβ. Οὐκ· ἀλλ' εἴσομαι λεγόντων.

Φλαου. Ἄφελε τȣ̃ λόγȣ τὸ νῦν ἔχον ἐποποιῶν [2] τε λειμῶνας καὶ σκιὰς, καὶ ἅμα κιττȣ̃ τε καὶ λάκκων [3] διαδρομὰς, καὶ ὅσα ἄλλα τοιȣ́των τόπων ἐπιλαβό-

1 Ita Xyl. vertit, & R. dandum monuit — *quod a te* — pro vulg. ὅσον, dedique cum W. adsentiente Mez. & proxime accedente E. ὅσȣ.

2 Bal. ἐμποιῶν; Ita etiam Xyl, teste W.

3 B. E. σμιλάκων.

λαβόμενοι [1] γλίχονται τὸν Πλάτωνος Ἰλισσὸν [2], καὶ τὸν ἄγνον ἐκεῖνον, καὶ τὴν ἠρέμα προσάντη πόαν πεφυκυῖαν, προθυμότερον ἢ κάλλιον ἐπιγράφεσθαι [3].

Αὐτοβ. Τί δὲ δεῖται τοιούτων, ὦ ἄριστε Φλαουϊανὲ, προοιμίων ἡ διήγησις; εὐθὺς ἡ [4] πρόφασις, ἐξ ἧς ὡρμήθησαν οἱ λόγοι, χορὸν αἰτεῖ τῷ πάθει, καὶ σκηνῆς δεῖται, τά τ' ἄλλα δράματος οὐδὲν ἐλλείπει· μόνον εὐχώμεθα τῇ μητρὶ τῶν Μουσῶν, ἵλεω εἶναι [5], καὶ συναναπώζειν τὸν μῦθον.

II. Ὁ γὰρ πατὴρ, ἐπεὶ πάλαι, πρὶν ἡμᾶς γενέσθαι, τὴν μητέρα νεωστὶ κεκομισμένος [6] ἐκ τῆς γενομένης τοῖς γονεῦσιν αὐτῶν διαφορᾶς καὶ στάσεως, ἀφίκετο τῷ Ἔρωτι θύσων ἐπὶ τὴν ἑορτὴν, ἦγε [7] τὴν μητέρα· καὶ γὰρ ἦν ἐκείνης ἡ εὐχὴ καὶ θυσία· τῶν δὲ φίλων οἴκοθεν μὲν αὐτῷ παρῆσαν οἱ συνήθεις, ἐν δὲ Θεσπιαῖς εὗρε Δαφναῖον τὸν Ἀρχιδάμου, Λυσάνδρας [8] ἐρῶντα τῆς Σίμωνος, καὶ μάλιστα τῶν μνωμένων αὐτὴν εὐημεροῦντα, καὶ Σώκλαρον ἐκ Τιθόρας [9] ἥκοντα τὸν Ἀριστίωνος· ἦν δὲ καὶ Πρωτογένης ὁ Ταρσεὺς, καὶ Ζεύξιππος ὁ Λακεδαιμόνιος, ξένοι· Βοιωτῶν δὲ, ὁ πατὴρ

1 R. susp. τόπων, ὧν ἐπιλαβόμ.

2 alluditur ad locum Platon. Opp. Vol. X. p. 284 sqq. ed. Bip.

3 R. susp. ἀπογράφεσθαι, *exscribere*, monens, vulgatam, si bene habeat, significare *suum facere*, *pro suo venditare*.

4 Vulgo abest articulus ἡ. Eum, R. jubente, restitui e Bas. Xyl. Mez. cum W.

5 E. ἵλεω παρεῖναι.

6 Sic e Bas. legendum monuit R. dedique cum W. consentientibus Ald. Xyl. B. E. Vulgo κεκοσμημένος.

7 Vulgo καὶ ἦγε. Delevi καὶ cum W. e consensu omnium librorum Ald. Bas. Xyl. B. E. Stephanus id dedit ex Leonic. & Schott.

8 Secutus sum W. ita dantem e Leonic. Schott. Mez. Amiot. & vers. Xyl. pro vulg καὶ Λύσανδρον.

9 R. quaerit, num Τιθορέας, Pausania sic appellante?

πατὴρ ἔφη, τῶν γνωρίμων τὰς πλείςας παρεῖναι. δύο μὲν ἂν ἢ τρεῖς ἡμέρας κατὰ πόλιν, ὡς ἔοικεν, ἡσυχῇ πως φιλοσοφοῦντες ἐν ταῖς παλαίςραις καὶ διὰ τῶν θεάτρων ἀλλήλοις συνῆσαν· ἔπειτα φεύγοντες ἀργαλέον ἀγῶνα κιθαρῳδῶν, ἐντεύξεσι καὶ σπουδαῖς προειλημμένον, ἀνέζευξαν οἱ πλείους, ὥσπερ ἐκ πολεμίας, εἰς τὸν Ἑλικῶνα, καὶ κατηυλίσαντο παρὰ ταῖς Μούσαις· ἕωθεν οὖν ἀφίκοντο [1] πρὸς αὐτοὺς Ἀνθεμίων καὶ Πεισίας, ἄνδρες ἔνδοξοι, Βάκχωνι δὲ, τῷ καλῷ λεγομένῳ, προσήκοντες, καὶ τρόπον τινὰ δι' εὔνοιαν ἀμφότεροι τὴν ἐκείνου διαφερόμενοι πρὸς ἀλλήλους. ἦν γὰρ ἐν Θεσπιαῖς Ἰσμηνοδώρα, γυνὴ πλούτῳ καὶ γένει λαμπρὰ, καὶ νὴ Δία τὸν ἄλλον εὔτακτος βίον· ἐχήρωσε γὰρ οὐκ ὀλίγον χρόνον ἄνευ ψόγου, καίπερ οὖσα νέα καὶ ἱκανὴ τὸ εἶδος· τῷ δὲ Βάκχωνι φίλης ὄντι καὶ συνήθους γυναικὸς υἱῷ πράττουσα γάμον κόρης κατὰ γένος προσηκούσης, ἐκ τοῦ συμπαρεῖναι καὶ διαλέγεσθαι πολλάκις, ἔπαθε [2] πρὸς τὸ μειράκιον αὐτή· καὶ λόγους φιλανθρώπους ἀκούουσα καὶ λέγουσα περὶ αὐτοῦ, καὶ πλῆθος ὁρῶσα γενναίων ἐραςῶν, εἰς τὸ ἐρᾷν προήχθη· καὶ διενοεῖτο μηθὲν ποιεῖν ἀγενὲς, ἀλλὰ γημαμένη φανερῶς συγκαταζῆν τῷ Βάκχωνι. παραδόξου δὲ τοῦ πράγματος αὐτοῦ [3] φανέντος, ἥ τε μήτηρ ὑφεωρᾶτο τὸ βάρος τοῦ οἴκου καὶ τὸν ὄγκον, ὡς οὐ κατὰ τὸν ἐραςήν· τινὲς δὲ καὶ συγκυνηγοὶ τῷ μὴ καθ' ἡλικίαν τῆς Ἰσμηνοδώρας δεδιττόμενοι τὸν Βάκχωνα καὶ σκώπτοντες, ἐργωδέςεροι τῶν ἀπὸ σπουδῆς ἐνιςαμένων ἦσαν ἀνταγωνιςαὶ πρὸς τὸν γάμον. ᾐδεῖτο γὰρ ἔφηβος ἔτι ὢν χήρᾳ συνοικεῖν· οὐ μὴν ἀλλὰ τοὺς ἄλλους ἐάσας, παρεχώρησε [4] τῷ Πεισίᾳ καὶ



1 Non dubitavi ita cum Mez. probante W. reponere pro vulg. ἀφίκετο.

2 Malim cum W. ἔπαθέ τι.

3 R. mavult αὐτοῖς.

4 Sic cum W. ex Baf. & Xyl. restitui, Ald. prope accedente

καὶ τῷ Ἀνθεμίωνι βουλεύσασθαι τὸ συμφέρον. ὧν ὁ μὲν [1] ἀνεψιὸς αὐτοῦ ἦν πρεσβύτερος [2], ὁ δὲ Πεισίας αὐστηρότατος τῶν ἐραστῶν [3]. διὸ καὶ πρὸς τὸν γάμον ἀντέπραττε, καὶ καθήπτετο τοῦ Ἀνθεμίωνος, ὡς προϊεμένου τῇ Ἰσμηνοδώρᾳ τὸ μειράκιον· ὁ δ' ἐκεῖνον οὐκ ὀρθῶς ἔλεγε ποιεῖν, ἀλλὰ τὰ ἄλλα χρηστὸν ὄντα, μιμεῖσθαι τοὺς φαύλους ἐραστὰς, οἴκου καὶ γάμου καὶ πραγμάτων μεγάλων ἀποστεροῦντα τὸν φίλον, ὅπως ἄθικτος αὐτῷ [4] καὶ νεαρὸς ἀποδύοιτο πλεῖστον χρόνον ἐν ταῖς παλαίστραις.

III. Ἵνα οὖν μὴ παροξύνοντες ἀλλήλους κατὰ μικρὸν εἰς ὀργὴν προαγάγοιεν, ὥσπερ διαιτητὰς ἑλόμενοι καὶ βραβευτὰς τὸν πατέρα καὶ τοὺς σὺν αὐτῷ, παρεγένοντο· καὶ τῶν ἄλλων φίλων, οἷον ἐκ παρασκευῆς, τῷ μὲν ὁ Δαφναῖος παρῆν, τῷ δὲ ὁ Πρωτογένης· ἀλλ' οὗτος μὲν ἀνέδην ἔλεγε κακῶς τὴν Ἰσμηνοδώραν· ὁ δὲ Δαφναῖος· Ὦ Ἡράκλεις, (ἔφη) τί οὐκ ἄν τις προσδοκήσειεν, εἰ καὶ Πρωτογένης Ἔρωτι πολεμήσων πάρεστιν, ᾧ καὶ παιδιὰ [5] πᾶσα καὶ σπουδὴ περὶ Ἔρωτα καὶ δι' Ἔρωτος,

Λήθη μὲν λόγων, λήθη [6] δὲ πάτρας,

ἐκ

dente παραχωρῆσαι Vulgo παραχωρεῖται, quod Steph. sumsit a Leonic. Schott. Anon. non dissentientibus B. E.

1 Sic R. legi voluit, dedique ex Ald. & Bas. Vulgo abest μὲν. W. idem recepit ex B. E. Bas. Mez.

2 R. susp. πρεσβύτατος.

3 Xyl. judice, deest vox ἀντίδικος, aut similis, quae impugnationem designet.

4 Ald. Bas ἄθλιατος αὐτῶν. Steph. dedit vulgatam ex Leonic. & Schott. consentiente E. in voc. ἄθικτος, rell. omnibus, W. teste, ἄθλιατος αὐτῶν exhibentibus. Turn. ἄθηκτος αὐτῷ.

5 Sic R. legendum monuit — *ludus & jocus omnis* — opponendo τῇ σπουδῇ, *serio*. dedique cum W. idem e Xyl. & Mez. sumente. Vulgo παιδεία.

6 Vulgo ex Steph. bis legitur λήθῃ in dat. Utrumque R. corrigendum monuit in λήθη nomin. Dedi sic ex Ald. & Bas. In utraque etiam pro μὲν extat δέ.

οὐχ ὡς τῷ Λαΐῳ πέντε μόνον ἡμερῶν ἀπέχοντι τῆς πατρίδος· βραδὺς γὰρ ὁ ἐκείνου [1] καὶ χερσαῖος Ἔρως· ὁ δὲ σὸς ἐκ Κιλικίας Ἀθήναζε

— λαιψηρὰ κυκλώσας [2] πτερὰ,

διαπόντιος πέταται, τοὺς καλοὺς ἐφορῶν καὶ συμπλανώμενος. ἀμέλει γὰρ ἐξ ἀρχῆς ἐγεγόνει τοιαύτη τις αἰτία τῷ Πρωτογένει τῆς ἀποδημίας.

IV. Γενομένου δὲ γέλωτος, ὁ Πρωτογένης· Ἐγὼ δέ σοι δοκῶ (εἶπεν) Ἔρωτι νῦν πολεμεῖν, οὐχ ὑπὲρ Ἔρωτος διαμάχεσθαι πρὸς ἀκολασίαν καὶ ὕβριν αἰχίστοις [3] πράγμασι καὶ πάθεσιν εἰς τὰ κάλλιστα καὶ σεμνότατα τῶν ὀνομάτων εἰσβιαζομένην; καὶ ὁ Δαφναῖος· Αἴσχιστα δὲ καλεῖς (ἔφη) γάμον καὶ σύνοδον ἀνδρὸς καὶ γυναικὸς, ἧς οὐ γέγονεν οὐδ' ἔστιν ἱερωτέρα κατάζευξις; Ἀλλὰ ταῦτα μὲν, (εἶπεν ὁ Πρωτογένης) ἀναγκαῖα πρὸς γένεσιν ὄντα, σεμνύνουσιν οὐ φαύλως οἱ νομοθέται καὶ κατευλογοῦσι πρὸς τοὺς πολλούς· ἀληθινοῦ δ' Ἔρωτος οὐδ' ὁτιοῦν τῇ γυναικωνίτιδι μέτεστιν, οὐδ' ἐρᾶν ὑμᾶς ἔγωγέ φημι τοὺς γυναιξὶ προσπεπονθότας ἢ παρθένοις, ὥσπερ οὐδὲ μυῖα [4] γάλακτος, οὐδὲ μέλιττα κηρίων ἐρῶσιν, οὐδὲ σιτευταὶ καὶ μάγειροι φιλοφρονοῦσι πιαίνοντες ὑπὸ σκότῳ μόσχους καὶ ὄρνιθας. ἀλλ' ὥσπερ ἐπὶ σιτίον ἄγει καὶ ὄψον ἡ φύσις μετρίως καὶ ἱκανῶς τὴν ὄρεξιν, ἡ δὲ ὑπερβολὴ πάθος ἐνεργασαμένη, λαιμαργία τις, ἢ φιλοψία [5] καλεῖται· οὕτως ἔνεστι τῇ φύσει τὸ δεῖσθαι τῆς ἀπ' ἀλλήλων ἡδονῆς γυναῖκας καὶ ἄνδρας, τὴν δ' ἐπὶ τοῦτο κινοῦσαν ὁρμὴν σφοδρότητι καὶ ῥώμῃ [6] γενομένην πολλὴν καὶ δυσκάθεκτον, οὐ προσηκόντως Ἔρωτα καλοῦ-



1 Sic dedi e Turn. V. Bong. pro vulg. ἐκείνων.
2 Ald. κυκλῶσαι.
3 Ald. αἰσχίστως. Turn. V. Bong. αἴσχιστοι.
4 R. mavult μυῖαι, & deinde μέλιτται.
5 Ald. Baſ. φιλοψυχία. Xyl. correxit. R. maluit φιλοψωνία.
6 R. mavult ῥύμῃ.

καλῦσιν. Ἔρως γὰρ εὐφυῦς καὶ νέας ψυχῆς ἁψάμενος εἰς ἀρετὴν διὰ φιλίας τελευτᾷ· ταῖς δὲ πρὸς γυναῖκας ἐπιθυμίαις ταύταις, ἂν ἄριστα πέσωσιν, ἡδονὴν περίεστι καρπῦσθαι καὶ ἀπόλαυσιν ὥρας καὶ σώματος, ὡς ἐμαρτύρησεν Ἀρίστιππος τῷ κατηγορῦντι Λαΐδος πρὸς αὐτὸν, ὡς ȣ̓ φιλῦσης, ἀποκρινάμενος, ὅτι καὶ τὸν οἶνον οἴεται καὶ τὸν ἰχθὺν μὴ φιλεῖν αὐτὸν, ἀλλ᾽ ἡδέως ἑκατέρῳ χρῆται. τέλος γὰρ ἐπιθυμίας, ἡδονὴ καὶ ἀπόλαυσις· Ἔρως δὲ, προσδοκίαν φιλίας ἀποβαλὼν, ȣ̓κ ἐθέλει παραμένειν, ȣ̓δὲ θεραπεύειν ἐφ᾽ ὥρᾳ τὸ λυπῦν [1] καὶ ἀκμάζον, εἰ καρπὸν ἤθȣς οἰκεῖον εἰς φιλίαν καὶ ἀρετὴν ȣ̓κ ἀποδίδωσιν. ἀκȣ́εις δέ τινος τραγικȣ̃ γαμέτȣ λέγοντος πρὸς τὴν γυναῖκα·

Μισεῖς; ἐγὼ δὲ ῥᾳδίως μισήσομαι,
Πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν.

τȣ́τȣ γὰρ ȣ̓δέν ἐστιν ἐρωτικώτερος ὁ μὴ διὰ κέρδος, ἀλλ᾽ ἀφροδισίων ἕνεκα καὶ συνȣσίας, ὑπομένων γυναῖκα μοχθηρὰν καὶ ἄστοργον· ὥσπερ Στρατοκλεῖ τῷ ῥήτορι Φιλιππίδης ὁ κωμικὸς ἐπεγγελῶν [2] ἐποίησεν·

Ἀποστρεφομένης τὴν κορυφὴν φιλεῖς μόλις.

εἰ δ᾽ ȣ̓̃ν καὶ τȣ̃το τὸ πάθος δεῖ καλεῖν Ἔρωτα θῆλυν καὶ νόθον, ὥσπερ εἰς κυνόσαργες [3] συντελῦντα τὴν γυναικωνῖτιν· μᾶλλον δὲ, ὥσπερ ἀετόν τινα λέγȣσι γνήσιον καὶ ὀρεινὸν, ὃν Ὅμηρος [4] μέλανα καὶ θηρευτὴν προσεῖπεν, ἄλλα δὲ γένη νόθων ἐστὶν ἰχθῦς περὶ ἕλη καὶ ὄρνιθας ἀργȣ̀ς λαμβανόντων, ἀπορȣ́μενοι δὲ πολλάκις ἀναφθέγγονταί τι λιμῶδες καὶ ὀδυρτικόν· ȣ̓̃τως Ἔρως

[1] R. susp. τὸ ἀνθῦν aut λιπαρὸν.

[2] Ald. Bas. ἐπαγγελῶν; Xyl. correxit. Turn. V. Bong. ἐπιγελῶν.

[3] Cynosarge Athenis fuit gymnasium, Herculi sacrum, in quo nothi exercebantur. Hinc ἐς κυνόσαργες proverbiali convicio dicebatur. Cf. Themistocl. I. Vol. I. opp. Plut. p. 277. Paulo ante R. susp. leg. Ἔρωτα, θῆλυν δεῖ καλεῖν καὶ νόθον.

[4] Iliad. XXI, 252 sqq.

Ἔρως ὁ γνήσιος, ὁ παιδικός ἐστιν, οὐ πόθῳ στίλβων, ὡς ἔφη τὸν παρθένιον Ἀνακρέων, οὐδὲ μύρων ἀνάπλεως καὶ γεγανωμένος, ἀλλὰ λιτὸν αὐτὸν ὄψει καὶ ἄθρυπτον ἐν σχολαῖς φιλοσόφοις, ἢ που περὶ γυμνάσια καὶ παλαίστρας, περὶ θήραν νέων ὀξὺ μάλα καὶ γενναῖον ἐγκελευόμενον πρὸς ἀρετὴν τοῖς ἀξίοις ἐπιμελείας· τὸν δὲ ὑγρὸν τοῦτον καὶ οἰκουρὸν ἐν κόλποις διατρίβοντα καὶ κλινιδίοις γυναικῶν, ἀεὶ διώκοντα τὰ μαλθακὰ, καὶ θρυπτόμενον ἡδοναῖς ἀνάνδροις καὶ ἀφίλοις καὶ ἀνενθουσιάστοις, καταβάλλειν ἄξιον· ὡς καὶ Σόλων κατέβαλε, δούλοις μὲν γὰρ [1] ἐρᾷν ἀῤῥένων παίδων ἀπεῖπε καὶ ξηρ λοιφεῖν, χρῆσθαι δὲ συνουσίαις γυναικῶν οὐκ ἐκώλυσε. καλὸν γὰρ ἡ φιλία καὶ ἀστεῖον· ἡ δὲ ἡδονὴ, κοινὸν καὶ ἀνελεύθερον. ὅθεν οὐ [2] δοῦλον ἐρᾷν παίδων ἐλευθέριόν ἐστιν, οὐδ' ἀστεῖον· συνουσίας [3] γὰρ οὗτος ὁ Ἔρως, καθάπερ τῶν γυναικῶν.

V. Ἔτι δὲ πλείονα λέγειν προθυμουμένου τοῦ Πρωτογένους, ὑντικρούσας ὁ Δαφναῖος· Εὖ γε νὴ Δία (ἔφη) τοῦ Σόλωνος ἐμνήσθης, καὶ χρηστέον αὐτῷ γνώμονι τοῦ ἐρωτικοῦ ἀνδρὸς,

Ἔσθ' ἥβης [4] ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσῃ
Μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

πρόσλαβε δὲ τῷ Σόλωνι καὶ τὸν Αἰσχύλον λέγοντα·

 — — σέ-

1 Vulgo abest γὰρ; aut id inserendum duxit R. aut ὃς ante δούλοις addendum. Prius observavi cum W. γὰρ ex E. addente. Cf. Solon. I. Vol. I. opp. Plut. p. 197.

2 R. corrigi voluit οὐδὲ δοῦλον; W. οὐδὲ δούλων.

3 Vulgo οὐ συνουσίας, quod Steph. a Leonic. Schott. Anon. sumsit. Ald. οὐσία cum E; B. οὐσίας. Bas. Xyl. οὐ σίνει. Ex hoc dissensu veram se effecisse lectionem, W. monet. Addi vult deinde ὁ ante τῶν γυναικῶν.

4 Ald. Bas. ἐς Θήβης (hinc Xyl. vertit *ad Thebas*) Abest deinde ab iisdem ἱμείρων; & dant σώματος. R. voluit ἔστ' ἥβης, & παῖδα φιλήσῃ.

— — σέβας δὲ μηρῶν οὐ κατηδέσω,
Ὦ δυσχάριςε τῶν πυκνῶν [1] φιλημάτων.

ἕτεροι μὲν γὰρ καταγελῶσιν αὐτῶν, εἰ, καθάπερ θύτας [2] καὶ μάντεις, εἰς τὰ μηρία καὶ τὴν ὀσφὺν ἀποβλέπειν τοὺς ἐραςὰς κελεύουσιν· ἐγὼ δὲ παμμέγεθες τοῦτο ποιοῦμαι σημεῖον ὑπὲρ τῶν γυναικῶν· εἰ γὰρ ἡ παρὰ φύσιν ὁμιλία πρὸς ἄῤῥενας οὐκ ἀναιρεῖ τὴν ἐρωτικὴν εὔνοιαν οὐδὲ βλάπτει, πολὺ μᾶλλον εἰκός ἐςι τῶν γυναικῶν [3] ἢ ἀνδρῶν Ἔρωτα τῇ φύσει χρώμενον εἰς φιλίαν διὰ χάριτος ἐξικνεῖσθαι. χάρις γὰρ οὖν, ὦ Πρωτόγενες, ἡ τοῦ θήλεως ὕπειξις τῷ ἄῤῥενι κέκληται πρὸς τῶν παλαιῶν· ὡς καὶ Πίνδαρος ἔφη, τὸν Ἥφαιςον ἄνευ χαρίτων ἐκ τῆς Ἥρας γενέσθαι· καὶ τὴν οὔπω γάμων ἔχουσαν ὥραν ἡ Σαπφὼ προσαγορεύουσα φησίν, ὅτι·

Σμικρά μοι, παῖ, ἔμμεναι φαίνεαι κἄχαρις [4].

ὁ δὲ Ἡρακλῆς ὑπό τινος ἐρωτᾶται·

Βίᾳ δὲ πράξας [5] χάριτας, ἢ πείσας κόρην.

ἡ δὲ ἀπὸ τῶν ἀῤῥένων ἀκόντων, μετὰ βίας λεγομένη καὶ λεηλασίας [6]. ἂν δὲ ἑκουσίως, σὺν μανίᾳ [7] καὶ θηλύτητι

1 Secutus sum W. ita e Schott. Anon. Turn. V. Bong. sumentem. Vulgo πικρῶν. Pro οὐ κατηδέσω Turn. V. Bong. οὐκ ἐπιδώσω.

2 Secutus sum W. ita ex E. & Mez. dantem pro vulg. θύταις

3 Xyl. vers. & Mez. τὸν γυναικῶν καί; in posteriori W. se non assentiri fatetur. In priori consentit quoque R.

4 R. videnda monet, quae viri docti ad hoc Sapphonis fragmentum p. 65, collectionis Wolfianae annotarint. Ipse quidem susp. ἔμμεν ἀλιτόχαρις, i. e. ἁμαρτάνουσα τῶν χαρίτων, ἐστερημένη τῶν χαρίτων.

5 R. mavult βίᾳ δ᾽ ἔπραξας, vine exegisti gratificationes?

6 R. legi vult ἀκόντων μὲν μετὰ βίας γενομένη κ. λ. W. locum ita constituendum censet: Ἡ δὲ ἀπὸ τῶν ἀῤῥένων ἀκόντων μὲν καὶ μετὰ βίας λεγομένη λεηλασία· ἂν δὲ ἑκουσίων.

7 Pro μανίᾳ vertere Xyl. μαλακίᾳ, & habere B. E. monet W.

λύτητι βαίνεσθαι, κατὰ Πλάτωνα, νόμῳ τετράποδος καὶ παιδοσπορεῖσθαι [1] παρὰ φύσιν ἐνδιδόντων, ἄχαρις παντάπασι καὶ ἀσχήμων καὶ ἀναφρόδιτος. ὅθεν, οἶμαι, καὶ ὁ Σόλων ἐκεῖνα μὲν ἔγραψε νέος ὢν ἔτι καὶ σπέρματος πολλοῦ μεστὸς, ὥς ὁ Πλάτων φησί. ταυτὶ δὲ πρεσβύτης γενόμενος·

Ἔργα δὲ Κυπρογενοῦς μοι νῦν φίλα καὶ Διονύσου,
Καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος τῶν [2] παιδικῶν ἐρώτων ἔν τινι γαλήνῃ τῇ περὶ γάμον καὶ φιλοσοφίαν θέμενος τὸν βίον. εἰ μὲν οὖν τὸ ἀληθὲς σκοποῦμεν, ὦ Πρωτόγενες, ἓν καὶ ταυτόν ἐστι πρὸς παῖδας καὶ γυναῖκας πάθος τὸ τῶν Ἐρώτων· εἰ δὲ βούλοιο φιλονεικῶν διαιρεῖν, οὐ μέτρια δόξειε ποιεῖν ο παιδικὸς οὗτος, ἀλλ' [3] ὥσπερ ὀψὲ γεγονὼς, καὶ παρ' ὥραν τῷ βίῳ νόθος καὶ σκότιος ἐξελαύνειν τὸν γνήσιον Ἔρωτα καὶ πρεσβύτερον. χθὲς γὰρ, ὦ ἑταῖρε, καὶ πρώην μετὰ τὰς ἀποδύσεις καὶ ἀπογυμνώσεις τῶν νέων παραδὺς [4] εἰς τὰ γυμνάσια καὶ προσανατριβόμενος ἡσυχῇ καὶ προσεμβαλὼν, εἶτα κατὰ μικρὸν ἐν ταῖς παλαίστραις πτεροφυήσας, οὐκ ἔτι καθεκτός ἐστιν, ἀλλὰ λοιδορεῖ καὶ προπηλακίζει τὸν γαμήλιον ἐκεῖνον καὶ συνεργὸν ἀθανασίας τῷ θνητῷ γένει, σβεννυμένην ἡμῶν τὴν φύσιν εὐθὺς [5] ἐξανάπτοντα



W. At Xyl. quidem, me judice, vertit μανίᾳ, haec habens: conjunctus mollitiei & insaniae.

1 Ald. Bas. παιδὸς πορεῖσθαι; Turn. V. Bong παιδοπειεῖσθαι.

2 Vulgo καὶ τῶν. Delevi καὶ auctoritate Bas. Idem delevit W. cum Mez.

3 R. pro ἀλλ' aut legendum censuit ἂν, & deinde ἐξελαύνῃ, aut servato ἀλλ', corrigendum ἐξελαύνειν. Dedi hoc cum W. idem e Mez. sumente. Eundem secutus sum καὶ post Ἔρωτα addentem ex B. & E. quod vulgo abest. R. voluit Ἔρωτα, ὄντα πρεσβύτερον.

4 Ald. παραδὺς. Eadem deinde & Bas. προσεγκαλῶν pro προσεμβ.

5 R. pro εὐθὺς mavult αὖθις.

διὰ τῶν γενέσεων. ὅτος δ' ἀρνεῖται τὴν ἡδονήν· αἰχύνεται γὰρ καὶ φοβεῖται· δεῖ δέ τινος εὐπρεπείας ἁπτομένῳ καλῶν καὶ ὡραίων· πρόφασις ὦν, φιλία καὶ ἀρετή· κονίεται δὲ καὶ ψυχρολετεῖ, καὶ τὰς ὀφρῦς αἴρει, καὶ φιλοσοφεῖν φησι καὶ σωφρονεῖν ἔξω, διὰ τὸν νόμον· εἶτα νύκτωρ καὶ καθ' ἡσυχίαν

Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος.

εἰ δὲ (ὥς φησι Πρωτογένης) ὐκ ἔςιν ἀφροδισίων παιδικῶν [1] κοινωνία, πῶς Ἔρως ἐςὶν, Ἀφροδίτης μὴ παρέσης, ἣν εἴληχε θεραπεύειν ἐκ θεῶν καὶ περιέπειν, τιμῆς τε μετέχειν καὶ δυνάμεως, ὅσον ἐκείνη δίδωσιν; εἰ δ' ἔςι τις Ἔρως χωρὶς Ἀφροδίτης, ὥσπερ μέθη χωρὶς οἴνȣ πρὸς σύκινον πόμα καὶ κρίθινον, ἄκαρπον αὐτȣ̃ καὶ ἀτελὲς τὸ ταρακτικόν ἐςι, καὶ πλήσμιον καὶ ἀψίκορον.

VI. Λεγομένων τȣ́των, ὁ Πεισίας ἦν δῆλος ἀγανακτῶν καὶ παροξυνόμενος ἐπὶ τὸν Δαφναῖον. μικρὸν δ' αὐτȣ̃ καταλιπόντος [2]. Ὦ Ἡράκλεις (ἔφη) τῆς εὐχερείας καὶ θρασύτητος· ἀνθρώπȣς ὁμολογȣ̃ντας, ὥσπερ οἱ κύνες, ἐκ μορίων συνηρτῆσθαι [3], πρὸς τὸ θῆλυ μεθιςάναι καὶ μετοικίζειν τὸν θεὸν, ἐκ γυμνασίων καὶ περιπάτων καὶ τῆς ἐν ἡλίῳ καθαρᾶς καὶ ἀναπεπταμένης διατριβῆς εἰς μακελεῖα καὶ κοπίδας καὶ φάρμακα καὶ μαγεύματα καθειργνύμενον ἀκολάςων γυναικῶν· ἐπεὶ [4] ταῖς γε σώφροσιν ὔτ' ἐρᾶν ὔτ' ἐρᾶσθαι δή πȣ προσῆκόν ἐςιν. ἐνταῦθα μέντοι καὶ ὁ πατὴρ ἔφη τȣ̃ Πρωτογένȣς ἐπιλαβέσθαι καὶ εἰπεῖν·

Τόδ'

1 R. voluit aut καὶ παιδικῶν, aut τοῖς παιδικοῖς. W. legendum monet παιδικῷ. In Ald. eſt παιδικῶν ἀκοινωνία.

2 R. ſuſp. μικρὸν δ' ἐπισχὼν αὐτȣ̃ καταλήγοντος, aut αὐτȣ̃ ταῦτα εἰπόντος.

3 Ald. συντῆσθαι; Baſ. συνδῆσθαι; Turn. V. Bong. συνητιτῆσθαι.

4 Ald. Baſ. ἐπί.

Τόδ' ἐξοπλίζειν [1] τȣ̃πος Ἀργεῖον λεών.

καὶ νὴ Δία Δαφναίῳ συνδίκȣς ἡμᾶς προστίθησιν ȣ̓ μετριάζων ὁ Πεισίας, ἀλλὰ τοῖς γάμοις ἀνέραςον ἐπάγων καὶ ἄμοιρον ἐνθέȣ φιλίας κοινωνίαν, ἥν, τῆς ἐρωτικῆς πειθȣ̃ς καὶ χάριτος ἀπολιπȣ́σης, μονονȣ̀ ζυγοῖς καὶ χαλινοῖς ὑπ' αἰσχύνης καὶ φόβȣ μάλα μόλις συνεχομένην ὁρῶμεν. καὶ ὁ Πεισίας· Ἐμοὶ μὲν (εἶπεν) ὀλίγον μέλει τȣ̃ λόγȣ· Δαφναῖον δὲ ὁρῶ ταυτὸν πάσχοντα τῷ χαλκῷ· καὶ γὰρ ἐκεῖνος ȣ̓χ ȣ̈τως ὑπὸ τȣ̃ πυρὸς, ὡς ὑπο τȣ̃ πεπυρωμένȣ χαλκȣ̃ καὶ ῥέοντος, ἂν ἐπιχέῃ τις, διατήκεται καὶ ῥεῖ συνεξυγραινόμενος· καὶ τȣ̃τον ȣ̓κ ἐνοχλεῖ τὸ Λυσάνδρας κάλλος, ἀλλὰ συνδιακεκαυμένῳ καὶ γέμοντι πυρὸς. δ. πολὺν χρόνον [2] ὁ πλησιάζων καὶ ἁπτόμενος ἀναπίμπλαται· καὶ δῆλός ἐςιν, εἰ μὴ ταχὺ φύγοι πρὸς ἡμᾶς, συντακησόμενος. Ἀλλ' ὁρῶ (εἶπε) γινόμενον, ὅπερ ἂν μάλιςα [3] σπȣδάσειεν Ἀνθεμίων, προσκρȣ́οντα τοῖς δικαςαῖς ἐμαυτόν [4]. ὥςε παύομαι. καὶ ὁ Ἀνθεμίων· Ὤνησας, (εἶπεν) ὡς ἔδει γε [5] ἀπ' ἀρχῆς λέγειν τι πρὸς τὴν ὑπόθεσιν.

VII. Λέγω τοίνυν (ὁ Πεισίας ἔφη) προκηρύξας ἐμȣ̃ γε ἕνεκα πάσαις γυναιξὶν ἐραςήν, ὅτι τῆς γυναικὸς ὁ πλȣ̃τός ἐςι φυλακ]έος τῷ νεανίσκῳ, μὴ συμμίξαντες

---

1 R. mavult ἐξοπλίζει cum Xyl.

2 Pro συνδιακεκαυμένῳ Ald. Baſ. συνδιακεκαλυμμένῳ. R. maluit διακεκαυμένῳ absque σὺν. Caetera cum W reliqui, uti extant in Ald. Baſ. B. E. Xyl. ex δ. fecit διὰ cum Leonic. & Schott. ſequenti articulo ὁ omiſſo. Mez. voluit ἤδη. R. conſentit, rectiusque id videtur W. qui, poſſe & τῷδε huic corrigi, monet, articulumque deleri vult, & locum ita vertit: ſed cum hocce (Plutarcho) jam peruſto & ignis pleno dudum degens, ejus contagio afficitur.

3 R. legi vult ὅπερ ὁρᾷν μάλιςα.

4 Vulgo τοῖς δικαςαῖς καὶ ἐμαυτῷ. Secutus ſum in his corrigendis W. qui καὶ cum Mez. delendum cenſuit, & ex eodem & E. ἐμαυτὸν dedit.

5 W. ſuſp. ὅμως ἔδει σε.

ξαντες αὐτὸν ὄγκῳ καὶ βάρει τοσέτῳ, λάθοιμεν ὥσπερ ἐν χαλκῷ κασσίτερον ἀφανίσαντες. μέγα γὰρ ἂν, ἐλαφρᾷ γυναικὶ καὶ λιτῇ μειρακίε συνελθόντος εἰς ταυτὸν, ἡ κρᾶσις [1] οἴνε δίκην ἐπικρατήσει· ταύτην δὲ ὁρῶμεν ἄρχειν καὶ κρατεῖν δοκῦσαν [2]· ἐ γὰρ ἂν ἀποῤῥίψασα δόξας καὶ γένη τηλικαῦτα καὶ πλέτες, ἐμνᾶτο μειράκιον ἐκ χλαμύδος [3], ὅτι παιδαγωγεῖσθαι δεόμενον. ὅθεν οἱ νῦν ἔχοντες αὐτοὶ προΐενται καὶ περικόπ]εσιν, ὥσπερ ὠκύπτερα, τῶν γυναικῶν τὰ περιττὰ [4] χρήματα, τρυφὰς ἐμποιῦντα καὶ χαυνότητας ἐκβεβαίες καὶ κιλίες [5], ὑφ' ὧν ἐπαιρόμεναι πολλάκις ἀποπέτονται. κἂν μένωσι, χρυσαῖς, ὥσπερ ἐν Αἰθιοπίᾳ, πέδαις δεδέσθαι βέλτιον, ἢ πλέτῳ γυναικός.

VIII. Ἐκεῖνα δ' ἐ λέγεις, Πρωτογένης εἶπεν [6], ὅτι κινδυνεύομεν ἀναςρέφειν ἀτόπως καὶ γελοίως τὸν Ἡσίοδον, ἂν ἐκείνε λόγος [7].

Μήτε τριήκοντ' ὢν ἐτέων μάλα πολλ' ἀπολείπων,
Μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος ἔτος.
Ἡ δὲ γυνὴ τέτορ' ἡβώη [8], πέμπτῳ δὲ γαμοῖτο.

χεδὸν

1 Vulgo εἰ κρᾶσις. R. cum Xyl. legendum monuit ἡ κρ. quod dedi cum W. idem ex E. & Mez. sumente.

2 R. susp θέλεσαν.

3 μειράκιον ἐκ χλαμύδος est *juvenis a sumta prætexta recens*. R.

4 Dedi sic e correctione Salmas. & R. cum W. Vulgo τὰ περὶ τὰ χρ.

5 Pro ἐκβεβαίες Xyl. voluit ἀβεβαίες, dubius, quid pro κιλίες sit sumendum. W. nec aliorum nec suas ipsi placere correctiones monet, pro κιλίες notans ex B & E. κελίες, e Mez. κιλλείες, e Jun. κιλικίες, & e R. conjectura χαυνότητας ἐμβεβαιῦντα καὶ κιβδηλίας, ultimum hoc non esse ineptum addens, coll. Toup. Ep. Crit. p. 103.

6 Secutus sum W. ita cum Xyl. versione, flagitante sensu, reponentem. Vulgo ἐ λέγει Πρωτογένης, εἶπεν.

7 R. mavult τὸν Ἡσιόδε ἐκεῖνον λόγον. Cf Hes. op. & d. v. 694.

8 Ald. τέττορ' ἡ βαὴ corrupte; Bas. τέτταρ' ἡβάη. Turn. Bong. ἡβώοι.

χεδὸν ἡμεῖς ἔτοι τοσέτοις [1] γυναικὶ πρεσβυτέρᾳ, καθάπερ οἱ Φοίνικες, ἢ σύκα * καὶ ἄωρον ἄνδρα [2] περιάψωμεν. ἐρᾶται γὰρ αὐτῆ νὴ Δία καὶ κάεται· τίς ἔν ὁ κωλύων ἐσὶ κωμάζειν ἐπὶ θύρας, ᾄδειν τὸ παρακλαυσίθυρον, ἀναδεῖν τὰ εἰκόνια, παγκρατιάζειν πρὸς τὲς ἀντεραςάς; ταῦτα γὰρ ἐρωτικά· καὶ καθὸ αἴθηται ὀφρῦς [3], καὶ παυσάσθω τρυφῶσα, καὶ χῆμα λαβῦσα τῶν τῆ πάθης οἰκείων [4]. εἰ δ' αἰχύνεται καὶ σωφρονεῖ, κοσμίως οἴκοι καθήσθω περιμένσα τὲς μνωμένες καὶ σπεδάζοντας· ἐρῶν δὲ φάσκεσαν γυναῖκα φυγεῖν τις ἂν ἔχοι [5] καὶ βδελυχθείη, μή τι γε λάβοι γάμε ποιησάμενος ἀρχὴν τὴν τοιαύτην ἀκρασίαν.

IX. Παυσαμένε δὲ τῆ Πρωτογένες· Ὁρᾷς, εἶπεν ὁ πατὴρ [6], ὦ Ἀνθεμίων, ὅτι πάλιν κοινὴν ποιῆσι τὴν

1 R. susp σχεδὸν γὰρ ἡμεῖς ἔτεσι τοσέτοις; W. ἔτοι τοσέτοις mutandum censet in τῆτον τοσέτῳ.

2 Xyl. Φοίνικας legendum monuit, ut palmarum fructus, non Phoenices, accipiantur. Salmas. καθάπερ ἢ Φοίνικες, ἢ σῦκα, τῇ εἰρεσιώνῃ ἄωρον ἄνδρα; R. susp. ἢ Σύροι ὄμφακα καὶ ἄωρον ἄνδρα, ita ut ὄμφαξ aeque de viro immaturo ac de puella conjugio nondum apta dici posse censeatur. Dubius tamen, num Phoenices & Syri consueverint viros immaturos vetulis mulieribus copulare, quaerit, num οἱ Φοίνικας, ἢ συκᾶς, ζευγνύντες, ἀτέλειον καὶ ἄωρον, cum palmarum & ficuum utriusque sexus rami concipiendae fertilitatis ergo colligari solerent. Hunc in sensum Kaltw. vertit. Cf. Sympos. VII, 2. Vol. XI. p. 293. W. denique susp. καθαπερεὶ Φοίνικι συκάμινον, ἄωρον ἄ. π.

3 Xyl. susp. ὀφρῦς αἰρέτω. aut tale aliquid; R. autem καὶ καθαιρεῖν τὰς ὀφρῦς, καὶ παύσασθαι τρυφῶσα. W. corrigendum censet καθείσθω ἡ ὀφρύς.

4 R. mavult ἀνοικείων, aut alias legendum monet καὶ σχῆμα φαίνεσθαι λαβῦσα τῶν τῆ πάθης οἰκείων. W. pro λαβῦσα corrigi vult λαβέτω.

5 W. corrigi vult φύγοι τις νῦν ἔχων.

6 Vulgo abfuit ὁ πατήρ. R. nomen dicentis desideravit, quem Kaltw. cum Xyl. vertendo *Daphnaeum* effecit. W. quem secutus sum, addidit ὁ πατὴρ ex E. reliqua ita corrigenda monens

την ὑπόθεσιν καὶ τὸν λόγον, ἀναγκαῖον ἡμῖν τοῖς ἐκ ἀρνεμένοις, ἐδὲ φεύγειν τῷ περὶ γάμων Ἔρωτος εἶναι χορευταῖς; Καὶ ναὶ μὰ Δία (εἶπεν ὁ Ἀνθεμίων) κινδυνει διὰ πλειόνων νῦν αὐτὸς ἐρᾷν· εἰ δὲ τῷ πλέκτα βοηθήσων, ᾧ μάλιστα δεδίττεται Πεισίας ἡμᾶς. Τί δὲ (εἶπεν ὁ πατὴρ) ἐκ ἂν ἔγκλημα γένοιτο γυναικός, εἰ δι' ἔρωτα καὶ πλῦτον ἀπορρίψομεν Ἰσμηνοδώραν· βαρεῖα γὰρ καὶ πλεσία [1]. τί δὲ, εἰ καλὴ καὶ νέα; τί δὲ, εἰ [2] γένει σοβαρὰ καὶ ἔνδοξος; αἱ δὲ σώφρονες ἐδ αὐστηρὸν καὶ κατεγρυπωμένον ἐπαχθὲς [3], * καὶ δυσκαρτέρητον ἔχεσι, καὶ ποίνας καλῦσιν αὐτὰς, καὶ τοῖς ἀνδράσιν ὀργιζομένας, ὅτι σωφρονῦσιν; ἆρ' ἐν κράτισον ἐξ ἀγορᾶς γαμεῖν Ἀβρότονόν τινα Θρῆσσαν, ἢ Βακχίδα Μιλησίαν ἔγγυον ἐπαγομένην δι' ὠνῆς κατεσσυμμάτων [4]; ἀλλὰ καὶ ταύταις ἴσμεν ἐκ ὀλίγες αἴσχιστα δε-

λευ-

nens κοινὴν ποιῆσαι — ἐδὲ Φεύγεσιν τ. π. γάμον ε. χ. — ἄμυνε σύ δ. π. αὐτὸς ἐρῶν, ἔτι δ. τ. πλ. βοήθησον — videsne, inquit pater, mi Anthemio, rurfum eos cauffam & materiem orationis communem ac neceffariam facere nobis. qui non negamus, neque fugimus, quin conjugialis Amoris in choro fimus. R. quoque pro φεύγειν fufp. φεύγεσιν, de reliquis dubius.

1 W. cum Mez. mavult βαρεῖα γὰρ ἡ πλεσία.

2 Vulgo τί δὲ ἡ καλὴ — τί δὲ ἡ γένει. R. ἡ mutandum monuit in εἰ — *quid autem factu opus effet, fi formofa & juvenis effet?* — Turn. V. Bong. τί εἰ ἡ καλὴ καὶ νέα; τί εἰ ἡ γ. Dedi εἰ cum W. accedentibus Leonic. Schott. Ann.

3 Xyl. judice, permulta hic defunt. R. fufp. αἱ δὲ σώφρονες ἐδὲν αὐστηρὸν καὶ κατερρυπωμένον καὶ ἐπαχθὲς καὶ δυσκαρτέρητον ἔχεσιν; *illae uxores σώφρονες dictae, hoc eft, modeftae, nihilne habent aufterum, & fordidum & grave & intolerabile in moribus?* ἐχὶ καὶ ἀπηνεῖς καλῦσιν αὐτάς? *nonne acerbas eas appellant?* W. legendum cenfet κατερρυπωμένον ἐπαχθὲς πολλάκις καὶ δυσκ. ἔχεσι καὶ ποίνας. Dedi cum eodem ποίνας e Baf. Xyl. Salmas. pro πείνας, quod eft in reli. Cf. Vol. VII. p. 420. l. 3. fq.

4 Ald. Baf. δ' ἰωνῆς κατεσσυμμάτων. Hinc Xyl. notat fe legere δι' ὠνῆς, ut fententia fit, emtitias eo ipfo, quia emtae

fint,

λεύσαντας· αὐλητρίδες δὲ Σάμιαι καὶ ὀρχηστρίδες, Αριστονίκα [1] καὶ τύμπανον ἔχουσα Οἰνάνθη καὶ Ἀγαθοκλεία [2] διαδήμασι βασιλέων ἐπέβησαν. ἡ δὲ Σύρα Σεμίραμις οἰκότριβος μὲν ἦν βασιλικοῦ θεράπαινα παλλακευομένη· Νίνου δὲ, τοῦ μεγάλου βασιλέως, ἐντυχόντος αὐτῇ καὶ στέρξαντος, οὕτως ἐκράτησε καὶ κατεφρόνησεν, ὥστ' ἀξιῶσαι καὶ μίαν ἡμέραν αὐτὴν περιϊδεῖν ἐν τῷ θρόνῳ καθεζομένην, ἔχουσαν τὸ διάδημα καὶ χρηματίζουσαν· δόντος δ' ἐκείνου, καὶ κελεύσαντος πάντας ὑπηρετεῖν, ὥσπερ αὐτῷ, καὶ πείθεσθαι, μετρίως ἐχρῆτο τοῖς πρώτοις ἐπιτάγμασι, πειρωμένη τῶν δορυφόρων· ἐπεὶ δὲ ἑώρα μηδὲν ἀντιλέγοντας, μηδ' ὀκνοῦντας, ἐκέλευσε συλλαβεῖν τὸν Νίνον, εἶτα δῆσαι, τέλος δ' ἀποκτεῖναι· πραχθέντων δὲ πάντων, ἐβασίλευσε τῆς Ἀσίας ἐπιφανῶς πολὺν χρόνον. ἡ δὲ Βελεστίχη [3], πρὸς Διὸς, οὐ βάρβαρον ἐξ ἀγορᾶς γύναιον, ἧς ἱερὰ καὶ ναοὺς Ἀλεξανδρεῖς ἔχουσιν· ἐπιγράψαντος [4] δι' ἔρω-

sint, mulieres, pignus secum obedientiae ferre, neque metuendum, ne se viris anteponant. Eidem vox κατίσσυμα, significans κατάπτηξιν seu ὑπόπτηξιν, suspecta est. R. susp. ἔγγυον ἐπαγομένην, νὴ Δί', ὠνῆς καὶ συμβολαίων, *quae secum adducat sponsorem contractae emtionis & venditionis tabularumque ideo conditarum.* W. susp. καττυμάτων, ex B & E. notans δι' ὠνῆς καὶ κατεσσυμάτων, locum autem se non expedire fatens.

1 Ita in R. legitur, quod W. ex B. E. Xyl. Mez. sumsit. Vulgo Ἀριστονίκα. R. voluit καὶ ὀρχηστρίδες Ἀριστονίκαι, καὶ τύμπ. — De Abrotono cf. Plut. in Vit. Themist. Vol. I. p. 277. & Athenaeum L. 13. p. 576, qui ibid. p. 594. de Bacchide Samia mentionem facit. De Aristonica nihil constat. De Oenantha & Agathoclea cf. Plut. in Vit. Cleomenis Vol. V. p. 194. & Polyb. Excerpt. L. XV.

2 Ita scriptam dedi hanc vocem cum W. e Xyl. Vulgo Ἀγαθοκλία.

3 cf. Athenae. L. XIII. p. 576.

4 Bas. ἐπιτρέψαντος; Ald. ἐπιτράψαντος.

ἔρωτα τῦ βασιλέως [1], Ἀφροδίτης Βελεςικῆς· ἡ δὲ σύνναος μὲν ἐνταυθοῖ καὶ συνίερος τῦ Ἔρωτος ἐν Δελφοῖς, κατάχρυσος δ' ἑςῶσα [2] μετὰ τῶν βασιλέων καὶ βασιλειῶν, ποίᾳ προικὶ τῶν ἐραςῶν ἐκράτησεν; ἀλλ' ὥσπερ ἐκεῖνοι δι' ἀθένειαν ἑαυτῶν καὶ μαλακίαν ἔλαθον γενόμενοι λεία [3] γυναικῶν, ὅτω πάλιν ἄδοξοι καὶ πένητες ἕτεροι πλυσίαις γυναιξὶ καὶ λαμπραῖς συνελθόντες, ἐ διεφθάρησαν, ἐδὲ ὑφῆκάν τι τῦ φρονήματος, ἀλλὰ τιμώμενοι καὶ κρατῦντες μετ' εὐνοίας συγκατεβίωσαν. ὁ δὲ συςέλλων τὴν γυναῖκα, καὶ συνάγων εἰς μικρὸν, ὥσπερ δακτύλιον δακτύλυ ἰχνῦ [4], μὴ παραῤῥυῇ δεδιὼς, ὅμοιός ἐςι τοῖς ἀποκείρυσι τὰς ἵππυς, εἶτα πρὸς ποταμὸν καὶ λίμνην ἄγυσι· καθορῶσαν γὰρ ἑκάςην τὴν εἰκόνα τῆς ὄψεως ἀκαλλῆ καὶ ἄμορφον, ἀφιέναι τὰ φρυάγματα λέγεται, καὶ προσδέχεσθαι τὰς τῶν ὄνων ἐπιβάσεις. πλῦτον δὲ γυναικὸς αἱρεῖσθαι μὲν πρὸ ἀρετῆς ἢ γένυς, ἀφιλότιμον καὶ ἀνελεύθερον· ἀρετῇ δὲ καὶ γένει προσόντα φεύγειν ἀβέλτερον. ὁ μὲν γὰρ Ἀντίγονος ὠχυρωμένῳ [5] τὴν Μυνυχίαν τῷ φρυρῦντι γράφων ἐκέλευε

1 Vulgo post βασιλέως exhibetur καὶ, quod Steph. a Leonic. & Schott. sumsit, pro ἢ, quod Xyl. Ald. Bas. habent. Delendum id monuit R. & ad genitivos sequentes subaudiendum τῦτο ἱερόν ἐςι. Delevit idem W. cum B. E. Mez.

2 W. se legere notat ἐν Δελφοῖς δὲ κατάχρυσος ἑ. Intelligitur hic loci Phryne, de qua Plut. in lib. de Pythiae oraculis Vol. IX. p. 271. idem memorat. Add. Pausan. IX, 27. X, 14.

3 Inter γενόμενοι & λεία Ald. & Bas. habent lacunam. Eam tollendam monuit Xyl. cum nihil desit.

4 Vulgo ὥσπ. δακτύλιον, ἴχνος, ὡς μὴ π. R. suspectum monuit ἴχνος, nec non redundare ὡς. Ald. δακτύλων ἴχνος ἂν μὴ περιῤῥυῇ; Bas. δακτύλιον ἴσχνος ἂν μὴ περιῤῥυῇ. Hanc lectionem Xyl. secutus ita vertit: veluti annulum digito ob gracilitatem alias delapsurum. Quare non dubitavi, W. correctionem amplecti.

5 R. mavult ὠχυρωμένην.

λευε [1] ποιεῖν μὴ μόνον τὸν κλοιὸν ἰσχυρὸν, ἀλλὰ καὶ τὸν κύνα λεπτὸν, ὅπως ὑφαιρῇ τὰς εὐπορίας τῶν Ἀθηναίων· ἀνδρὶ δὲ πλουσίας ἢ καλῆς οὐ προσήκει μηδὲ τὴν γυναῖκα ποιεῖν ἄμορφον ἢ πενιχρὰν, ἀλλ' ἑαυτὸν ἐγκρατείᾳ καὶ φρονήσει, καὶ τῷ μηθὲν ἐκπεπλῆχθαι τῶν περὶ ἐκείνην, ἴσον παρέχειν καὶ ἀδούλωτον, ὥσπερ ἐπὶ ζυγοῦ ῥοπὴν τῷ ἤθει προστιθέντα καὶ βάρος, ὑφ' οὗ κρατεῖται καὶ ἄγεται καλῶς ἅμα καὶ [2] συμφερόντως. καὶ μὴν ἡλικίᾳ γε πρὸς γάμον καὶ ὥρα τὸ τίκτειν ἔχουσα καὶ τὸ γεννᾷν εὐάρμοστός ἐστιν· ἀκμάζειν δὲ τὴν γυναῖκα πυνθάνομαι (καὶ ἅμα τῷ Πεισίᾳ προσμειδιάσας,) οὐδενὸς γὰρ (ἔφη) τῶν ἀντεραστῶν πρεσβυτέρα, οὐδ' ἔχει πολιὰς, ὥσπερ ἔνιοι τῶν Βάκχωνι προσαναχρωννυμένων. εἰ δὲ οὗτοι καθ' ὥραν ὁμιλοῦσι, τί κωλύει κἀκείνην ἐπιμεληθῆναι τοῦ νεανίσκου βέλτιον ἡστινοσοῦν νέας; δύσμικτα γὰρ τὰ νέα καὶ δύσκρατα [3], καὶ μόλις ἐν χρόνῳ πολλῷ τὸ φρύαγμα καὶ τὴν ὕβριν ἀφίησιν, ἐν ἀρχῇ δὲ κυμαίνει καὶ ζυγομαχεῖ, καὶ μᾶλλον ἂν Ἔρως ἐγγένηται, καὶ, καθάπερ πνεῦμα, κυβερνήτου μὴ παρόντος, ἐτάραξε καὶ συνέχεε τὸν γάμον οὔτ' ἄρχειν δυναμένων οὔτ' ἄρχεσθαι βουλομένων. εἰ δ' ἄρχει βρέφους μὲν ἡ τίτθη, καὶ παιδὸς ὁ διδάσκαλος, ἐφήβου δὲ γυμνασίαρχος, ἐραστὴς δὲ μειρακίου, γενομένου δ' ἐν ἡλικίᾳ νόμος καὶ στρατηγὸς, οὐδεὶς δ' ἀνάρκτος, οὐδ' αὐτοτελὴς, τί δεινὸν, εἰ γυνὴ νοῦν ἔχουσα πρεσβυτέρα κυβερνήσει νέου βίον ἀνδρός· ὠφέλιμος μὲν οὖσα τῷ φρονεῖν μᾶλλον, ἡδεῖα δὲ τῷ φιλεῖν καὶ προσηνής; τὸ δὲ ὅλον (ἔφη) καὶ τὸν Ἡρακλέα

1 R. judice, ἐκέλευε ex hoc versu in proximum deferendum, ut sit: γράφων ποιεῖν — λεπτὸν ἐκέλευεν, ὅπως ὑφαιρῇ, pro quo magis Graecum esset ἐκέλευεν ὑφαιρεῖν.

2 Vulgo ἄγεται, καὶ ὡς ἅμα συμφ. Pro his lubenter recepi conjecturam R. & W.

3 Recepi hanc R. correctionem pro vulg. δυσκέρατα.



BIBLIOTHECA UNIVERSITATIS

κλέα Βοιωτὲς ὄντας ἔδει σέβεσθαι, καὶ μὴ δυσχεραίνειν τῷ παρ' ἡλικίαν τῦ γάμυ, γινώσκοντας, ὅτι κἀκεῖνος τὴν ἑαυτῦ γυναῖκα, Μεγάραν, Ἰολάῳ συνῴκισεν ἑκκαιδεκαέτει τότε ὄντι τρία καὶ τριάκοντα ἔτη τότε γεγενημένην.

X. Τοιέτων λόγων, ὁ πατὴρ ἔφη, παρόντων αὐτοῖς, ἐλθεῖν τῦ Πεισίυ [1] ἑταῖρον ἐκ πόλεως ἵππῳ θέοντα, πρᾶγμα θαυμαςὸν ἀπαγγέλλοντα τετολμημένον. ἡ γὰρ Ἰσμηνοδώρα αὐτὸν μὲν (ὡς ἔοικεν) ἐκ ἀηδῶς ἔχειν οἰομένη τὸν Βάκχωνα πρὸς τὸν γάμον, αἰσχυνεσθαι δὲ τὲς ἀποτρέποντας, ἔγνω μὴ προέσθαι τὸ μειράκιον· τῶν ἦν φίλων τὲς μάλιςα τοῖς βίοις νεαρὲς καί συνερῶντας [2] αὐτῇ καὶ τῶν γυναικῶν τὰς συνήθεις μεταπεμψαμένη καὶ συγκροτήσασα, παρεφύλαττε τὴν ὥραν, ἣν ὁ Βάκχων εἶχεν [3] ἀπιὼν εἰς παλαίςραν παρὰ τὴν οἰκίαν αὐτῆς παρεξιέναι κοσμίως. ὡς ἦν τότε προσῄει μετὰ δυοῖν ἢ τριῶν ἀληλιμμένος, αὐτὴ μὲν ἐπὶ τὰς θύρας ἀπήντησεν ἡ Ἰσμηνοδώρα, καὶ τῆς χλαμύδος ἔθιγε μόνον, οἱ δὲ φίλοι καλὸν καλῶς ἐν τῇ χλαμύδι καὶ τῇ διβολίᾳ [4] συναρπάσαντες, εἰς τὴν οἰκίαν παρήνεγκαν ἀθρόοι, καὶ τὰς θύρας εὐθὺς ἀπέκλεισαν· ἅμα δὲ αἱ μὲν γυναῖκες ἔνδον αὐτῦ τὸ χλαμύδιον ἀφαρπάσασαι περιέβαλον ἱμάτιον νυμφικόν· οἰκέται δὲ περικύκλῳ [5] δραμόντες, ἀνέςεφον ἐλαίᾳ καὶ δάφνῃ τὰς θύρας ὑ μόνον τὰς τῆς Ἰσμηνοδώρας, ἀλλὰ καὶ τὰς τῦ Βάκχωνος· ἡ δ' αὐλητρὶς αὐλῦσα διεξῆλθε τὸν ςενωπόν. τῶν δὲ Θεσπιέων καὶ τῶν ξένων οἱ μὲν ἐγέλων, οἱ δ' ἠγανάκτυν, καὶ τὲς γυμνασιάρχυς παρώξυνον· ἄρχυσι γὰρ ἰσχυρῶς τῶν ἐφή-

1 Sic dedit W. nulla adnotatione subjuncta. Vulgo τῦ Πεισία. Quare R. susp. τῷ Π.

2 W. quaerit, an συνεαρίζοντας?

3 R. susp. εἴωθεν, remoto autem κοσμίως posse servari vulgatam addens — qua necesse erat ipsi praeterire.

4 R. mavult διβολίδι.

5 R. mavult duobus vocabulis περὶ κύκλῳ, ut sit per tmesin dictum pro κύκλῳ περιδραμόντες.

ἐφήβων, καὶ προσέχουσι τὸν νοῦν σφόδρα τοῖς ὑπ' αὐτῶν πραττομένοις· ἦν δὲ λόγος οὐδεὶς τῶν ἀγωνιζομένων, ἀλλ' ἀφέντες τὸ θέατρον ἐπὶ τῶν θυρῶν τῆς Ἰσμηνοδώρας, ἐν λόγοις ἦσαν καὶ φιλονεικίαις πρὸς ἀλλήλους. ὡς οὖν ὁ τοῦ Πεισίου φίλος ὥσπερ ἐν πολέμῳ προσελάσας τὸν ἵππον αὐτὸ τοῦτο τεταραγμένως εἶπεν, ὅτι Βάκχωνα ἥρπασεν Ἰσμηνοδώρα, τὸν μὲν Ζεύξιππον ὁ πατὴρ ἔφη γελάσαι καὶ εἰπεῖν, ἅτε δὴ καὶ φιλευριπίδην ὄντα·

Πλούτῳ χλιδῶσα, θνητὰ δὴ [1], γύναι, φρονεῖς· τὸν δὲ Πεισίαν ἀναπηδήσαντα βοᾶν· Ὦ θεοί, τί πέρας ἔσται τῆς ἀνατρεπούσης τὴν πόλιν ἡμῶν ἐλευθερίας; ἤδη γὰρ εἰς ἀνομίαν τὰ πράγματα διὰ τῆς αὐτονομίας βαδίζει· καίτοι γελοῖον ἴσως ἀγανακτεῖν περὶ νόμων καὶ δικαίων· ἡ γὰρ φύσις παρανομεῖται γυναικοκρατουμένη. τί τοιοῦτον ἡ Λῆμνος [2]; ἴωμεν ἡμεῖς, ἴωμεν, (εἶπεν) ὅπως καὶ τὸ γυμνάσιον ταῖς γυναιξὶ παραδῶμεν καὶ τὸ βουλευτήριον, εἰ παντάπασιν ἡ πόλις ἐκνενεύρισται. προάγοντος οὖν τοῦ Πεισίου, ὁ μὲν Πρωτογένης οὐκ ἀπελείπετο, τὰ μὲν συναγανακτῶν, τὰ δὲ πραΰνων ἐκεῖνον. ὁ δ' Ἀνθεμίων· Νεανικὸν μὲν (ἔφη) τὸ τόλμημα, καὶ Λήμνιον ὡς ἀληθῶς· αὐτοὶ γὰρ ἴσμεν [3]. σφόδρα ἐρώσης γυναικός. καὶ ὁ Σώκλαρος ὑπο-



1 Vulgo θνητὰ δὲ γύναι. Xyl. pro δὲ legendum monuit δὴ ob metrum; item Salmas. & R. — *humana instituis*, i. e. agis non laudanda quidem, attamen ab humana imbecillitate non aliena. Dedi δὴ cum W. Xyl. quoque φρονεῖ legi voluit. R. de δεινὰ δὴ cogitavit; & W. forte verum esse notat θνητά γ' ὦ γύναι, B. & E. ὦ habentibus.

2 scil. ἤνεγκε vel ἔδειξε. Alluditur ad dictionem proverbialem Λήμνιον κακόν, de qua conf. Apollodor. Bibl. I, 9. Herodot. VI, 138. sq. Erasm. Adag. I, 9. 27.

3 Vulgo absque distinctione haec cum seqq. cohaerent. Hinc R. voluit aut ἴσμεν σφόδρα ἐρῶσαν τὴν γυναῖκα, aut σύνισμεν σφόδρα ἐρώσῃ τῇ γυναικί. Dedi interpunctionem cum W. qui simul

ὑπομειδιῶν· Οἴει γὰρ, ἁρπαγὴν (ἔφη) γεγονέναι καὶ βιασμὸν, οὐκ ἀπολόγημα καὶ στρατήγημα τοῦ νεανίσκου νοῦν ἔχοντος, ὅτι τὰς τῶν ἐραστῶν ἀγκάλας διαφυγὼν ἐξηυτομόληκεν εἰς χεῖρας καλῆς καὶ πλουσίας γυναικός; Μὴ λέγε ταῦτα, εἶπεν, ὦ Σώκλαρε, μηδ' ὑπονόει ἐπὶ Βάκχωνος, ὁ Ἀνθεμίων· καὶ γὰρ [1], εἰ μὴ φύσει τὸν τρόπον ἁπλοῦς ἦν καὶ ἀφελὴς, ἐμὲ γ' οὐκ ἂν ἀπεκρύψατο τῶν τ' ἄλλων [2] μεταδιδοὺς ἁπάντων, ἔν τε τούτοις ὁρῶν προθυμότατον ὄντα τῆς Ἰσμηνοδώρας βοηθόν· ἔρωτι δὲ μάχεσθαι χαλεπὸν, οὐ θυμῷ, καθ' Ἡράκλειτον· ὅ τι γὰρ ἂν θελήσῃ, καὶ ψυχῆς ὠνεῖται, καὶ χρημάτων, καὶ δόξης. ἐπεὶ τί κοσμιώτερον Ἰσμηνοδώρας ἐν τῇ πόλει; πότε δ' εἰσῆλθεν ἢ λόγος αἰσχρὸς, ἢ πράξεως ὑπόνοια φαύλης ἔθιγε τῆς οἰκίας; ἀλλ' ἔοικε θεία τις ὄντως εἰληφέναι τὴν ἄνθρωπον ἐπίπνοια [3], καὶ κρείττων ἀνθρωπίνου λογισμοῦ.

XI. Καὶ ὁ Πεμπτίδης [4] ἐπιγελάσας· Ἀμέλει καὶ σώματός τις (ἔφη) νόσος ἐστὶν, ἣν ἱερὰν καλοῦσιν. οὐδὲν οὖν ἄτοπον, εἰ καὶ ψυχῆς τὸ μανικώτατον πάθος καὶ μέγιστον, ἱερὸν καὶ θεῖον ἔνιοι προσαγορεύουσιν. εἶτα, ὥσπερ ἐν Αἰγύπτῳ ποτὲ γείτονας ἑώρων δύο διαμ-

simul notat se legere cum Mez. αὐτοὶ γάρ ἐσμεν, & ita se vertisse — *revera Lemnium, quod inter nos dictum sit, mulieris vehementer amantis.* — Vitiose ista data esse, non est dubium.

1 Xyl. inferendum censuit γὰρ, quod vulgo abest. Dedi id cum W. B. & E. idem exhibentibus. Addi quoque voluit Xyl. καὶ post εἰ.

2 Vulgo haec ita leguntur: ἐμὲ γοῦν ἀπεκρύψατο τῶν τιλῶν μ. ἁ. Xyl. & R. locum correxerunt ἐμὲ γοῦν οὐκ ἂν ἀπ. τῶν τε ἄλ. Probavit W. quod dedi, cum Mez.

3 Secutus sum W. ita ex B. & E. dantem pro vulg. ἐπίνοια. Paulo ante Ald. & Bas. τὸν ἄνθρ.

4 Sic cum W. dedi ex Bas. & Xyl. fere accedentibus Ald. B. E. Πεμπίδης: unde Leonic. effecit Πεμπτίδιος, quod vulgo legitur.

διαμφισβητῦντας, ὄφεως προσερπύσαντος εἰς τὴν ὁδὸν, ἀμφοτέρων μὲν ἀγαθὸν δαίμονα καλῦντων, ἑκατέρῳ δ' ἔχειν ἀξιῦντος ὡς ἴδιον· ὕτως ὁρῶν ὑμῶν ἄρτι τὺς μὲν εἰς την ἀνδρωνῖτιν ἕλκοντας τὸν Ἔρωτα, τὺς δ' εἰς την γυναικωνῖτιν, ὑπερφυὲς [1] καὶ θεῖον ἀγαθὸν, ὐκ ἐθαύμαζον, εἰ [2] τηλικαύτην δύναμιν ἔχῃ καὶ τιμὴν τὸ πάθος; οἷς ἦν προσῆκον ἐξελαύνειν αὐτὸ πανταχόθεν, καὶ κολύειν ὑπὸ τύτων αὐξανόμενον καὶ σεμνυνόμενον. ἄρτι μὲν ὖν ἡσυχίαν ἦγον· ἐν γὰρ ἰδίοις μᾶλλον ἢ κοινοῖς ἑώρων τὴν ἀμφισβήτησιν ὖσαν· νυνὶ δ' ἀπηλλαγμένος Πεισίυ, ἡδέως ἂν ὑμῶν ἀκύσαιμι, πρὸς τί βλέψαντες ἀπεφήναντο τὸν Ἔρωτα θεὸν οἱ πρῶτοι τῦτο λέξαντες.

XIII. Παυσαμένυ δὲ τῦ Πεμπτίδυ [3], καὶ τῦ πατρὸς αρξαμένυ τι περὶ τύτων λέγειν, ἕτερος ἧκεν ἐκ πόλεως, τὸν Ἀνθεμίωνα μεταπεμπομένης τῆς Ἰσμηνοδώρας· ἐπέτεινε γὰρ ἡ ταραχὴ, καὶ τῶν γυμνασιαρχῶν ἦν διαφορὰ, τῦ μὲν οἰομένυ, δεῖν τὸν Βάκχωνα ἀπαιτεῖν, τῦ δὲ πολυπραγμονεῖν ὐκ ἐῶντος. ὁ μὲν ὖν Ἀνθεμίων ἀνασὰς ἐβάδιζεν· ὁ δὲ πατὴρ τὸν Πεμπτίδην [4] ὀνομασὶ προσαγορεύσας· Μεγάλυ μοι δοκεῖς ἅπτεσθαι (εἶπεν) καὶ παραβόλυ πράγματος, ὦ Πεμπτίδη, μᾶλλον δὲ ὅλως τὰ ἀκίνητα κινεῖν τῆς περὶ θεῶν δόξης, ἣν ἔχομεν, περὶ ἑκάσυ λόγον ἀπαιτῶν καὶ ἀπόδειξιν· ἀρκεῖ γὰρ ἡ πάτριος καὶ παλαιὰ πίσις, ἧς ὐκ ἔσιν εἰπεῖν, ὐδ' ἀνευρεῖν τεκμήριον ἐναργέσερον,

 Οὐ

1 R. mavult ὡς ὑπερφυὲς; Idem Mez. desiderat.

θῆς ὀσίας εἴδη, πλάττοντες ἀπλᾶ καὶ ὁρατὰ μιμήματα σφαιρῶν καὶ κύβων καὶ δωδεκαέδρων προτείνουσιν· οὕτως ἡμῖν ὁ οὐράνιος Ἔρως εἴσοπτρα καλῶν καλὰ, θνητὰ μέντοι θείων παθητὰ καὶ αἰσθητὰ [1] νοητῶν μηχανώμενος ἔν τε σχήμασι καὶ χρώμασι καὶ εἴδεσι νέων ὥρᾳ στίλβοντα [2] δείκνυσι, καὶ κινεῖ τὴν μνήμην ἀτρέμα διὰ τούτων ἀναφλεγομένην τὸ πρῶτον· ὅθεν διὰ σκαιότητος ἔνιοι φίλων [3] καὶ οἰκείων, σβεννύναι πειρωμένων βίᾳ καὶ ἀλόγως τὸ πάθος, οὐδὲν ἀπέλαυσαν αὐτοῦ χρηστὸν, ἀλλ᾽ ἢ καπνοῦ καὶ ταραχῆς ἐνέπλησαν ἑαυτοὺς, ἢ πρὸς ἡδονὰς σκοτίους καὶ παρανόμους ῥυέντες ἀκλεῶς [4] ἐμαράνθησαν. ὅσοι δὲ σώφρονι λογισμῷ μετ᾽ αἰδοῦς οἷον ἀτεχνῶς πυρὸς ἀφεῖλον τὸ μανικὸν, αὐγὴν δὲ καὶ φῶς ἀπέλιπον τῇ ψυχῇ μετὰ θερμότητος, οὐ σεισμὸν, ὥς τις [5] εἶπε, κινούσης ἐπὶ σπέρμα καὶ ὄλισθον ἀτόμων ὑπὸ λειότητος καὶ γαργαλισμοῦ θλιβομένων, διάχυσιν [6] δὲ θαυμαστὴν καὶ γόνιμον ὥσπερ ἐν φυτῷ βλαστάνοντι καὶ τρεφομένῳ, καὶ πόρους ἀνοίγουσαν εὐπειθείας καὶ φιλοφροσύνης, οὐκ ἂν ὁ [7] πολὺς χρόνος, ἐν ᾧ τό τε σῶμα τὸ τῶν ἐρωμένων παρελθόντες ἔσω φέρονται, καὶ ἅπτονται τοῦ ἤθους, ἐκκαλούμενος τὰς ὄψεις,

1 Secutus sum W. αἰσθητὰ ex E. addentem, & reliqua ita corrigenda censentem θνητὰ μέντοι θείων, παθητὰ ἀπαθῶν, καὶ νοητῶν αἰσθητά. R. susp. θνητὰ μέντοι θεῶν, καὶ παθητὰ νοητῶν.

2 R. mavult στιλβόντων.

3 R. mavult ἔνιοι τῶν φίλων; nec non deinde πειρώμενοι pro πειρωμένων.

4 Ita R. legendum monuit, dedique cum W. idem ex Mez. & cod. P. recipiente pro vulg. ἀκλινῶς.

5 Epicurum puta.

6 Ita cum W. dedi e Xyl. vers. & R. mente pro vulg. διάλυσιν. R. inferi adhuc voluit ἐμποιούσης post δέ.

7 R. susp. οὐκ ἂν ᾖ π. χρ. W. legendum videtur φιλοφροσύνης. Οὐκοῦν π. χρ.

ὄψεις, καθορῶσι [1] καὶ συγγίνονται διὰ λόγων πολλὰ καὶ πράξεων ἀλλήλοις, ἂν περίκομμα τοῦ καλοῦ καὶ εἴδωλον ἐν ταῖς διανοίαις ἔχωσιν [2]. εἰ δὲ μή, χαίρειν ἐῶσι, καὶ τρέπονται πρὸς ἑτέρους, ὥσπερ αἱ μέλιτται πολλὰ τῶν χλωρῶν καὶ ἀνθηρῶν, μέλι δ' οὐκ ἐχόντων, ἀπολιπόντες· ὅπου δ' ἂν ἔχωσιν ἴχνος τι τοῦ θείου καὶ ἀποῤῥοὴν καὶ ὁμοιότητα σαίνουσαν, ὑφ' ἡδονῆς καὶ θαύματος ἐνθουσιῶντες καὶ περισπῶντες [3], εὐπαθοῦσι τῇ μνήμῃ καὶ ἀναλάμπουσι πρὸς ἐκεῖνο [4] τὸ ἐράσμιον ἀληθῶς καὶ μακάριον καὶ φίλιον ἅπασι καὶ ἀγαπητόν.

XX. Τὰ μὲν οὖν πολλὰ ποιηταὶ προσπαίζοντες ἐοίκασι τῷ θεῷ γράφειν περὶ αὐτοῦ καὶ ᾄδειν ἐπικωμάζοντες [5], ὀλίγα δ' εἴρηται μετὰ σπουδῆς αὐτοῖς, εἴτε κατὰ νοῦν καὶ λογισμὸν, εἴτε σὺν θεῷ τῆς ἀληθείας ἁψαμένοις· ὧν ἓν ἐστι καὶ τὸ περὶ τῆς γενέσεως,

Δεινότατον θεῶν γείνατο εὐπέδιλος Ἶρις χρυσοκόμᾳ
Ζεφύρῳ μιχθεῖσα·

εἰ μή τι καὶ ὑμᾶς [6] ἀναπεπείκασιν οἱ γραμματικοὶ, λέγοντες, πρὸς τὸ ποικίλον τοῦ πάθους καὶ τὸ ἀνθηρὸν γεγονέναι τὴν εἰκασίαν. καὶ ὁ Δαφναῖος· Πρὸς τί γὰρ (ἔφη) ἕτερον; Ἀκούετε· (εἶπεν [7] ὁ πατήρ) οὕτω γὰρ βιάζεται τὸ φαινόμενον λέγειν. ἀνάκλασις δή που τὸ



1 R. susp. ἐκκλίνοντες τὰς ὄψεις, καὶ καθορῶσι; W. autem ἐκκεκαλυμμένοι τε τὰς ὄψεις: vel, ὃ, ἐκκεκαλυμμένοι τὰς ὄψεις, καθορῶσι — *quam aperto jam evolutoque visu intuentur.*

2 W. susp. εὕρωσιν aut ἕλωσιν.

3 R. mavult περιστάντες aut περιέποντες, & συμπαθοῦσι. W. mavult σκιρτῶντες

4 Vulgo εὐπαθοῦσι πρὸς ἐκεῖνο. Quae nunc leguntur, W. addidit ex B. & E.

5 R. quaerit, num ἐγκωμιάζοντες?

6 Restitui ὑμᾶς ex edd. prioribus pro ἡμᾶς, quod e Frft. in R. transiit. R. ante ἡμᾶς inseri voluit ἐνταῦθα.

7 Post ἕτερον in Ald. & Bas. signum lacunae extat. Jam Xylandro autem nil deesse hic loci videbatur.

τὸ περὶ τὴν ἶριν ἐστὶ τῆς ὄψεως πάθος [1], ὅταν ἡσυχῆ νοτερῷ, λείῳ δὲ καὶ μέτριον πάχος [2] ἔχοντι προσπεσοῦσα νέφει τοῦ ἡλίου ψαύσῃ κατ' ἀνάκλασιν, καὶ τὴν περὶ ἐκεῖνον αὐγὴν ὁρῶσα καὶ τὸ φῶς, δόξαν ἡμῖν ἐνεργάζηται τοῦ φαντάσματος ὡς ἐν τῷ νέφει ὄντος. τοῦτο δὴ τὸ ἐρωτικὸν [3] μηχάνημα καὶ σόφισμα περὶ τὰς εὐφυεῖς καὶ φιλοκάλους ψυχὰς ἀνάκλασιν ποιεῖ τῆς μνήμης ἀπὸ τῶν ἐνταῦθα φαινομένων καὶ προσαγορευομένων καλῶν, εἰς τὸ θεῖον καὶ ἐράσμιον καὶ μακάριον ὡς ἀληθῶς ἐκεῖνο καὶ θαυμάσιον καλόν. ἀλλ' οἱ πολλοὶ μὲν ἐν παισὶ καὶ γυναιξὶν, ὥσπερ ἐν κατόπτροις, εἴδωλον αὐτοῦ φανταζόμενον διώκοντες καὶ ψηλαφῶντες, οὐδὲν ἡδονῆς μεμιγμένης λύπῃ δύνανται λαβεῖν βεβαιότερον· ἀλλ' οὗτος ἔοικεν ὁ τοῦ πλείονος ἴλιγγος εἶναι καὶ πλάνος, ἐν νέφεσι κενὸν ὥσπερ σκιαῖς θηρωμένου [4] τὸ ποθούμενον· ὥσπερ οἱ παῖδες προθυμούμενοι τὴν ἶριν ἑλεῖν ταῖς χερσὶν, ἑλκόμενοι πρὸς τὸ φαινόμενον. εὐφυοῦς δ' ἐραστοῦ καὶ σώφρονος ἄλλος τρόπος· ἐκεῖ γὰρ ἀνακλᾶται πρὸς τὸ θεῖον καὶ νοητὸν καλόν· ὁρατοῦ δὲ σώματος ἐντυχὼν κάλλει, καὶ χρώμενος οἷον ὀργάνῳ τινὶ τῆς μνήμης, ἀσπάζεται καὶ ἀγαπᾷ, καὶ συνὼν καὶ γεγηθὼς ἔτι μᾶλλον ἐκφλέγεται τὴν διάνοιαν· καὶ οὔτε μετὰ σωμάτων ὄντες ἐνταῦθα τοῦτο τὸ φῶς ἐπιποθοῦντες [5] κάθηνται καὶ θαυμάζοντες· οὔτ' ἐκεῖ γινόμενοι μετὰ τὴν τελευτὴν, δεῦρο πάλιν στρεφόμενοι καὶ δραπετεύοντες ἐν θύραις νεογάμων καὶ δωματίοις κυλινδοῦνται,

1 R. notat, se nescire, annon vitiose sic trajecta sint haec verba in hunc ordinem redigenda: ἀνάκλασις δήπου τῆς ὄψεώς ἐστι τὸ περὶ τὴν ἶριν πάθος.

2 Ald. & Bas. πάθος.

3 R. susp. τοιοῦτο δὴ καὶ τὸ ἐρωτικὸν ὂν μηχάν.

4 Vulgo θηρωμένους. R. hinc voluit ὥσπερ σκιὰς, θηρωμένου. Posterius dedi cum W.

5 W. legendum censet ἔτι ποθοῦντες.

ται, δυσόνειρα [1] Φαντασμάτια Φιληδόνων καὶ Φιλοσωμάτων ἀνδρῶν καὶ γυναικῶν ἐ δικαίως ἐρωτικῶν προσαγορευομένων. ὁ γὰρ ὡς ἀληθῶς ἐρωτικὸς ἐκεῖ γενόμενος, καὶ τοῖς καλοῖς ὁμιλήσας, ᾗ θέμις, ἐπτέρωται καὶ κατωργίασαι [2], καὶ διατελεῖ περὶ τὸν αὐτὸν θεὸν [3] ἄνω χορεύων καὶ συμπεριπολῶν, ἄχρις ἐ πάλιν εἰς τὰς Σελήνης καὶ Ἀφροδίτης λειμῶνας ἐλθὼν καὶ καταδαρθὼν, ἑτέρας ἄρχηται γενέσεως. ἀλλὰ ταῦτα μὲν (ἔφη) μείζονας ἔχει τῶν παρόντων λόγων ὑποθέσεις. τῷ δ' Ἔρωτι καὶ τῦτο, καθάπερ τοῖς ἄλλοις θεοῖς, ἔνεστιν, ὥς Εὐριπίδης Φησὶ, τιμωμένῳ χαίρειν ἀνθρώπων ὕπο, καὶ τἐναντίον· εὐμενέστατος γάρ ἐστι τοῖς δεχομένοις ἐμμελῶς αὐτὸν, βαρὺς δὲ τοῖς ἀπαυθαδιαζομένοις. ὅτε γὰρ ξένων καὶ ἱκετῶν ἀδικίας ὁ Ξένιος [4], ὅτε γονέων ἀρὰς ὁ Γενέθλιος ὅτω διώκει καὶ μέτεισι ταχὺ, ὡς ἐρασταῖς ἀγνωμονηθεῖσιν ὁ Ἔρως ὀξὺς ὑπακέει, τῶν ἀπαιδεύτων καὶ ὑπερηΦάνων κολαστής. τί γὰρ ἂν λέγοι τις, Εὐξύνθετον [5] καὶ Λευκομάντιδα τὴν ἐν Κύπρῳ Παρακύπτεσαν ἔτι νῦν προσαγορευομένην; ἀλλὰ τὴν Γοργῦς ἴσως ποινὴν ἐκ ἀκηκόατε, τῆς Κρήσσης, παραπλήσια τῇ Παρακυπτέσῃ παθέσης. πλὴν ἐκείνη μὲν ἀπελιθώθη παρακύψασα τὸν ἐραστὴν ἰδεῖν ἐκκομιζόμενον. τῆς δὲ Γοργῦς Ἀσανδρός τις ἠράσθη, νέος ἐπιεικὴς καὶ γένει λαμπρὸς, ἐκ δὲ λαμπρῶν εἰς ταπεινὰ πράγματα καὶ εὐτελῆ



1 Ita R. legi voluit, dedique cum W. idem ex B. & E. sumente pro vulg. δύσονειρ.

2 Ald. Baſ. καὶ τωργίαται. Xyl. hinc legit καὶ ἐοργίασαι. Vulgatam dedit Steph.

3 Ald. Baſ. περὶ τὴν αὐτὸν θεὸν. Hinc Xyl. legiſſe videtur αὐτὴν, & vertit *circa Themidem*. R. ſuſp. περὶ αὐτὸν τὸν θεὸν τὸν ἄνω. Praeſtat W. conjectura περὶ τὸν αὐτῦ θεὸν, ex Platonica ratione — *ſemper circa ſuum Deum verſatur*.

4 R. reſtituit hanc vocem pro lectione vitioſa Frſt. ξένοι. Ald. & Baſ. paulo poſt ταχέως pro ταχὺ.

5 R. mavult Εὐξύνετον. De hiſtoria hominum, hic loci memoratorum, nihil conſtat.

τελῆ ἀφιγμένος. ὅμως [1] αὐτὸν οὐδενὸς ἀπηξίου, ἀλλὰ τὴν Γοργὼ, διὰ πλοῦτον (ὡς ἔοικε) περιμάχητον οὖσαν καὶ πολυμνήστευτον, ᾔτει γυναῖκα συγγενὴς ὢν, πολλοὺς ἔχων καὶ ἀγαθοὺς συνεργοῦντας αὐτῷ, πάντας δὲ [2] περὶ τὴν κόρην ἐπιτρόπους καὶ οἰκείους πεπεικὼς **.

XXI. * ἔτι τοίνυν ἃς λέγουσιν αἰτίας καὶ γενέσεις Ἔρωτος, ἴδιαι μὲν οὐδετέρου γένους εἰσὶ, κοιναὶ δ' ἀμφοτέρων· καὶ γὰρ εἴδωλα δήπουθεν ἐνδυόμενα τοῖς ἐρωτικοῖς καὶ διατρέχοντα, κινεῖν καὶ γαργαλίζειν [3] τὸν ὄγκον εἰς σπέρμα συνολισθαίνοντα τοῖς ἄλλοις σχηματισμοῖς [4], οὐ δυνατὸν μὲν ἀπὸ παίδων, ἀδύνατον δ' ἀπὸ γυναικῶν, καὶ τὰς καλὰς ταύτας καὶ ἱερὰς ἀναμνήσεις καλοῦμεν ἡμεῖς ἐπὶ τὸ θεῖον καὶ ἀληθινὸν καὶ ὀλύμπιον ἐκεῖνο κάλλος, αἷς ψυχὴ πτεροῦται, τί οὖν κωλύει γίνεσθαι μὲν ἀπὸ παίδων καὶ ἀπὸ νεανίσκων, γίνεσθαι δὲ ἀπὸ παρθένων καὶ γυναικῶν, ὅταν ἦθος ἁγνὸν καὶ κόσμιον ἐν ὥρᾳ καὶ χάριτι μορφῆς διαφανὲς γένηται; (καθάπερ ὄρθιον ὑπόδημα δείκνυσι ποδὸς εὐφυΐαν, ὡς Ἀρίστων ἔλεγεν,) ὅταν ἐν εἴδεσι καλοῖς καὶ καθαροῖς σώμασιν ἴχνη λαμπρὰ κείμενα [5] ψυχῆς ὀρθὰ καὶ ἄθρυπτα κατί-

1 R. mavult ἀλλ' ὅμως, aut ὅμως δὲ αὐτόν.

2 R. mavult πάντας δὲ τοὺς π. τ. κ. Gorgus hiſtoria non eſt finita, & plura deinde periiſſe videntur. Hinc a Turn. & Bong. poſt πεπεικὼς additur λείπει.

3 R. mavult κινεῖ καὶ γαργαλίζει, caetera loci hujus ſe non expedire fatens.

4 W. hanc orationis partem, multis locis laborantem, ita forte reſtituendam cenſet — τοῖς ἀδήλοις σχηματισμοῖς — ἀπὸ γυναικῶν ἥκειν· καὶ τὰς καλὰς ταύτας καὶ ἱερὰς ἀναμνήσεις, καὶ ἀνακλήσεις ἐπὶ τὸ θεῖον — πτεροῦται, οὐδὲν κωλύει γίνεσθαι — γυναικῶν ὧν ἂν ἦθος ἁγνὸν — γένηται. R. vocibus γίν. δὲ ἀπὸ π. praeponi voluit οὐ. Proxima cum W. parentheſi incluſi.

5 Vulgo καὶ κείμενα. R. ſuſp λαμπρὰ ἐγκείμενα ψυχῆς ὀρθῆς καὶ ἀθρύπτου. Pro ἄθρυπτα Ald. Baſ. θρυπτά. Cum W. delevi καὶ e Mez. mente.

κατίδωσιν οἱ δεινοὶ τῶν τοιέτων αἰσθάνεσθαι. ὁ γὰρ ὁ μὲν Φιλήδονος, ἐρωτηθεὶς, εἰ

Πρὸς θῆλυ νεύει μᾶλλον, ἢ ἐπὶ τὰ ἄῤῥενα,

καὶ ἀποκρινάμενος,

Ὅπε προσῇ τὸ κάλλος, ἀμφιδέξιος [1],

ἔδοξεν οἰκείως ἀποκρίνασθαι τῆς ἐπιθυμίας· ὁ δὲ Φιλόκαλος καὶ γενναῖος ἐ πρὸς τὸ καλὸν, ἐδὲ τὴν εὐφυΐαν, ἀλλὰ μορίων διαφορὰς ποιεῖται τὲς ἔρωτας. καὶ Φίλιππος μὲν ἀνὴρ ἐδὲν ἧττον ἀσπάζεται τε Ποδάργε [2] τὴν εὐφυΐαν, ἢ Αἴθην τὴν Ἀγαμεμνονέην· καὶ θηρατικὸς ἐ τοῖς ἄῤῥεσι χαίρει μόνον, ἀλλὰ καὶ Κρήσσας τρέφει καὶ Λακαίνας σκύλακας· ὁ δὲ Φιλόκαλος καὶ φιλάνθρωπος ἐχ ὁμαλός ἐςιν, ἐδ᾽ ὅμοιος ἀμφοτέροις τοῖς γένεσιν, ἀλλ᾽ ὥσπερ ἱματίων οἰόμενος εἶναι διαφορὰς ἐρώντων [3] γυναικῶν καὶ ἀνδρῶν; καίτοι τήν γε ὥραν ἄνθος ἀρετῆς εἶναι λέγεσι· μὴ φάναι δ᾽ ἀνθεῖν τὸ θῆλυ, μηδὲ ποιεῖν ἔμφασιν εὐφυΐας πρὸς ἀρετὴν, ἄτοπόν ἐςι· καὶ γὰρ Αἰσχύλος ὀρθῶς ἐποίησε·

Νέας γυναικὸς ἔ με μὴ λάθῃ φλέγων

Ὀφθαλμὸς, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.

πότερον ἐν ἰταμε μὲν ἤθες καὶ ἀκολάςε καὶ διεφθορότος σημεῖα τοῖς εἴδεσι τῶν γυναικῶν ἐπιτρέχει, κοσμίε δὲ καὶ σώφρονος ἐδὲν ἔπεςι τῇ μορφῇ φέγγος; ἢ πολλὰ [4] μὲν ἔπεςι καὶ συνεπιφαίνεται, κινεῖ δ᾽ ἐθὲν, ἐδὲ προσκαλεῖται [5] τὸν ἔρωτα; ἐδέτερον γὰρ εὔλογον, ἐδ᾽ ἀληθὲς, ἀλλὰ κοινῶς, ὥσπερ δέδεικται,

 τοῖς

1 Cf. Plut. Opp. Vol. VII. p. 117.

2 cf. Hom. Iliad. XXIII, 295.

3 R. mavult ἐρώτων, addens, perinde esse, deinde servetur vulgata, an legatur γυναικείων καὶ ἀνδρείων. In voce ἐρώτων consentit W.

4 Praemisi ἢ, quod vulgo abest, ex mente Mez. & R. a W. probata.

5 R. monente, in frequentiori quidem usu est προκαλεῖται. vulgata tamen non improbanda.

τοῖς γένεσι πάντων ὑπαρχόντων ὥσπερ κενῦ συςάντος * 1, ὦ Δαφναῖε, πρὸς ἐκείνυς μαχόμεθα τὺς λόγυς, ὓς Ζεύξιππος ἀρτίως διῆλθεν, ἐπιθυμίᾳ τὸν Ἔρωτα ταυτὸ ποιῶν ἀκαταςάτῳ, καὶ πρὸς τὸ ἀκόλαςον ἐκφερέσῃ τὴν ψυχήν· ὐκ αὐτὸς ὕτω πεπεισμένος, ἀκηκοὼς δὲ πολλάκις ἀνδρῶν δυσκόλων καὶ ἀνεράςων· ὧν οἱ μὲν 2 ἄθλια γύναια προικιδίοις ἐφελκόμενα μετὰ χρημάτων εἰς οἰκονομίαν καὶ λογισμὺς ἐμβάλλοντες ἀνελευθέρυς, ζυγομαχῦντες ὁσημέραι διὰ χειρὸς ἔχυσιν· οἱ δὲ, παίδων δεόμενοι μᾶλλον ἢ γυναικῶν, ὥσπερ οἱ τέττιγες, εἰς σκίλλαν ἤ τι τοιῦτο τὴν γονὴν ἀφιᾶσιν, ὕτω διὰ τάχυς οἷς ἔτυχε σώμασιν ἐναπογεννήσαντες, καὶ καρπὸν ἀράμενοι, χαίρειν ἐῶσιν ἤδη τὸν γάμον, ἢ μένοντος ὐ φροντίζυσιν, ὐδ' ἀξιῦσιν ἐρᾶν, ὐδ' ἐρᾶσθαι· σέργεσθαι δὲ καὶ σέργειν ἑνί 3 μοι δοκεῖ γράμματι τῦ σέγειν παραλλάττον, εὐθὺς ἐμφαίνειν τὴν ὑπὸ χρόνυ καὶ συνηθείας ἀνάγκῃ μεμιγμένην εὔνοιαν. ᾧ δ' ἂν Ἔρως ἐπισκήψῃ καὶ ἐπιπνεύσῃ, πρῶτον μὲν ἐκ τῆς Πλατωνικῆς πόλεως τὸ ἐμὸν ὐκ 4 ἕξει καὶ τὸ ὐκ ἐμόν· ὐ γὰρ ἁπλῶς κοινὰ τὰ φίλων * ἀλλ'

1 R. legendum susp. ἀλλὰ κοινῶν & ὥσπερ ἐράνυ κοινῦ συςάντος. Kaltw. judice, excidit hic loci ea oratio, in qua rationes Zeuxippi proponantur. At W. lacunam a librariis relictam esse censet excidisse quid putantibus, cum nil desideretur, corrigendo ὡς ὑπὲρ κοινῦ συςάντες, ὦ Δ. & deinde μαχώμεθα — *veluti pro communi causa conjunctis viribus, mi Daphnaee, illas impugnemus rationes* —.

2 Praemisi ὧν, quod vulgo abest, jubentibus Mez. R. & W. Paulo post R. voluit ἐφελκόμενοι.

3 W. legendum monet, σέργειν, ὃ ἑνί μοι δ. & conjunctis hisce cum antecedentibus ita vertit: neque operam dant, ut ament & amentur, *sed ut mutua acquiescant voluntate, quod Graecis est* σέργειν *&* σέργεσθαι, *& una litera differens a* σέγειν *continere, prima fronte ostendere videtur benevolentiam tempore & consuetudine necessitati permixtam.*

4 ὐκ abest ab Ald. & Bas.

ἀλλ'[1] οἱ τοῖς σώμασιν ὁριζόμενοι τὰς ψυχὰς βίᾳ συνάγουσι καὶ συντήκουσι, μήτε βουλόμενοι δύο εἶναι, μήτε νομίζοντες· ἔπειτα σωφροσύνη[2] πρὸς ἀλλήλους, ἧς μάλιστα δεῖται γάμος, ἡ μὲν ἔξωθεν καὶ νόμῳ[3] πλέον ἔχουσα τοῦ ἑκουσίου τὸ βεβιασμένον, ὑπ' αἰσχύνης καὶ φόβων,

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

διὰ χειρός ἐστιν ἀεὶ τοῖς συνοῦσιν· Ἔρωτι δ' ἐγκρατείας τοσοῦτον καὶ κόσμου καὶ πίστεως μέτεστιν, ὥστε, κἂν ἀκολάστου ποτὲ θίγῃ ψυχῆς, ἀπέστρεψε τῶν ἄλλων ἐραστῶν, ἐκκόψας δὲ τὸ θράσος, καὶ κατακλάσας τὸ σοβαρὸν καὶ ἀνάγωγον, ἐμβαλὼν αἰδῶ, καὶ σιωπὴν, καὶ ἡσυχίαν, καὶ σχῆμα περιθεὶς κόσμιον, ἑνὸς ὑπήκοον ἐποίησεν. ἴστε δήπουθεν ἀκοῇ Λαΐδα τὴν ἀοίδιμον ἐκείνην καὶ πολυήρατον, ὡς ἐπέφλεγε[4] πόθῳ τὴν Ἑλλάδα, μᾶλλον δὲ ταῖς δυσὶν ἦν περιμάχητος θαλάσσαις· ἐπεὶ δ' Ἔρως ἔθιγεν αὐτῆς Ἱππολόχου τοῦ Θεσσαλοῦ[5], τὸν

Ὕδατι χλωρῷ κατακλυζόμενον προλιποῦσ'
Ἀκροκόρινθον,

καὶ ἀποδράσασα τῶν ἄλλων ἐραστῶν κρύφα[6], * μέγαν στρατὸν, ᾤχετο κοσμίως· ἐκεῖ δ' αὐτὴν αἱ γυναῖκες ὑπὸ φθόνου καὶ ζήλου διὰ τὸ κάλλος εἰς ἱερὸν Ἀφροδίτης



1 W. susp. φίλων, ἀλλὰ τούτων μόνον οἱ. Cf. Plat. de republ. L. V. Vol. VII. ed. Bip. p. 29.

2 Dedi in nomin. e R. mente pro vulg. σωφροσύνῃ.

3 Ita R. dari voluit, dedique e Turn. pro vulg. νόμων.

4 Sic Xyl. cum Guil. Cantero legit pro ὑπέφευγε, lectione Bas. & ἐπέφευγε, lectione Ald.

5 Cf. Pausan. II, 2. & Athen. XIII, p. 589.

6 Xyl. judice, immerito huic narrationi injectum est lacunae signum. R. susp. ἀποδράσασα κρύφα τὸν ἄλλων, vel ἄλλον, ἐραστῶν μέγαν στρατὸν, ᾤχετο εἰς Θεσσαλίαν, καὶ συνῴκει, vel συγκατεβίω, αὐτῷ κοσμίως. W. monet, defectus signum non suo loco positum, ponendum esse post κοσμίως.

δίτης προαγαγᾶσαι κατέλευσαν καὶ διέφθειραν· ὅθεν (ὡς ἔοικεν) ἔτι νῦν τὸ ἱερὸν, Ἀφροδίτης ἀνδροφόνȣ [1] καλᾶσιν. ἴσμεν δὴ καὶ θεραπαινίδια δεσποτῶν φεύγοντα συνȣσίας, καὶ βασιλίδων ὑπερορῶντας ἰδιώτας, ὅταν Ἔρωτα δεσπότην ἐν ψυχῇ κτήσωνται. καθάπερ γὰρ ἐν Ῥώμῃ φασὶ, τȣ̃ καλȣμένȣ [2] δικτάτωρος ἀναγορευθέντος, ἀποτίθεσθαι τὰς ἄλλας ἀρχὰς τὰς ἔχοντας [3], ὅτως οἷς ἂν Ἔρως κύριος ἐγγένηται, τῶν ἄλλων δεσποτῶν καὶ ἀρχόντων ἐλεύθεροι καὶ ἄφετοι, καθάπερ ἱερόδȣλοι, διατελᾶσιν. ἡ δὲ γενναία γυνὴ πρὸς ἄνδρα νόμιμον συγκραθεῖσα δι' Ἔρωτος, ἄρκτων ἂν ὑπομείνειε καὶ δρακόντων περιβολὰς μᾶλλον, ἢ ψαῦσιν ἀνδρὸς ἀλλοτρίȣ καὶ συγκατάκλισιν.

XXII. Ἀφθονίας δὲ παραδειγμάτων ὅσης πρός γε ὑμᾶς τὰς ὁμοχόρȣς [4] τȣ̃ θεȣ̃ καὶ θιασώτας, ὅμως τὸ περὶ Κάμμαν [5] ὅκ ἄξιόν ἐςι τὴν Γαλατικὴν παρελθεῖν. ταύτης γὰρ εὐπρεπεςάτης τὴν ὄψιν γενομένης, Σινάτῳ δὲ τετράρχῳ γαμηθείσης, Σινόριξ ἐρασθεὶς, δυνατώτατος τῶν Γαλατῶν, ἀπέκτεινε τὸν Σίνατον, ὡς ὅτε βιάσασθαι δυνάμενος, ὅτε πεῖσαι τὴν ἄνθρωπον, ἐκείνȣ ζῶντος. ἦν δὲ τῇ Κάμμῃ καταφυγὴ καὶ παραμυθία τȣ̃ πάθȣς, ἱερωσύνη πατρῷος Ἀρτέμιδος· καὶ τὰ πολλὰ παρὰ τῇ θεῷ διέτριβεν, ὐδένα προσιεμένη, μνωμένων πολλῶν βασιλέων καὶ δυναςῶν [6] αὐτήν. τȣ̃ μέντοι Σινόρι-

1 *quae homines occidit*, ut hic loci ἀνὴρ fexum foemininum non excludat; fed fimul complectatur totum nomen humanum. R.

2 Dedi fic e Xyl. mente, R. & W. probata, pro vulg. τȣ̃ καλȣ̃.

3 Sic R. legendum monuit, dedique cum W. idem ex B. & E. fumente, pro vulg. τὰς ἄλλας ἀρχὰς ἔχοντας. Etiam Ald. & Baf. voci ἄλλας praeponunt τάς.

4 Secutus fum W. ita e Schott. dantem pro vulg. ὁμοχώρȣς.

5 Ald. Baf. B. E. Καμίμαν conftanter. Xyl. legit Κάμμαν. Cf. Plut. Opp. Vol. VIII. p. 296. fq.

6 R. mavult δυνατῶν. Equidem addendo βασιλέων, quod vulgo abeft, fecutus fum W. fumentem iftam vocem ex B. & E.

νόριγος τολμήσαντος ἐντυχεῖν περὶ γάμε, τὴν πεῖραν ἐκ ἔφυγεν, ἐδ' ἐμέμψατο περὶ τῶν γεγονότων, ὡς δι' εὔνοιαν αὐτῆς καὶ πόθον, ἐκ ἄλλῃ τινὶ μοχθηρίᾳ, προαχθέντος [1] τῦ Σινόριγος. ἧκεν ἦν πιςεύσας ἐκεῖνος, καὶ ᾔτει τὸν γάμον· ἡ δ' ἀπήντησε, καὶ δεξιωσαμένη καὶ προσαγαγῦσα τῷ βωμῷ τῆς θεᾶς, ἔσπεισεν ἐκ Φιάλης μελίκρατον (ὡς ἔοικε) πεφαρμακωμένον· εἶτα ὅσον ἥμισυ μέρος αὐτὴ προεκπιῦσα, παρέδωκε τῷ Γαλάτῃ τὸ λοιπόν· ὡς δ' εἶδεν ἐκπεπωκότα, λαμπρὸν ἀνωλόλυξε, καὶ Φθεγξαμένη τὔνομα τῦ τεθνεῶτος· Ταύτην (εἶπεν) ἐγὼ τὴν ἡμέραν, ὦ Φίλτατε ἄνερ, προσμένυσά σε χωρὶς ἔζων ἀνιαρῶς· νῦν δὲ κόμισαί με χαίρων· ἠμυνάμην γὰρ ὑπὲρ σῦ τὸν κάκισον ἀνθρώπων, σοὶ μὲν βίε, τέτῳ δὲ θανάτε κοινωνὸς ἡδέως γενομένη. ὁ μὲν ἦν Σινόριξ, ἐν Φορείῳ κομιζόμενος, μετὰ μικρὸν ἐτελεύτησεν· ἡ δὲ Κάμμα, τὴν ἡμέραν ἐπιβιώσασα καὶ τὴν νύκτα, λέγεται μάλα εὐθαρσῶς καὶ ἱλαρῶς ἀποθανεῖν.

XXIII. Πολλῶν δὲ τοιέτων γεγονότων καὶ παρ' ἡμῖν καὶ παρὰ τοῖς βαρβάροις, τίς ἀνάσχοιτο τῶν τὴν Ἀφροδίτην λοιδορέντων, ὡς Ἔρωτι προσθεμένη καὶ παρῦσα, κωλύει Φιλίαν γενέθαι; τὴν μὲν [2] πρὸς ἄῤῥενα ἄῤῥενος ὁμιλίαν, μᾶλλον δ' ἀκρασίαν καὶ ἐπιπήδησιν εἴποι τις ἂν ἐννοήσας [3].

Ὕβρις τάδ', ἐχ ἡ Κύπρις, ἐξεργάζεται.

διὸ τὰς μὲν ἡδομένας τῷ πάσχειν εἰς τὸ [4] χείριςον τιθέμενοι γένος κακίας, ἔτε πίςεως μοῖραν, ἔτ' αἰδῦς, ἔτε Φι-

1 scil. εἰς αὐτά. R.

2 R. pro μὲν susp. leg. γάρ. W. addendum monet ἦν vel γάρ. Restitui deinde πρὸς ἄῤῥενα ἄῤῥενος ὁμ. cum in Frst. & R. desideretur ἄῤῥενα.

3 Turn. V. Bong. ἐμβοήσας.

4 Vulgo abest εἰς. W. id addidit ex B. & E.

φιλίαν [1] νέμομεν, ἀλλ' ὡς ἀληθῶς, κατὰ τὸν Σοφοκλέα,

Φίλων τοιέτων οἱ μὲν ἐστερημένοι
Χαίρεσιν, οἱ δ' ἔχοντες εὔχονται φυγεῖν.

ὅσοι δὲ μὴ κακοὶ πεφυκότες ἐξηπατήθησαν, ἢ κατεβιάσθησαν ἐνδῦναι καὶ παρασχεῖν ἑαυτὲς, ἐδένα μᾶλλον ἀνθρώπων ἢ τὲς διαθέντας ὑφορώμενοι καὶ μισἕντες διατελἕσι, καὶ πικρῶς ἀμύνονται καιρἕ παραδόντος. Ἀρχέλαόν τε γὰρ ἀπέκτεινε Κρατεύας [2] ἐρώμενος γεγονὼς· καὶ τὸν Φεραῖον Ἀλέξανδρον Πυθόλαος. Περίανδρος δὲ, ὁ Ἀμβρακιωτῶν τύραννος, ἠρώτα τὸν ἐρώμενον, εἰ μήπω κύει, κἀκεῖνος παροξυνθεὶς ἀπέκτεινεν αὐτόν. ἀλλὰ γυναιξί γε [3] γαμεταῖς ἀρχαὶ ταῦτα φιλίας, ὥσπερ ἱερῶν μεγάλων κοινωνήματα· καὶ τὸ [4] τῆς ἡδονῆς μικρόν· ἡ δ' ἀπὸ ταύτης ἀναβλαστάνεσα καθ' ἡμέραν τιμὴ καὶ χάρις καὶ ἀγάπησις ἀλλήλων καὶ πίστις, ἔτε Δελφὲς ἐλέγχει ληρἕντας, ὅτι τὴν Ἀφροδίτην Ἅρμα [5] καλἕσιν, ἔτε Ὅμηρον φιλότητα τὴν τοιαύτην προσαγορεύοντα συνεσίαν· τόν τε Σόλωνα μαρτυρεῖ γεγονέναι τῶν γαμικῶν ἐμπειρότατον νομοθέτην, κελεύσαντα, μὴ ἔλαττον ἢ τρὶς κατὰ μῆνα τῇ γαμετῇ πλησιάζειν, ἐχ ἡδονῆς ἕνεκα· πόθεν; ἀλλ' ὥσπερ αἱ πόλεις διὰ χρόνε σπονδὰς ἀνανεἕνται πρὸς ἀλλήλας, ἕτως

1 R. mavult φιλίας.

2 Sic e Baf. reftitui, quod R. legendum conjecit, & W. e Xyl. dedit, pro Κρατίας, quod ex Ald. in rell. tranfiit.

3 Dedi γε pro vulg. τε, R. jubente. Pro ἀλλὰ Ald. Baf. ἅμα. Hinc Xyl. locum afterifco notavit. W. fufp. deinde leg. ἄρχει ταῦτα φ. ὥ. ἱ. μ. τὰ κοινωνήματα.

4 R. mavult τὸ μὲν τ. ἡ. μ.

5 Kaltw. tefte, Ricard. e *Larcheri Memoire fur Venus* adnotationem fubjicit, non legendum effe Ἅρμα, *der Wagen*, fed ἅρμα, dorice pro ἅρμη, *die Verbindung*, *Zufammenfügung*. Cf. deinde Hom. Iliad. II 232.

ὅτως ἄρα βϰλόμενον [1] ἀνανεῦσθαι τὸν γάμον ἐκ τῶν ἑκάστοτε συλλεγομένων χημάτων [2] ἐν τῇ τοιαύτῃ Φιλοφροσύνῃ. ἀλλὰ πολλὰ Φαῦλα καὶ μανικὰ τῶν γυναικείων Ἐρώτων [3]. τί δ' ἐχὶ πλείονα τῶν παιδικῶν;

Οἰκειότητα ἐμβλέπων ὤλιθανον,

Ἀγένειος, ἁπαλὸς, καὶ νεανίας καλὸς.

Ἐμφύντα ἀποθανεῖν καὶ ἐπιγράμματος τυχεῖν [4].

ἀλλ' ὥσπερ [5] τῦτο παιδομανία τὸ πάθος, ἐδέτερον δ' Ἔρως ἐςίν. ἄτοπον ἐνὶ τὸ γυναιξὶν ἀρετῆς Φάναι μηδ' ἄλλης μετεῖναι· τί δεῖ λέγειν; περὶ δὲ [6] σωφροσύνης καὶ συνέσεως αὐτῶν, ἔτι δὲ πίςεως καὶ δικαιοσύνης, ὅπϰ καὶ [7] τὸ ἀνδρεῖον καὶ τὸ θαῤῥαλέον καὶ τὸ μεγαλόψυχον ἐν πολλαῖς ἐπιφανὲς γέγονε· πρὸς δὲ τὰ ἀλλὰ

1 Sic dedi, R. jubente, ut redeat ad Solonem, pro vulgi βϰλόμενοι. Dedit idem W. sententia postulante. Xyl. Mez. βϰλόμενοι.

2 W. legendum censet ἰσχημάτων.

3 Secutus sum W. ita e Mez. dantem, in Ἐρώτων consentiente simul E. Vulgo τῶν γυναικείων ἐρώντων.

4 Distinxi hos versus, W. duce. R. eos e Menandro petitos censet, eisque adnumerat τί δ' ἐχὶ, πλ. τ. παιδ. corrigens πλείονας, & οἰκειότητας seq. versu, in cujus fine post ὤλιθανον signum interrogandi ponit. Tertium deinde sic constituit Ἀγένειος, ἁπαλὸς καὶ καλὸς νεανίας, post quem versum aliquem deesse suspicatur, hujus fortassis sententiae: — εἶτα τῦτό μοι ἐποίησεν εὔχεσθαι τοῖς παιδικοῖς — quidni vero cespitaverim, videns multo Plures & majores juvenum inter se familiaritates? Ego, qui essem juvenis imberbis, molliculus & formosus. Id me fecit optare, ut amplexus amasio meo Morerer, & ejus rei causa titulum sepulcralem adipiscerer.

5 R. supplendum susp. ἀλλ' ὥσπερ ἐκεῖνο θηλυμανία, ὅτω τῦτο παιδομανία. Consentiunt Mez. & W.

6 R. susp. μηδ' ἄλλης μετεῖναι, μηδὲ Φιλίας. περὶ δὲ σωφροσ. W. cum Mez. legendum censet τί γὰρ δεῖ λέγειν περὶ σωφρ.

7 R. susp. δικαιοσύνης, τί δεῖ λέγειν, ὅπϰ καὶ.

ἄλλα καλὰ τὴν Φύσιν αὐτῶν, μὴ ψέγοντας, [1] εἰς μόνην Φιλίαν ἀνάρμοϛον ἀποΦαίνειν, παντάπασι δεινόν. καὶ γὰρ Φιλότεκνοι καὶ Φίλανδροι, καὶ τὸ ϛερκτικὸν ὅλως ἐν αὐταῖς, ὥσπερ εὐΦυὴς χώρα καὶ δεκτικὴ Φιλίας, ὅτε πειθοῦς ὅτε χαρίτων ἄμοιρον ὑπόκειται· καθάπερ δὲ λόγῳ ποίησις ἡδύσματα [2] μέλη καὶ μέτρα καὶ ῥυθμοὺς ἐΦαρμόσασα, καὶ τὸ παιδεῦον αὐτοῦ κινητικώτερον ἐποίησε, καὶ τὸ βλάπτον ἀΦυλακτότερον· οὕτως ἡ Φύσις γυναικὶ περιθεῖσα χάριν ὄψεως, καὶ Φωνῆς πιθανότητα, καὶ μορΦῆς ἐπαγωγὸν εἶδος, τῇ μὲν ἀκολάϛῳ πρὸς ἡδονὴν καὶ ἀπάτην, τῇ δὲ σώΦρονι πρὸς εὔνοιαν ἀνδρὸς καὶ Φιλίαν, μεγάλα συνήργησεν. ὁ μὲν οὖν Πλάτων τὸν Ξενοκράτη, τἄλλα γενναῖον ὄντα καὶ μέγαν, αὐϛηρότατον δὲ τῷ ἤθει, παρεκάλει θύειν ταῖς Χάρισι· χρηϛῇ δ' ἄν τις γυναικὶ καὶ σώΦρονι παραινέσειε τῷ Ἔρωτι θύειν, ὅπως εὐμενὴς συνοικουρῇ τῷ γάμῳ καὶ ἡδὺς [3] * γυναικείοις, καὶ μὴ πρὸς ἑτέραν ἀποῤῥυεὶς ὁ ἀνὴρ ἀναγκάζηται τὰς ἐκ τῆς κωμῳδίας λέγειν Φωνάς·

Οἵαν ἀδικῶ γυναῖκα ὁ δυσδαίμων ἐγώ.

τὸ γὰρ ἐρᾷν ἐν γάμῳ, τοῦ ἐρᾶσθαι μεῖζον ἀγαθόν ἐϛι πολ-

1 Secutus sum in his W. partim e codd. ita corrigentem, partim consequenter. δὲ nimirum sumsit ex E. ψέγοντας ex B. & E. Vulgo γέγονε πρὸς τὰ ἄλλα κατὰ τὴν Φύσιν αὐτῶν. ἀλλ' ἢ ψέγονται. R. susp. ἐπιΦανὲς γέγονε κατὰ Φύσιν αὐταῖς ὄν. ἀλλ' εἰ καὶ ὀρθῶς πρὸς, vel εἰς, τὰ ἄλλα ψέγονται, εἴγε μόνην τὴν Φιλίαν ἀναρμόϛους αὐτὰς ἀποΦαίνειν, παντάπασι δεινὸν — apparet naturae ipsarum insitum. At, finge tandem, recte ipsas ob reliqua vitia & defectus reprehendi, attamen immane profecto est, eas solius amicitiae capaces non esse affirmare.

2 R. mavult ἥδυσμα, τὰ μέλη, aut potius ἥδυσμα, μέλη absque τά.

3 R. judice, forte haec sententia deest ὅπως Φίλτροις ἐμΦιλοχωρῇ τοῖς γυναικείοις. W. ita emendari vult ἡδέως συνοικῶν μὴ πρὸς ἑτέραν —. Cf. Vol. VII. p. 420.

πολλῶν γὰρ ἁμαρτημάτων ἀπαλλάττει, μᾶλλον δὲ πάντων, ὅσα διαφθείρει καὶ λυμαίνεται τὸν γάμον.

XXIV. Τὸ δ' ἐμπαθὲς ἐν ἀρχῇ καὶ δάκνον, ὦ μακάριε Ζεύξιππε, μὴ φοβηθῇς, ὡς ἕλκος ἢ ὀδαξησμόν. καίτοι καὶ μεθ' ἕλκες ἴσως ἐδὲν ἦ δεινὸν [1], ὥσπερ τὰ δένδρα, συμφυῆ γενέθαι πρὸς γυναῖκα χρηςήν· ἑλκώσεις δὲ καὶ κυήσεως [2] ἀρχή· μίξις γὰρ ἐκ ἔςι τῶν μὴ πρὸς ἄλληλα πεπονθότων. ταράττει δὲ καὶ μαθήματα παῖδας ἀρχομένες [3], καὶ φιλοσοφία νέες· ἀλλ' ἔτε τέτοις ἀεὶ παραμένει τὸ δηκτικὸν [4], ἔτε τοῖς ἐρῶσιν· ἀλλ' ὥσπερ ὑγρῶν [5] πρὸς ἄλληλα συμπεσόντων, ποιεῖν τινα δοκεῖ ζέσιν ἐν ἀρχῇ καὶ τάραξιν ὁ Ἔρως, εἶτα χρόνῳ καταςήσας [6] καὶ καθαιρεθεὶς, τὴν βεβαιοτάτην διάθεσιν παρέχεν. αὕτη γάρ ἐςιν ὡς ἀληθῶς ἡ δι' ὅλων λεγομένη κρᾶσις, ἡ τῶν ἐρώντων· ἡ δὲ τῶν ἄλλως [7] συμβιέντων ταῖς κατ' Ἐπίκερον ἁφαῖς [8] καὶ περιπλοκαῖς ἔοικε, συγκρέσεις λαμβάνεσα καὶ ἀποπηδήσεις, ἑνότητα δ' ἐ ποιἕσα τοιαύτην, οἵαν Ἔρως ποιεῖ, γαμικῆς κοινωνίας ἐπιλαβόμενος. ἔτε γὰρ ἡδοναὶ μείζονες ἀπ' ἄλλων, ἔτε χρεῖαι συνεχέςεραι πρὸς ἄλλες, ἔτε φιλίας τὸ καλὸν ἑτέρας ἔνδοξον ἔτω καὶ ζηλωτὸν,

Ὡς ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
Ἀνὴρ ἠδὲ γυνή [9].

καὶ

1 Mez. corrigit ἦν δεινόν.

2 Sic cum W. restitui ex Ald. Bas. Xyl. adsentientibus B. E. Mez. & R. pro vulg. κινήσεως.

3 fil. μανθάνειν. R.

4 Ald. δεκτικόν, & deinde ὁρῶσιν pro ἐρῶσιν.

5 R. mavult ὑγρῶν τινα πρ. ἀλ.

6 R mavult καταςὰς, reductus ad quietem & stabilitatem.

7 Dedi sic e R. & W. mente. Vulgo κρᾶσις, ἡ τῶν ἐρώτων ἄλλων συμβ.

8 R. sulp. ἁφαῖς τῶν ἀτόμων καὶ περιπλ.

9 Hom. Odyss. VI, 183.

καὶ γὰρ ὁ νόμος βοηθεῖ, καὶ [1] γεννήσεως κοινῆς καὶ τοὺς θεοὺς Ἔρωτος ἡ Φύσις ἀποδείκνυσι δεομένους. ἔτι γὰρ ἐρᾷν ὄμβρου γαῖαν [2] οἱ ποιηταὶ λέγουσι καὶ γῆς οὐρανόν, ἥλιον δὲ σελήνης ἐρᾷν οἱ Φυσικοί, καὶ συγγενέσθαι καὶ κυεῖσθαι [3]. καὶ γῆν δ' ἀνθρώπων μητέρα καὶ ζώων καὶ Φυτῶν ἁπάντων γένεσιν [4], οὐκ ἀναγκαῖον ἀπολέσθαι ποτὲ καὶ σβεσθῆναι παντάπασιν, ὅταν ὁ δεινὸς Ἔρως, ἢ ἵμερος [5] τοῦ θεοῦ τὴν ὕλην ἀπολίπῃ, καὶ παύσηται ποθοῦσα καὶ διώκουσα τὴν ἐκεῖθεν ἀρχὴν καὶ κίνησιν [6]; ἀλλ' ἵνα μὴ μακρὰν ἀποπλανᾶσθαι δοκῶμεν, ἢ κομιδῇ Φλυαρεῖν, οἶσθα τοὺς παιδικοὺς Ἔρωτας ὡς ἀβεβαιότατα πολλὰ λέγουσι [7] καὶ σκώπτουσι λέγοντες, ὥσπερ ᾠὸν αὐτῶν τριχὶ διαιρεῖσθαι [8] τὴν Φιλίαν, αὐτοὺς δὲ νομάδων δίκην ἐνεαρίζοντας [9] τοῖς τεθηλόσι καὶ ἀνθηροῖς, εὐθὺς ὡς ἐκ τῆς [10] πολεμίας ἀναστρατοπεδεύειν· ἔτι [11] δὲ Φορτικώτερον ὁ σοφιστὴς Βίων τὰς τῶν καλῶν τρίχας Ἁρμοδίους ἐκάλει καὶ Ἀ-

ριστο-

1 R. legi vult καὶ ἀνάγκη γεννήσ. κοινῆς.

2 ὄμβρου γαῖαν addidit W. ex B. & E. Vulgo absunt. Hinc R. mox sequens καὶ aut delendum censuit, aut deesse aliquid.

3 R. judice, κυεῖσθαι de Sole nequit dici; hinc suspectum, aut legendum ἡλίου δὲ σελήνην.

4 R. quaerit, num γενέτιν, matrem, vel γενέτειραν?

5 Pro ἵμερος exhibent μέρος Ald. Bas.

6 W. cum Mez. legendum censet κύησιν.

7 R. susp. τοὺς παιδικῶν ἐρῶντας ἀβεβαιοτάτους οἱ πολλοὶ λέγουσι, praeferens ἐρῶντας ob seq. αὐτῶν & αὐτοὺς; W. autem ὡς εἰς ἀβεβαιότητα πολλοὶ ψέγουσι.

8 Ita legendum monuerunt Mez. Ruhnken. ad Timaei Lex. Platon. p. 137. R. & W. dedique pro vulg. τριχῇ αἱρεῖσθαι.

9 R. mavult ἐνεαρίσαντας.

10 Vulgo εὐθὺς ἐκ τῆς πολ. R. voluit ὥσπερ ἐκ γῆς πολ. W. cum Mez. corrigit inserendo ὡς, quod dedi.

11 Pro ἔτι Ald. Bas. ἐπεί.

ῥιςογείτονας, ὡς ἅμα [1] καλῆς τυραννίδος ἀπαλλαττομένες ὑπ' αὐτῶν τὲς ἐραςάς. ταῦτα μὲν ἐ δικαίως κατηγορεῖται τῶν γνησίων ἐραςῶν. τὰ δὲ ὑπὸ Εὐριπίδε ῥηθέντα ἐςὶ κομψά· ἔφη γὰρ Ἀγάθωνα τὸν καλὸν ἤδη γενειῶντα περιβάλλων καὶ κατασπαζόμενος, ὅτι τῶν καλῶν καὶ τὸ μετόπωρον καλὸν ἐνδέχεται [2] μόνον ἐδὲν πολιαῖς ἀκμάζων καὶ ῥυτίσιν, ἀλλ' ἄχρι τάφων καὶ μνημάτων παραμένει· καὶ συζυγίας ὀλίγας ἐςὶ παιδικῶν, μυρίας δὲ γυναικείων ἐρώτων καταριθμήσασθαι, πάσης πίςεως κοινωνίαν πιςῶς ἅμα καὶ [3] προθύμως συνδιαφερέσας· βέλομαι δ' ἕν τι τῶν καθ' ἡμᾶς ἐπὶ Καίσαρος Οὐεσπασιανῦ γεγονότων διελθεῖν.

XXV. Ἰέλιος γὰρ, ὁ τὴν ἐν Γαλατίᾳ κινήσας ἀπόςασιν, ἄλλες τε πολλὲς (ὡς εἰκὸς) ἔσχε κοινωνὲς, καὶ Σαβῖνον [4], ἄνδρα νέον, ἐκ ἀγεννῆ, πλέτῳ δὲ καὶ δόξῃ ἀνθρώπων πάντων [5] ἐπιφανέςατον. ἀψάμενοι δὲ πραγ-

1 R. post ἅμα deesse susp. τμηθέντων aut κοπέντων, *simul cum abrasis crinibus*. Dicendum foret τμηθεισῶν & κοπεισῶν. Satis noti Aristogiton & Harmodius ob consilium patriae a tyrannide Pisistratidarum liberandae.

2 Ante ἐνδέχεται aliquid excidisse R. suspicatur. Deinde iunctis quae vacuo spatio praeter rem interjecto divulsa vulgo erant, legi vult μόνον ἐδ' ἐν πολιαῖς ἀπακμάζον καὶ ῥυτίσιν. Salmas. ἐδ' ἐν πολιαῖς ἀκμάζων. W. susp. καλόν· ἐγὼ δὲ φημὶ ὅτι ὁ τῶν γυναικῶν τῶν καλῶν καὶ σωφρόνων Ἔρως ἐ μόνον ἐν γήρᾳ ἐδ' ἐν πολιαῖς. Ald. omittit καλὸν ante ἐνδέχεται, & exhibet πολιῶσα. Bas. Xyl. πολιαῖς. Steph. Frst. πολιαῖ.

3 abest καὶ ab Ald. Bas.

4 R. ad haec notat: „Julius & Sabinus idem homo est; Julius Sabinus. Male dividit Plutarchus. Si dicas, ad Julium Vindicem respici, at ille non sub Vespasiano tumultum edidit, sed sub Nerone. Potest tamen sic accipi, ut Julii Sabini turbae reliquiae fuerint seditionis a Julio Vindice concitatae.“ Cf. Tacit. Hist. L. IV, 67. Dio Cass. L. 66. c. 3.

5 W. non probat. Mavult Γαλατῶν πάντων, vel ἀνθρώπων τῶν ἐκεῖ πάντων, vel τῶν ἄλλων πάντων.

πραγμάτων μεγάλων ἐσφάλησαν, καὶ δίκην δώσειν προσδοκῶντες, οἱ μὲν αὐτὰς ἀνῄρευ, οἱ δὲ φεύγοντες ἡλίσκοντο· τῷ δὲ Σαβίνῳ τὰ μὲν ἄλλα πράγματα ῥᾳδίως παρεῖχεν ἐκ ποδῶν γενέσθαι καὶ καταφυγεῖν εἰς τὰς βαρβάρες· ἦν δὲ γυναῖκα πασῶν ἀρίστην ἠγμένος, ἣν ἐκεῖ μὲν Ἐμπονὴν [1] ἐκάλεν, Ἑλληνιστὶ δ' ἄν τις Ἡρωΐδα προσαγορεύσειε· ταύτην [2] ἔτ' ἀπολιπεῖν δυνατὸς ἦν, ὅτε μεθ' ἑαυτȣ̃ κομίζειν. ἔχων ȣ̃ν κατ' ἀγρὸν ἀποθήκας χρημάτων ὀρυκτὰς ὑπογείȣς, ἃς δύο μόνοι τῶν ἀπελευθέρων συνῄδεισαν, τȣ̀ς μὲν ἄλλȣς ἀπήλλαξεν οἰκέτας, ὡς μέλλων φαρμάκοις ἀναιρεῖν ἑαυτόν· δύο δὲ πιςȣ̀ς παραλαβὼν, εἰς τὰ ὑπόγεια κατέβη· πρὸς δὲ τὴν γυναῖκα Μαρτάλιον ἔπεμψεν, ἀπελεύθερον, ἀπαγγελȣ̃ντα τεθνάναι μὲν ὑπὸ φαρμάκων, συμπεφλέχθαι δὲ μετὰ τȣ̃ σώματος τὴν ἔπαυλιν· ἐβȣ́λετο γὰρ τῷ [3] * τῆς γυναικὸς ἀληθινῶς πρὸς πίςιν τῆς λεγομένης τελευτῆς. ὃ καὶ συνέβη· ῥίψασα γὰρ, ὅπως ἔτυχε, τὸ σῶμα μετὰ [4] * καὶ ὀλοφυρμῶν ἡμέρας τρεῖς καὶ νύκτας ἄσιτος διεκαρτέρησε. ταῦτα δὲ ὁ Σαβῖνος πυνθανόμενος, καὶ φοβηθεὶς, μὴ διαφθείρῃ παντάπασιν ἑαυτὴν, ἐκέλευσε φράσαι κρύφα τὸν Μαρτάλιον πρὸς αὐτὴν, ὅτι ζῇ καὶ κρύπτεται, δεῖται δ' αὐτῆς ὀλίγον ἐμ-

1 Tacit. l. c. *Epponinam* vocat, Dio Cassius *Peponilam*. Salmas. legendum censuit Σεμόνην, Semonam, cum Semo, Semonis, heroëm notet.

2 Inserui ταύτην, quod vulgo abest, e Xyl. vers. probantibus R. & W.

3 Xyl. monente, non ratio hic, sed verba Plutarchi desunt. *Volebat ejulatu uxoris confirmare de morte sua opinionem, ut nimirum deinde, investigatione sublata, tutius evaderet.* R. susp. ἐβȣ́λετο γὰρ τῷ πένθει τῆς γυναικὸς ἀληθινῷ χρῆσθαι τεκμηρίῳ πρὸς πίςιν. W. cum Mez. τῷ πένθει χρῆσθαι τῆς γυναικὸς ἀληθινῷ.

4 R. judice deest δακρύων, vel ςεναγμῶν, vel οἰμωγῶν; aut cum W. & Mez. in promtu est supplere θρήνων, vel δακρύων, vel simile.

ἐμμεῖναι τῷ πένθει. καὶ μηδὲ [1] * πιθανὴν ἐν τῇ προσποιήσει γενέσθαι. τὰ μὲν οὖν ἄλλα παρὰ τῆς γυναικὸς ἐναγωνίως συνετραγῳδεῖτο [2] τῇ δόξῃ τοῦ πάθους· ἐκεῖνον δ' ἰδεῖν ποθοῦσα νυκτὸς ᾤχετο, καὶ πάλιν ἐπανῆλθεν. ἐκ δὲ τούτου λανθάνοντος [3] τοὺς ἄλλους, ὀλίγον ἀπέδει συζῆν ἐν ᾅδου τῷ ἀνδρὶ πλὴν ἑξῆς [4] ἑπτὰ μηνῶν· ἐν οἷς κατασκευάσασα τὸν Σαβῖνον ἐσθῆτι καὶ κουρᾷ καὶ καταδέσει τῆς κεφαλῆς ἄγνωστον, εἰς Ῥώμην ἐκόμισε μεθ' ἑαυτῆς τινῶν [5] ἐνδεδομένων· πράξασα δ' οὐδὲν, αὖθις ἐπανῆλθε· καὶ τὰ μὲν πολλὰ ἐκείνῳ συνῆν ὑπὸ γῆς, διὰ χρόνου δ' εἰς πόλιν ἐφοίτα ταῖς φίλαις ὁρωμένη καὶ οἰκείαις γυναιξί. τὸ δὲ πάντων ἀπιστότατον, ἔλαθε κύουσα λουομένη μετὰ τῶν γυναικῶν· τὸ γὰρ φάρμακον, ᾧ τὴν κόμην αἱ γυναῖκες ἐναλειφόμεναι ποιοῦσι χρυσοειδῆ καὶ πυῤῥὰν, ἔχει λίπασμα σαρκοποιὸν ἢ χαυνωτικὸν [6] σαρκὸς, ὥστε οἷον διάχυσίν τινα ἢ διόγκωσιν ἐμποιεῖν· ἀφθόνῳ δὴ χρωμένη τούτῳ πρὸς τὰ λοιπὰ μέρη τοῦ σώματος, αἰρόμενον καὶ ἀναπιμπλάμενον ἀπέκρυπτε τὸν τῆς γαστρὸς ὄγκον. τὰς δ' ὠδῖνας αὐτὴ καθ' ἑαυτὴν διήνεγκεν, ὥσπερ ἐν φωλεῷ λέαινα καταδύσασα πρὸς τὸν ἄνδρα, καὶ τοὺς γενομένους ὑπεθρέψατο σκύμνους ἄῤῥενας· δύο γὰρ ἔτεκε. τῶν δὲ



1 R. ſuſp. καὶ μηδέν τι ἧττον πιθανὴν, aut καὶ μηδὲν παραλείπειν, ὥστε πιθανήν; W. μηδὲν ἀνιέναι, ἀλλὰ πιθανήν.

2 R. mavult συνεξετραγῳδεῖτο.

3 Mez. λανθάνουσα; E. λανθανούσης, W. teſte, & vulgatum forte ſanum monente. Cum eodem deinde dedi συζῆν, ex B. & E. ſumtum; Ald. συνῆν, unde vulgatum συνεῖναι effectum, eodem ducente.

4 R. legi vult πλὴν ἕξ, ἢ καὶ ἑπτὰ μ. W. πλὴν in πλεῖον mutandum cenſet.

5 R. & W. inſerendum ſuſp. ἐλπίδων, ut Xyl. vertendo ſupplevit.

6 Turn. V. Bong. μυνωτικόν; Ald. mendoſe χαμυνωτικόν.

υἱῶν ὁ μὲν ἐν Αἰγύπτῳ [1] πεσὼν ἐτελεύτησεν, ὁ δὲ ἕτερος ἄρτι καὶ πρώην γέγονεν ἐν Δελφοῖς παρ' ἡμῖν, ὄνομα Σαβῖνος. ἀποκτείνει μὲν οὖν αὐτὴν ὁ Καῖσαρ· ἀποκτείνας δὲ δίδωσι δίκην, ἐν ὀλίγῳ χρόνῳ τοῦ γένους παντὸς ἄρδην ἀναιρεθέντος [2]. οὐδὲν γὰρ ἤνεγκεν ἡ τότε ἡγεμονία σκυθρωπότερον, οὐδὲ μᾶλλον ἑτέραν εἰκὸς ἦν καὶ θεοὺς καὶ δαίμονας ὄψιν ἀποστραφῆναι. καίτοι τὸν οἶκτον ἐξῄρει τῶν θεωμένων τὸ θαῤῥαλέον αὐτῆς καὶ μεγαλήγορον, ᾧ καὶ μάλιστα παρώξυνε τὸν Οὐεσπασιανόν, ὡς ἀπέγνω τῆς σωτηρίας πρὸς αὐτὸν ἀλλαγὴν [3] κελεύουσα· βεβιωκέναι γὰρ ὑπὸ σκότῳ καὶ κατὰ γῆς ἥδιον, ἢ βασιλεύοντα ἐκεῖνον [4].

XXVI. Ἐνταῦθα μὲν ὁ πατὴρ ἔφη, τὸν περὶ Ἔρωτος αὐτοῖς τελευτῆσαι λόγον, τῶν Θεσπιῶν [5] ἐγγὺς ὄντων· ὀφθῆναι δὲ προσιόντα θᾶττον ἢ βάδην πρὸς αὐτοὺς ἕνα τῶν Πεισίου ἑταίρων, Διογένη· τοῦ δὲ Σωκλάρου πρὸς αὐτὸν ἔτι πόῤῥωθεν εἰπόντος· Οὐ πόλεμόν γε, ὦ Διόγενες, ἀπαγγέλλων· ἐκεῖνον· Οὐκ εὐφημήσετε, φάναι, γάμων ὄντων, καὶ προάξετε θᾶσσον, ὡς ὑμᾶς τῆς θυσίας περιμενούσης; πάντας μὲν οὖν ἡσθῆναι, τὸν δὲ Ζεύξιππον ἐρέσθαι, εἰ ἔτι [6] χαλεπός ἐστι.

πρῶ-

1 W. susp. ὑπεθρέψατο ὥσπερ σκύμνους τιμωρούς· δύο γὰρ ἔτεκεν ἄῤῥενας· ὧν ὁ μὲν ἐν Αἰγ.

2 Colligit inde R., libellum hunc post Domitiani caedem scriptum fuisse.

3 R. susp. ἀπάγειν ὑπὸ γῆν κελεύ. aut saltim ἀπάγειν pro ἀλλαγὴν, *ad mortem se duci.* W. susp. ἀγγέλλειν.

4 Turn. V. Bong. ἢ βασιλευόντων ἐκείνων, haud dubie ad correctionem Ald. βασιλεύων ἐκείνων. Ald. & Bas. post haec addunt vocem ὡς.

5 Ald. Bas. Θεσπιέων.

6 Secutus sum W. veram lectionem sic ex E. ἐρᾶσθαι ἔτι constituentem. Vulgo ὁρᾶσθαι, ὅτι χαλ. Turn. V. Bong. ὅτι χαλεπὸς οὐκ ἐστι. — *ibi omnibus exhilaratis Zeuxippum quaesivisse, an Pisias adhuc succenseret.*

πρῶτος μὲν ἐν, ὡς ἐνῆν [1], συνεχώρησε τῇ Ἰσμηνοδώρᾳ· καὶ νῦν ἑκὼν στέφανον καὶ λευκὸν ἱμάτιον λαβὼν, οἷός ἐστιν ἡγεῖσθαι δι' ἀγορᾶς πρὸς τὸν θεόν. ἀλλ' ἴωμεν, ναὶ μὰ Δία, τὸν πατέρα εἰπεῖν, ἴωμεν, ὅπως ἐπεγγελάσωμεν τῷ ἀνδρὶ, καὶ τὸν θεὸν προσκυνήσωμεν. δῆλος γάρ ἐστι χαίρων καὶ παρὼν εὐμενὴς τοῖς [2] πραττομένοις.

---

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΡΩΤΙΚΑΙ ΔΙΗΓΗΣΕΙΣ [3].

---

Ἐν Ἁλιάρτῳ τῆς Βοιωτίας κόρη τις γίνεται κάλλει διαπρέπουσα, ὄνομα Ἀριστόκλεια· θυγάτηρ δ' ἦν Θεοφάνους. ταύτην μνῶνται Στράτων Ὀρχομένιος καὶ Καλλισθένης Ἁλιάρτιος. πλουσιώτερος δ' ἦν Στράτων, καὶ μᾶλλόν τι τῆς παρθένου ἡττημένος· ἐτύγχανε γὰρ ἰδὼν αὐτὴν ἐν Λεβαδίᾳ λουομένην ἐπὶ τῇ κρήνῃ τῇ Ἑρκύνῃ. ἔμελλε γὰρ τῷ Διῒ τῷ βασιλεῖ κανηφορεῖν. ἀλλ' ὁ Καλλισθένης γε πλέον ἐφέρετο· ἦν γὰρ καὶ γένει προσήκων τῇ κόρῃ. ἀπορῶν δὲ τῷ πράγματι ὁ Θεοφάνης (ἐδεδίει γὰρ τὸν Στράτωνα, πλούτῳ τε καὶ γένει σχεδὸν ἁπάντων διαφέροντα τῶν Βοιωτῶν) τὴν αἵρεσιν ἐβούλετο τῷ Τροφωνίῳ ἐπιτρέψαι. καὶ ὁ Στράτων



1 W. ex E. notat ἐν ἦ. & inde forte corrigendum susp. ἔφη.
2 R. mavult χαίρων καὶ εὐμενὴς παρὼν τοῖς πρ.
3 W. judice, libellus hic non a Plutarcho scriptus videtur.

των (ἀνεπέπειςο γὰρ ὑπὸ τῶν τῆς παρθένε οἰκετῶν, ὡς πρὸς αὐτὸν [1] μᾶλλον ἐκείνη ῥέποι) ἠξίε ἐπ' αὐτῇ ποιεῖσθαι τῇ γαμεμένῃ τὴν ἐκλογήν. ὡς δὲ τῆς παιδὸς ὁ Θεοφάνης ἐπυνθάνετο ἐν ὄψει πάντων, ἡ δὲ τὸν Καλλιθένην πρὄκρινεν, εὐθὺς μὲν ὁ Στράτων δῆλος ἦν βαρέως φέρων τὴν ἀτιμίαν· ἡμέρας δὲ διαλιπὼν δύο, προσῆλθε τῷ Θεοφάνει καὶ τῷ Καλλιθένει, ἀξιῶν τὴν φιλίαν αὐτῷ πρὸς αὐτὲς διαφυλάττεσθαι, εἰ καὶ τε γάμε ἐφθονήθη ὑπὸ δαιμονίε τινός. οἱ δ' ἐπῄνεν τὰ λεγόμενα, ὥςε καὶ ἐπὶ τὴν ἑςίασιν τῶν γάμων παρεκάλεν αὐτόν. ὁ δὲ ἧκε [2] παρεσκευασμένος ἑταίρων ὄχλον, καὶ πλῆθος ἐκ ὀλίγον θεραπόντων, διεσπαρμένες παρὰ τέτοις [3], καὶ λανθάνοντας, ἕως ἡ κόρη κατὰ τὰ πάτρια ἐπὶ τὴν Κισσόεσσαν καλεμένην κρήνην κατῄει ταῖς νύμφαις τὰ προτέλεια θύσεσα· τότε δὴ συνδραμόντες πάντες οἱ λοχῶντες ἐκεῖνοι [4] συνελάμβανον αὐτήν. καὶ ὁ Στράτων εἴχετο τῆς παρθένε· ἀντελαμβάνετο δὲ (ὡς εἰκὸς) ὁ Καλλιθένης ἐν μέρει, καὶ οἱ σὺν αὐτῷ, ἕως ἔλαθεν ἡ παῖς ἐν χερσὶ τῶν ἀνθελκόντων διαφθαρεῖσα. ὁ Καλλιθένης μὲν ἐν παραχρῆμα ἀφανὴς ἐγένετο, εἴτε διαχρησάμενος ἑαυτὸν, εἴτε φυγὰς ἀπελθὼν ἐκ τῆς Βοιωτίας. ἐκ εἶχε δ' ἄν τις εἰπεῖν, ὅ τι καὶ ἐπεπόνθει [5]. ὁ δὲ Στράτων φανερῶς ἐπικατέσφαξεν ἑαυτὸν τῇ παρθένῳ.

II. Φείδων [6] τις τῶν Πελοποννησίων ἐπιτιθέμενος ἀρ-

1 Petav. αὐτῶν.

2 Inserendo ἧκε secutus sum W. id ex E. sumentem. Vulgo abest.

3 Petav. τέτες.

4 Petav. ἐκείνῳ, & deinde inter Στράτων & εἴχετο inserit γε.

5 Petav. πεπόνθοι.

6 Ald. Bas. Φίλων. Xyl. Φίδων legendum notavit. Ita Petav. Teste W. constanter B. Φείδων; E. Venet. Φίδων. Pausan. VI, 22. de tyranno Pheidone facit mentionem, qui, Kaltw. judice, idem cum Plutarcheo esse videtur. Mox pro τῶν W. mavult τῇ.

ἀρχῇ, τὴν Ἀργείων πόλιν, τὴν πατρίδα τὴν ἑαυτȣ̃, ἡγεμονεύειν τῶν λοιπῶν βȣλόμενος, πρῶτον ἐπεβȣ́λευσε Κορινθίοις· πέμψας γὰρ ᾔτει παρ᾽ αὐτῶν νεανίας χιλίας, τȣ̀ς ἀκμῇ διαφέροντας καὶ ἀνδρείᾳ· οἱ δὲ πέμπȣσι τȣ̀ς χιλίȣς, ϛρατηγὸν αὐτῶν [1] ἀποδείξαντες Δέξανδρον. ἐν νῷ δ᾽ ἔχων ὁ Φείδων ἐπιθέσθαι τȣ́τοις, ἵν᾽ ἔχοι Κόρινθον ἀτονωτέραν, καὶ τῇ πόλει χρήσαιτο, (προτείχισμα γὰρ τȣ̃το ἐπικαιρότατον ἔσεσθαι τῆς ὅλης Πελοποννήσȣ) τὴν πρᾶξιν ἀνέθετο τῶν ἑταίρων τισίν. ἦν δὲ καὶ Ἄβρων ἐν αὐτοῖς· ȣ̃τος δὲ ξένος ὢν τȣ̃ Δεξάνδρȣ, ἔφρασεν αὐτῷ τὴν ἐπιβȣλήν. καὶ ȣ̃τως οἱ μὲν Φλιάσιοι [2] πρὸ τῆς ἐπιθέσεως εἰς τὴν Κόρινθον ἐσώθησαν, Φείδων δ᾽ ἀνευρεῖν ἐπειρᾶτο τὸν προδόντα, καὶ ἐπιμελῶς ἐζήτει. δείσας δ᾽ ὁ Ἄβρων φεύγει εἰς Κόρινθον, ἀναλαβὼν τὴν γυναῖκα καὶ τȣ̀ς οἰκέτας, ἐν Μελίσσῳ [3], κώμῃ τινὶ τῆς Κορινθίων χώρας· ἔνθα καὶ παῖδα γεννήσας, Μέλισσον προσηγόρευσεν, ἀπὸ τȣ̃ τόπȣ θέμενος τȣ̃νομα αὐτῷ. τȣ́τȣ δὴ τȣ̃ Μελίσσȣ υἱὸς Ἀκταίων γίνεται, κάλλιϛος καὶ σωφρονέϛατος τῶν ὁμηλίκων, ȣ̃ πλεῖϛοι μὲν ἐγένοντο ἐραϛαί, διαφερόντως δ᾽ Ἀρχίας, γένȣς μὲν ὢν τȣ̃ τῶν Ἡρακλειδῶν, πλȣ́τῳ δὲ καὶ τῇ ἄλλῃ δυνάμει λαμπρότατος Κορινθίων. ἐπεὶ δὲ πείθειν ȣ̓κ ἠδύνατο τὸν παῖδα, ἔγνω βιάσασθαι καὶ συναρπάσαι [4] τὸ μειράκιον, ἐπεκώμασεν ἐπὶ τὴν οἰκίαν τȣ̃ Μελίσσȣ, πλῆθος ἐπαγόμενος καὶ φίλων καὶ οἰκετῶν, καὶ ἀπάγειν τὸν παῖδα ἐπειρᾶτο· ἀντιποιȣμένȣ δὲ



1 Petav. αὐτοῖς; mox ἔχει pro ἔχοι; & post προτείχισμα omittit γάρ.

2 Mez. χίλιοι, quod W. probat. Kaltw. eos a Phliunte, oppido prope Corinthum sito, ita nominatos fuisse susp.

3 Hujus pagi nulla sit in aliis mentio. Kaltw.

4 Ald. Bas. B. E. Petav. συναρπάσας; pro quo Xyl. συναρπάσαι legendum censuit, post ἐπεκώμασεν deesse ȣ̓ν, vel tale quid monens. Vulgatam Steph. habuit a Leonic. Mavult W. συναρπάσων. Schott. Turn. V. Bong. συναρπάσασθαι.

δὲ τοῦ πατρὸς καὶ τῶν φίλων, ἐπεκδραμόντων δὲ καὶ τῶν γειτόνων καὶ ἀνθελκόντων, ἀνθελκόμενος ὁ Ἀκταίων διεφθάρη· καὶ οἱ μὲν οὕτως ἀπεχώρουν. Μέλισσος δὲ τὸν νεκρὸν τοῦ παιδὸς εἰς τὴν ἀγορὰν τῶν Κορινθίων παρακομίσας, ἐπεδείκνυε, δίκην ἀπαιτῶν παρὰ τῶν ταῦτα πραξάντων· οἱ δὲ πλέον οὐδὲν, ἢ τὸν ἄνδρα ἠλέουν. ἄπρακτος δ' ἀναχωρήσας παρεφύλασσε τὴν πανήγυριν τῶν Ἰσθμίων [1]. ἀναβάς τ' ἐπὶ τὸν τοῦ Ποσειδῶνος νεὼν, κατεβόα τῶν Βακχιαδῶν [2], καὶ τὴν τοῦ πατρὸς Ἄβρωνος εὐεργεσίαν ὑπεμίμνησκε· τοὺς τε θεοὺς ἐπικαλεσάμενος, ῥίπτει ἑαυτὸν κατὰ τῶν πετρῶν. μετ' οὐ πολὺ δ' αὐχμὸς καὶ λοιμὸς κατελάμβανε τὴν πόλιν· καὶ τῶν Κορινθίων περὶ ἀπαλλαγῆς χρωμένων, ὁ θεὸς ἀνεῖλε, μῆνιν εἶναι Ποσειδῶνος, οὐκ ἀνήσοντος, ἕως ἂν τὸν Ἀκταίωνος θάνατον μετέλθοιεν. ταῦτα πυθόμενος [3] Ἀρχίας (αὐτὸς γὰρ θεωρὸς ἦν) εἰς μὲν τὴν Κόρινθον ἑκὼν οὐκ ἐπανῆλθε, πλεύσας δ' εἰς τὴν Σικελίαν, Συρακούσας ἔκτισε· πατὴρ δὲ γενόμενος ἐνταῦθα θυγατέρων δυεῖν, Ὀρτυγίας τε καὶ Συρακούσσης [4], ὑπὸ τοῦ Τηλέφου δολοφονεῖται, ὃς ἐγεγόνει μὲν αὐτοῦ παιδικὰ, νεὼς δὲ ἀφηγούμενος, συνέπλευσεν εἰς Σικελίαν.

III. Ἀνὴρ πένης, Σκέδασος τοὔνομα, κατῴκει Λεῦκτρα (ἔστι δὲ κώμιον τῆς τῶν Θεσπιέων [5] χώρας). τούτῳ θυγατέρες γίνονται δύο· ἐκαλοῦντο δὲ Ἱππὼ καὶ Μιλητία, ἢ (ὥς τινες) Θεανὼ καὶ Εὐξίππη [6]. ἦν δὲ χρηστὸς ὁ Σκέδασος, καὶ τοῖς ξένοις ἐπιτήδειος, καίπερ οὐ πολλὰ κεκτημένος. ἀφικομένους οὖν πρὸς αὐτὸν δύο Σπαρ-

1 Sic dedit W. ex B. pro vulg. τοῦ Ἰσθμίου.

2 Ita dicti fuerunt Heraclidae, Corinthiis rebus imperantes. Kaltw.

3 Petav. πειθόμενος.

4 Petav. Συρακούσης.

5 Petav. Θεσπεσίων.

6 Sic cum W. dedi, consentientibus B. E. Venet. Petav. Xyl. pro vulg. Εὐεξίππη.

Σπαρτιάτας νεανίας ὑπεδέξατο προθύμως· οἱ δὲ, τῶν παρθένων ἡττώμενοι, διεκωλύοντο πρὸς τὴν τόλμαν ὑπὸ τῆς τοῦ Σκεδάσου χρηστότητος. τῇ δ' ὑστεραίᾳ Πυθῶδε ἀπῄεσαν· αὕτη γὰρ αὐτοῖς προὔκειτο ἡ ὁδός· καὶ τῷ θεῷ χρησάμενοι, περὶ ὧν ἐδέοντο, πάλιν ἐπανῄεσαν οἴκαδε, καὶ χωροῦντες διὰ τῆς Βοιωτίας, ἐπέστησαν πάλιν τῇ τοῦ Σκεδάσου οἰκίᾳ. ὁ δ' ἐτύγχανεν οὐκ ἐπιδημῶν τοῖς Λεύκτροις, ἀλλ' αἱ θυγατέρες αὐτοῦ [1] ὑπὸ τῆς συνήθους ἀγωγῆς τοὺς ξένους ὑπεδέξαντο. οἱ δὲ καταλαβόντες [2] ἐρήμους τὰς κόρας, βιάζονται· ὁρῶντες δ' αὐτὰς καθ' ὑπερβολὴν τῇ ὕβρει χαλεπαινούσας ἀπέκτειναν, καὶ ἐμβαλόντες ἔς τι φρέαρ ἀπηλλάγησαν. ἐπανελθὼν δὲ ὁ Σκέδασος τὰς μὲν κόρας οὐχ ἑώρα, πάντα δὲ καταλειφθέντα εὑρίσκει σῶα, καὶ τῷ πράγματι ἠπόρει, ἕως τῆς κυνὸς κνυζομένης, καὶ πολλάκις μὲν προστρεχούσης πρὸς αὐτὸν, ἀπὸ δ' αὐτοῦ εἰς τὸ φρέαρ ἐπανιούσης, εἴκασεν, ὅπερ ἦν, καὶ τῶν θυγατέρων τὰ νεκρὰ οὕτως ἀνιμήσατο. πυθόμενος δὲ παρὰ τῶν γειτόνων, ὅτι ἴδοιεν τῇ χθὲς ἡμέρᾳ τοὺς καὶ πρώην καταχθέντας ἐπ' αὐτοὺς Λακεδαιμονίους εἰσιόντας, συνεβάλετο τὴν πρᾶξιν ἐκείνων, ὅτι καὶ πρώην συνεχῶς ἐπῄνουν τὰς κόρας, μακαρίζοντες τοὺς γαμήσοντας. ἀπῄει [3] εἰς Λακεδαίμονα, τοῖς Ἐφόροις ἐντευξόμενος· γενόμενος δ' ἐν τῇ Ἀργολικῇ, νυκτὸς καταλαμβανούσης, εἰς πανδοκεῖόν τι κατήχθη· κατὰ τὸ αὐτὸ δὲ [4] καὶ πρεσβύτης τις ἕτερος, τὸ γένος ἐξ Ὠρεοῦ πόλεως τῆς Ἑστιαιάτιδος· οὗ στενάξαντος καὶ Λακεδαιμονίων ἀρὰς ποιουμένου ἀκούσας ὁ Σκέδασος, ἐπυνθάνετο, τί κακὸν ὑπὸ Λακεδαιμονίων πεπονθὼς εἴη. ὁ



1 Ita ex Ald. Baſ. & Petav. reſtitui cum W., conſentientibus B. E. Xyl. Mez. pro vulg. αὐτὰς.

2 Petav. καταλαμβάνοντες. Mox id. καταληφθέντα & προτρεχούσης pro καταλειφθ. & προστρεχ.

3 W. ſuſp. excidiſſe particulam οὖν.

4 abeſt δὲ a Petav. Id. paulo poſt Ἑστιάτιδος.

ὁ δὲ διηγεῖτο, ὡς ὑπήκοος μέν ἐςι τῆς Σπάρτης, πεμφθεὶς δ' εἰς Ὠρεὸν Ἀριςόδημος ἁρμοςὴς παρὰ Λακεδαιμονίων, ὠμότητα καὶ παρανομίαν ἐπιδείξαιτο πολλήν· ἐραθεὶς γὰρ (ἔφη) τᾶ ἐμᾶ παιδὸς, ἐπειδὴ πείθειν ἀδύνατος ἦν, ἐπεχείρει βιάσαθαι καὶ ἀπάγειν αὐτὸν τῆς παλαίςρας· κωλύοντος δὲ τᾶ παιδοτρίβε, καὶ νεανίσκων πολλῶν ἐκβοηθέντων, παραχρῆμα ὁ Ἀριςόδημος ἀπεχώρησε· τῇ δ' ὑςεραίᾳ πληρώσας τριήρη, συνήρπασε τὸ μειράκιον, καὶ ἐξ Ὠρεᾶ διαπλεύσας εἰς τὴν περαίαν, ἐπεχείρει ὑβρίσαι, ἐ συγχωρᾶντα δ' αὐτὸν ἀπέσφαξεν. ἐπανελθὼν δ' εἰς τὴν Ὠρεὸν εὐωχεῖτο· ἐγὼ δ' ἔφθην τὸ πραχθὲν πυθόμενος, καὶ τὸ σῶμα κηδεύσας, παρεγενόμην εἰς τὴν Σπάρτην, καὶ τοῖς Ἐφόροις ἐνετύγχανον· οἱ δὲ λόγον ἐκ ἐποιᾶντο. Σκέδασος δὲ, ταῦτ' ἀκέων, ἀθύμως διέκειτο, ὑπολαμβάνων, ὅτι ἐδ' αὐτᾶ λόγον τινὰ ποιήσονται οἱ Σπαρτιᾶται· ἐν μέρει δὲ τὴν οἰκείαν διηγήσατο συμφορὰν τῷ ξένῳ· ὁ δὲ παρεκάλει αὐτὸν μηδ' ἐντυχεῖν τοῖς Ἐφόροις, ἀλλ' ὑποςρέψαντα εἰς τὴν Βοιωτίαν κτίσαι τῶν θυγατέρων τὸν τάφον. ἐκ ἐπείθετο δὲ ὅμως ὁ Σκέδασος, ἀλλ' εἰς τὴν Σπάρτην ἀφικόμενος, τοῖς Ἐφόροις ἐντυγχάνει· ὧν μηδὲν προσεχόντων, ἐπὶ τὰς Βασιλέας ἵεται, καὶ ἀπὸ τέτων ἑκάςῳ τῶν δημοτῶν προσιὼν ὠδύρετο· μηδὲν δὲ πλέον ἀνύων, ἔθει διὰ μέσης τῆς πόλεως, ἀνατείνων πρὸς ἥλιον τὼ χεῖρε· αὖθις δὲ τὴν γῆν τύπτων, ἀνεκαλεῖτο τὰς Ἐριννύας, καὶ τέλος αὐτὸν τᾶ ζῆν μετέςησεν. ὑςέρῳ γε μὴν χρόνῳ δίκας ἔδοσαν οἱ Λακεδαιμόνιοι. ἐπειδὴ γὰρ τῶν Ἑλλήνων ἁπάντων ἦρχον, καὶ τὰς πόλεις φρεραῖς κατειλήφεσαν, Ἐπαμεινώνδας ὁ Θηβαῖος πρῶτον μὲν τὴν παρ' αὐτῷ φρερὰν ἀπέσφαξε. Λακεδαιμονίων δ' ἐπὶ τέτῳ πόλεμον ἐξενεγκάντων, ἀπήντων οἱ Θηβαῖοι ἐπὶ τὰ Λεῦκτρα, αἰσιέμενοι τὸ χωρίον, ὅτι καὶ [1] πρότερον ἐνταῦθα ἠλευθερώθησαν, ὅτ' Ἀμ-

[1] abest καὶ a Petav.

Ἀμφιτρύων [1] ὑπὸ Σθενέλε φυγὰς ἐλαθεὶς εἰς τὴν Θηβαίων ἀφίκετο πόλιν, καὶ Χαλκιδεῦσιν [2] ὑποφόρες λαβὼν, ἔπαυσε τὸν δασμὸν, Χαλκώδοντα, τὸν βασιλέα τῶν Εὐβοέων, ἀποκτείνας. συνέβη δὲ, Λακεδαιμονίων ἧτταν παντελῆ γενέσθαι περὶ αὐτὸ τὸ μνῆμα τῶν Σκεδάσε θυγατέρων. Φασὶ δὲ, πρὸ τῆς μάχης, Πελοπίδῃ, ἑνὶ τῶν στρατηγῶν τε Θηβαϊκε στρατεύματος, ἐπὶ σημείοις τισὶν ἐ καλῶς [3] κρινομένοις θορυβεμένῳ, Σκέδασον ἐπιστῆναι κατὰ τὰς ὕπνες θαῤῥεῖν κελεύοντα· παραγίνεσθαι γὰρ εἰς Λεῦκτρα Λακεδαιμονίες, αὐτῷ τε καὶ ταῖς θυγατράσι δώσοντας δίκας, πρὸ μιᾶς δ' ἡμέρας ἢ συμβαλεῖν τοῖς Λακεδαιμονίοις, πῶλον ἐκέλευεν ἵππε λευκὸν [4] ἕτοιμον παρὰ τῷ τάφῳ τῶν παρθένων σφαγιάσασθαι· τὸν δὲ Πελοπίδαν, ἔτι τῶν Λακεδαιμονίων στρατευομένων ἐν Τεγέᾳ, εἰς Λεῦκτρα πέμψαι τὰς ἐξετάσοντας περὶ τε τάφε τέτε, καὶ πυθόμενον παρὰ τῶν ἐγχωρίων, θαῤῥεντα τὴν στρατιὰν ἐξαγαγεῖν [5] καὶ νικῆσαι.

IV. Φῶκος Βοιώτιος μὲν ἦν τῷ γένει· (ἦν γὰρ ἐκ Κλείσαντος [6]) πατὴρ δὲ Καλλιῤῥόης, κάλλει τε καὶ σωφροσύνῃ διαφερέσης. ταύτην ἐμνηστεύοντο νεανίαι τριάκοντα εὐδοκιμώτατοι ἐν Βοιωτίᾳ· ὁ δὲ Φῶκος ἄλλας ἐξ ἄλλων ἀναβολὰς τῶν γάμων ἐποιεῖτο, φοβέμενος,

1 Falso hoc nomen ita legi, Kaltw. cum Ricard. monet, cum pro eo legendum sit *Amphitryon*, consentiente Pausan. IX, 19.

2 Secutus sum W. ita ex B. & vers. Xyl. dantem pro vulg. Χαλκιδεῖς. Petav. deinde δεσμόν.

3 W. susp. καλοῖς cum vers. Xyl. & Bryan. Vit. T. II. p. 575.

4 Sic W. dedit e consensu B. E. P. Ald. Bas. Xyl. Vulgo λευκε.

5 Petav. ἐξάγειν.

6 Sic in Ald. scriptum legitur. Bas. Γλείσαντος, quod Xyl. retinuit, monens, apud Stephanum & Strabonem L. IX. per iota simplex legi Γλίσας, & reprobans Κλείσας, quod sub finem hujus narrationis (in Bas. nimirum) occurrat.

νος, μὴ βιαθείη· τέλος δὲ λιπαρούντων ἐκείνων, ἠξίε ἐπὶ τῷ Πυθίῳ ποιήσαθαι τὴν αἵρεσιν. οἱ δὲ πρὸς τὸν λόγον ἐχαλέπηναν, καὶ ὁρμήσαντες ἀπέκτειναν τὸν Φῶκον. ἐν δὲ τῷ θορύβῳ ἡ κόρη φυγοῦσα ἵετο διὰ τῆς χώρας· ἐδίωκον δ' αὐτὴν οἱ νεανίαι. ἡ δ' ἐντυχοῦσα γεωργοῖς ἐν ἅλῳ σῖτον συντιθεῖσι, σωτηρίας ἔτυχε παρ' αὐτῶν· ἀπέκρυψαν γὰρ αὐτὴν οἱ γεωργοὶ ἐν τῷ σίτῳ. καὶ οὕτω παρῆξαν μὲν οἱ διώκοντες· ἡ δὲ διασωθεῖσα, ἐφύλαξε τὴν τῶν Παμβοιωτίων ἑορτὴν, καὶ τότε εἰς Κορώνειαν ἐλθοῦσα, ἱκέτις καθέζεται ἐπὶ τῷ βωμῷ τῆς Ἰτωνίας Ἀθηνᾶς, καὶ τῶν μνηστήρων τὴν παρανομίαν διηγεῖτο, τό τε ἑκάστου ὄνομα καὶ τὴν πατρίδα σημαίνουσα. ἠλέουν οὖν οἱ Βοιωτοὶ τὴν παῖδα, καὶ τοῖς νεανίαις ἠγανάκτουν· οἱ δὲ, ταῦτα πυθόμενοι, εἰς Ὀρχομενὸν καταφεύγουσιν. οὐ δεξαμένων δ' αὐτοὺς τῶν Ὀρχομενίων, πρὸς Ἱππότας εἰσώρμησαν· κώμη δ' ἦν παρὰ [1] τῷ Ἑλικῶνι, κειμένη μεταξὺ Θήβης καὶ Κορωνείας· οἱ δὲ ὑποδέχονται αὐτούς. εἶτα πέμπουσι Θηβαῖοι ἐξαιτοῦντες τοὺς Φώκου φονεῖς· τῶν δ' οὐ διδόντων, ἐστράτευσαν μὲν μετὰ τῶν ἄλλων Βοιωτῶν, στρατηγοῦντος Φοίδου [2], ὃς τότε τὴν ἀρχὴν τῶν Θηβαίων διεῖπε. πολιορκήσαντες δὲ τὴν κώμην ὀχυρὰν οὖσαν, δίψει δὲ τῶν ἔνδον κρατηθέντων, τοὺς μὲν φονεῖς ληφθέντας κατέλευσαν [3], τοὺς δ' ἐν τῇ κώμῃ ἐξηνδραποδίσαντο. κατασκάψαντες δὲ τὰ τείχη καὶ τὰς οἰκίας, διένειμαν τὴν χώραν Θηβαιεῦσί τε καὶ Κορωνεῦσι [4]. φασὶ δὲ νυκτὸς, πρὸ τῆς ἁλώσεως τῶν Ἱπποτῶν, φωνὴν ἐκ τοῦ Ἑλικῶνος πολλάκις ἀκουσθῆναι λέγοντός τινος· Πάρειμι. τοὺς δὲ μνηστῆρας τοὺς τριάκοντα τοδε

1 Ald. Baſ. περί. Xyl. correxit.

2 Petav. Φόνδου.

3 Petav. κατέκαυσαν.

4 Vulgo Θηβεῦσί τε καὶ Κορωνίοι. Utrumque Xyl. correxit, dedique cum W. adſentientibus in poſteriori B. E. Venet. Petav. Baſ. Mox Petav. τῆς νυκτός.

τόδε τὸ φώνημα γνωρίζειν, ὅτι τῦ [1] Φώκυ εἴη. ᾗ δὲ ἡμέρᾳ κατελεύθησαν, τὸ ἐν Κλείσαντι μνῆμα τῦ γέροντος κρόκῳ φασὶ ῥεῦσαι· Φοίδῳ δὲ, τῷ [2] Θηβαίων ἄρχοντι καὶ ϛρατηγῷ, ἐκ τῆς μάχης ἐπανιόντι, ἀγγελθῆναι θυγατέρα γεγενημένην, ἣν [3] αἰσιύμενον προσαγορεῦσαι Νικοϛράτην.

V. Ἄλκιππος τὸ μὲν γένος Λακεδαιμόνιος ἦν· γήμας δὲ Δαμοκρίταν, πατὴρ θυγατέρων γίνεται δύο· συμβυλεύων δὲ τῇ πόλει κράτιϛά τε, καὶ πράττων, ὅτε δέοιντο Λακεδαιμόνιοι, ἐφθονήθη ὑπὸ τῶν ἀντιπολιτευομένων, οἳ τὺς Ἐφόρυς ψευδέσι λόγοις παραγαγόντες, ὡς [4] Ἀλκίππυ βυλομένυ τὺς νόμυς καταλῦσαι, φυγῇ περιέβαλον τὸν ἄνδρα. καὶ ὁ μὲν ὑπεξῆλθε τῆς Σπάρτης. Δαμοκρίταν δὲ τὴν γυναῖκα μετὰ τῶν θυγατέρων βυλομένην ἕπεσθαι τἀνδρὶ ἐκώλυον, ἀλλὰ καὶ τὴν ὐσίαν αὐτῦ [5] ἐδήμευσαν, ἵνα μὴ εὐπορῶσι προικὸς αἱ παρθένοι. ἐπεὶ δὲ καὶ ὥς ἐμνηϛεύοντό τινες τὰς παῖδας διὰ τὴν τῦ πατρὸς ἀρετὴν, ἐκώλυσαν οἱ ἐχθροὶ διὰ ψηφίσματος μὴ μνηϛεύεσθαι τινὰς τὰς κόρας, λέγοντες, ὡς ἡ μήτηρ αὐτῶν Δαμοκρίτα πολλάκις εὔξατο τὰς θυγατέρας ταχέως γεννῆσαι παῖδας, τιμωρὺς τῷ πατρὶ γενησομένυς. πανταχόθεν δὲ ἡ Δαμοκρίτα περιελαυνομένη, ἐτήρησέ τινα πάνδημον ἑορτὴν, ἐν ᾗ γυναῖκες ἅμα παρθένοις καὶ οἰκείοις καὶ νηπίοις ἑώρταζον, αἱ δὲ τῶν ἐν τέλει καθ᾽ ἑαυτὰς ἐν ἀνδρῶνι μεγάλῳ διεπαννύχιζον· ξίφος τε ὑποζωσαμένη, καὶ τὰς κόρας λαβῦσα νυκτὸς ἦλθεν εἰς τὸ ἱερὸν, καιρὸν παραφυλάξασα, ἐν ᾧ πᾶσαι τὸ

1 abest τῦ a Petav.

2 Dedi sic e Venet & Petav. cum W. pro vulg. τῶν.

3 Inserui ἣν, quod vulgo abest, e W. mente. (Facillime haec vocula excidere potuit ob finalem syllabam praecedentis vocabuli.) Alias mutandum fuisset ἀγγελθῆναι in ἀγγελθεῖσαν.

4 Petav. ὡς τῦ Ἀλκ.

5 Petav. αὐτῆς.

τὸ μυστήριον ἐπετέλει ἐν τῷ ἀνδρῶνι· καὶ κεκλεισμένων τῶν εἰσόδων, ξύλα ταῖς θύραις πολλὰ προσνήσασα, (ταῦτα δ' ἦν εἰς τὴν τῆς ἑορτῆς θυσίαν ὑπ' ἐκείνων παρεσκευασμένα) πῦρ ἐνῆκε· συνθεόντων δὲ τῶν ἀνδρῶν ἐπὶ τὴν βοήθειαν, ἡ Δαμοκρίτα τὰς θυγατέρας ἀπέσφαξε, καὶ ἐπ' ἐκείναις ἑαυτήν. οὐκ ἔχοντες δὲ οἱ Λακεδαιμόνιοι, ὅποι τὸν θυμὸν ἀπερείσονται, ἐκτὸς ὅρων ἔῤῥιψαν τῆς τε Δαμοκρίτας καὶ τῶν θυγατέρων τὰ σώματα. ἐφ' ᾧ [1] μηνίσαντος τοῦ θεοῦ, τὸν μέγαν ἱστοροῦσι Λακεδαιμονίοις σεισμὸν [2] ἐπιγενέσθαι.

1 Petav. ἐν ᾧ.
2 cf. Diodor. XI, 63.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ

## ΤΟΥ ΟΤΙ ΜΑΛΙΣΤΑ ΤΟΙΣ ΗΓΕΜΟΣΙ ΔΕΙ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΔΙΑΛΕΓΕΣΘΑΙ [1].

---

Σωρκανὸν [2] ἐγκολπίσαθαι, καὶ Φιλίαν τιμᾷν [3] καὶ μετιέναι καὶ προσδέχεσθαι καὶ γεωργεῖν, πολλοῖς μὲν ἰδίᾳ, πολλοῖς δὲ καὶ δημοσίᾳ, χρήσιμον καὶ ἔγκαρπον [4] γενησομένην, Φιλοκάλων ἐςὶ καὶ πολιτικῶν καὶ Φιλανθρώπων, οὐχ (ὡς ἔνιοι νομίζουσι) Φιλοδόξων. ἀλλὰ καὶ τοὐναντίον, Φιλόδοξός ἐςι καὶ ψοφοδεὴς ὁ Φεύγων καὶ Φοβούμενος ἀκοῦσαι λιπαρὴς τῶν [5] ἐν ἐξουσίᾳ καὶ θερα-

1 Xyl. judice, Plutarchus non eſt auctor hujus libelli. R. ſuſp. deeſſe aliquid ab initio ejus. Ad hanc ſententiam accedit Kaltw.

2 Sic hanc vocem Ald. exhibet; Baſ. Λωρκανὸν; Xyl. Ἀώρκανον; Turn. V. καλὸν vel Σωρακὸν; Anon. Σύρακον; Amiot. & Mez. mutant in Ἔρωτα κοινόν. Eraſm. vertit: *in amorem inſinuare ſeſe.* Xyl. Ms. Σωρκανὸν: ipſe vero ſuſpicatur Σορανὸν, nomen nobilis familiae, & ita vertit: quod inſtituiſti te in amicitiam Sorani inſinuare. R. ſuſp. ὑπάρχων aut ἀρχόντων ἐγκολπίσασθαι καὶ τιμᾷν Φιλίαν. Ita Kaltw. vertit. W. nec hanc probat conjecturam, & ſecundam vocem ἐγκολπ. ſuſpectam habet.

3 Pro τιμᾷν Ald. Baſ. Xyl. E. G. Colleg. Nov. τοι. Xyl. Ms. ad Φιλ. τοι. μετ. ſuperne allitum Φιλίαν τιμᾷν habet. Voſſ. nil in textu, in margine τιμαῖς: vulgatum τιμᾷν eſt in Anon. & marg. E.

4 R. ſuſp. ἔγκαρπον γεγενημένην τε ἤδη καὶ γενησομένην.

5 Non arridet haec dictio λιπαρὴς τινος R.

θεραπευτικός. ἐπεὶ τί φησιν ἀνὴρ θεραπευτικὸς [1], καὶ φιλοσοφίας δεόμενος; Σίμων εἰ γένωμαι ὁ σκυτοτόμος, ἢ Διονύσιος ὁ γραμματιστὴς, ἐκ Περικλέους ἢ Κάτωνος, ἵνα μοι προσδιαλέγηται καὶ προσκαθίζῃ ὁ Σωκράτης ὡς ἐκείνοις [2]. καὶ Ἀρίστων μὲν, ὁ Χῖος, ἐπὶ τῷ πᾶσι διαλέγεσθαι τοῖς βουλομένοις, ὑπὸ τῶν σοφιστῶν κακῶς ἀκούων, ὤφειλεν, εἶπε [3], καὶ τὰ θηρία λόγων συνιέναι κινητικῶν πρὸς ἀρετήν. ἡμεῖς δὲ φευξόμεθα τοῖς δυνατοῖς καὶ ἡγεμονικοῖς, ὥσπερ ἀγρίοις καὶ ἀνημέροις, γίνεσθαι συνήθεις; οὐκ ἀνδριαντοποιός ἐστιν ὁ τῆς φιλοσοφίας λόγος, ὥστ' ἐλιννύοντα ποιεῖν ἀγάλματα ἐπ' αὐτοῖς βαθμίδος ἑστῶτα, κατὰ Πίνδαρον· ἀλλ' ἐνεργὰ βούλεται ποιεῖν, ὧν ἂν ἅψηται, καὶ πρακτικὰ καὶ ἔμψυχα, καὶ κινητικὰς ὁρμὰς ἐπιτίθησι [4] καὶ κρίσεις ἀγωγοὺς ἐπὶ τὰ ὠφέλιμα, καὶ προαιρέσεις φιλοκάλους, καὶ φρόνημα καὶ μέγεθος μετὰ πρᾳότητος καὶ ἀσφαλείας [5], δι' ὧν τοῖς ὑπερέχουσι καὶ δυνατοῖς ὁμιλοῦσιν οἱ πολιτικοὶ [6] προθυμότερον. καὶ γὰρ ἂν ἰατρὸς ᾖ φιλόκαλος, ἥδιον ὀφθαλμὸν ἰάσεται τὸν ὑπὲρ πολλῶν βλέποντα καὶ πολ-

1 R. susp. leg. ἐπεὶ, τί, φησιν ἀνὴρ πολιτικὸς καὶ φ. δ. & deinde εἰ delendum — *dicet enim vir civilis, sed appetens philosophiae: quid igitur? Fiamne Simo, sutor coriarius?* W. conjecit ἀρχικὸς, praeferens tamen Amiot. & Mez. θεραπεύσεως. Periclem & Catonem, illum apud Graecos, hunc apud Romanos, viros fuisse in rep. principes, clarissimae famae & auctoritatis summae, pluribus locis testatur Plutarchus, praecipue quoque in lib. an seni sit gerenda resp.

2 Vulgo ὡς ὁ Σωκράτης ἐκείνοις. Xyl. vers. praeeunte & W. probante, transponendum censui ὡς.

3 Vulgo ὤφειλεν εἰπεῖν. Correxi cum W. e vers. Xyl. adsentientibus Mez. & Jun.

4 R. mavult ἐντίθησι.

5 W. susp. ὠφελείας.

6 R. monente, πολιτικοὶ hic non sunt versantes in rebus civilibus gerendis, sed idem valet atque οἱ κομψοὶ, homines elegantioribus & commodioribus praediti moribus, humaniores.

πολλὰς φυλάσσοντα· καὶ φιλόσοφος ψυχῆς ἐπιμελήσεται προθυμότερον, ἣν ὑπὲρ πολλῶν φροντίζουσαν ὁρᾷ, καὶ πολλοῖς φρονεῖν καὶ φιλοσοφεῖν καὶ δικαιοπραγεῖν ὀφείλουσαν. καὶ γὰρ εἰ δεινὸς ἦν περὶ ζήτησιν ὑδάτων καὶ συναγωγὴν, ὥσπερ ἱστοροῦσι τὸν Ἡρακλέα καὶ πολλοὺς τῶν πάλαι, οὐκ ἂν ἔχαιρε φρεωρυχῶν ἐν ἐσχατιᾷ παρὰ Κόρακος πέτρῃ τὴν συβωτικὴν ἐκείνην Ἀρέθουσαν [1], ἀλλὰ ποταμοῦ τινος ἀεννάους πηγὰς ἀνακαλύπτων πόλει τε καὶ στρατοπέδοις καὶ φυτείαις βασιλέων καὶ ἄλσεσιν. ἀκούομεν δὴ Ὁμήρου τὸν Μίνω θεοῦ ὀαριστὴν ἀποκαλοῦντος· τοῦτο δέ ἐστιν (ὥς φησιν ὁ Πλάτων) ὁμιλητὴν καὶ μαθητήν [2]. οὐδὲ γὰρ ἰδιώτας, οὐδ' οἰκουροὺς, οὐδ' ἀπράκτους, ἠξίουν εἶναι θεῶν μαθητὰς, ἀλλὰ βασιλεῖς, οἷς εὐβουλίας γενομένης [3] καὶ δικαιοσύνης καὶ χρηστότητος καὶ μεγαλοφροσύνης, πάντες ἔμελλον ὠφεληθήσεσθαι καὶ ἀπολαύειν οἱ χρώμενοι. τὸ ἐρύγγιον [4], τὸ βοτάνιον, λέγουσι μιᾶς αἰγὸς εἰς τὸ στόμα λαβούσης, αὐτήν τε πρῶτον [5] ἐκείνην καὶ τὸ λοιπὸν αἰπόλιον ἵστασθαι, μέχρις ἂν ὁ αἰπόλος ἐξέλῃ προσελθών· τοιαύτην ἔχουσιν αἱ ἀπόρροιαι τῆς δυνάμεως ὀξύτητα, πυρὸς δίκην ἐπινεμομένην τὰ γειτνιῶντα καὶ κατασκιδναμένην. καὶ μὴν ὁ τοῦ φιλοσόφου λόγος, ἐὰν μὲν ἰδιώτην ἕνα λάβῃ, χαίροντα ἀπραγμοσύνῃ, καὶ περιγράφοντα ἑαυτὸν, ὡς κέντρῳ καὶ διαστήματι γεωμετρικῷ, ταῖς περὶ τὸ σῶμα χρείαις, οὐ διαδίδωσιν εἰς ἑτέρους, ἀλλ' ἐν ἑνὶ ποιήσας ἐκείνῳ γαλήνην καὶ ἡσυχίαν, ἀπεμαράνθη καὶ συνεξέλιπεν· ἂν δ' ἄρχοντος ἀνδρὸς καὶ πολιτικοῦ καὶ πρακτικοῦ

1 Hom. Odyſs. XII, 404. 407. ſqq.
2 Hom. Odyſs. XIX, 179. Platon. Opp. VI. p. 136. ed. Bip.
3 Turn. V. παραγινομένης.
4 v. Vol. X, p. 250. not. 1. XI. p. 292. not. 4.
5 R. mavult πρώτην.

κῦ καθάψηται, καὶ τῦτον ἀναπλήσῃ καλοκἀγαθίας, πολλὺς δι' ἑνὸς ὠφέλησεν, ὡς Ἀναξαγόρας Περικλεῖ συγγενόμενος, καὶ Δίωνι Πλάτων, καὶ Πυθαγόρας τοῖς πρωτεύυσιν Ἰταλιωτῶν. Κάτων δ' αὐτὸς ἔπλευσεν ἀπὸ ϛρατείας ἐπ' Ἀθηνόδωρον [1]. καὶ Σκιπίων [2] μετεπέμψατο Πὰναίτιον, ὅτ' αὐτὸν ἡ σύγκλητος ἐξέπεμψεν,

Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ὑφορώμενον [3],

ὥς φησι Ποσειδώνιος. τί ὖν ἔδει λέγειν τὸν Παναίτιον; Εἰ μὲν ἦς ἢ Κάϛωρ [4] ἢ Πολυδεύκης, ἤ τις ἄλλος ἰδιώτης, τὰ μέσα τῶν πόλεων ἀποδιδράσκειν βυλόμενος [5], ἐν γωνίᾳ τινὶ καθ' ἡσυχίαν ἀναλύων συλλογισμὺς καὶ περιπλέκων [6] φιλοσόφων, ἅσμενος ἄν σε προσεδεξάμην καὶ συνῆν· ἐπεὶ δὲ υἱὸς Αἰμιλίυ Παύλυ, τῦ δυσυπάτυ, γέγονας, υἱωνὸς δὲ Σκιπίωνος τῦ Ἀφρι-

1 cf. Plut. Opp. Vol. V. p. 53.

2 E. conſtanter Σκηπίων, quod W. recepit. Significatur Scipionis Aemiliani legatio in Aegyptum, quae incidit in A. V. 62.. cf. Erneſti Clav. Cic. v. *Panaetius*.

3 Xyl. legendum monet ἐφορώμενον. R. ſuſp. ἐφορᾷν. W. mavult ἐφορῶντα, ut Vol. VIII. p. 152. lin. ult. Cf. Hom. Odyſs. XVII, 488.

4 Vulgo Κάτων. R. judice, deſiderabatur nomen Graecum & plebejum atque paene ſervile — Κρίτων, aut Κράτων, aut Γνάθων vel & Κάϛωρ, ob ſequens Πολυδεύκης. Nomina *Caſtoris* & *Pollucis* erant in infima plebe frequentia. Dedi hoc ultimum nomen e Turn. & V. Etiam W. ſuſp. vel Βάτων vel Κάϛωρ.

5 Poſt haec R. excidiſſe ſuſp. καὶ καθῆσθαι, aut καὶ καταγηράσκειν.

6 Vulgo καὶ περιέλκων φ. Xyl. ſcribendum cenſuit & vertit περὶ ἐλέγχων φιλοσοφῶν; R. ſuſp. περιέλκων βιβλίδια φιλοσόφων; E Turn. & V. notatur πλέκων; Eraſm. vertit *nectens*. W. ſuſp. περὶ ἑλίκων, aut περὶ ἐλέγχων cum Xyl. aut περιπλέκων cum Mez. quod dedi.

Ἀφρικανοῦ, τοῦ νικήσαντος Ἀννίβαν τὸν Καρχηδόνιον, οὐκ ἄν σοι προσδιαλέξωμαι [1].

II. Τὸ δὲ λέγειν [2], ὅτι δύο λόγοι εἰσὶν, ὁ μὲν ἐνδιάθετος, ἡγεμόνος Ἑρμοῦ δῶρον, ὁ δ' ἐν προφορᾷ, διάκτορος καὶ ὀργανικὸς, ἕωλόν ἐστι, καὶ ὑποπιπτέτω τῷ· Τουτὶ μὲν ᾔδειν, πρὶν Θέογνιν γεγονέναι [3]. ἐκεῖνο δ' οὐκ ἐνοχλήσειεν, ὅτι καὶ τοῦ ἐνδιαθέτου λόγου καὶ τοῦ προφορικοῦ φιλία τέλος ἐστὶ, τοῦ μὲν πρὸς ἑαυτὸν, τοῦ δὲ πρὸς ἕτερον. ὁ μὲν [4] γὰρ εἰς ἀρετὴν διὰ φιλοσοφίας τελευτῶν, σύμφωνον ἑαυτῷ καὶ ἄμεμπτον ὑφ' ἑαυτοῦ καὶ μεστὸν εἰρήνης καὶ φιλοφροσύνης τῆς πρὸς ἑαυτὸν ἀεὶ παρέχεται τὸν ἄνθρωπον·

Οὐ στάσις, οὐ δῆρις ἀναίσιμος [5] ἐν μελέεσσιν·

οὐ πάθος λόγῳ δυσπειθὲς, οὐχ ὁρμῆς μάχη πρὸς ὁρμὴν, οὐ λογισμοῦ πρὸς λογισμὸν ἀντίβασις, οὐχ ὥσπερ ἐν μεθορίῳ τοῦ ἐπιθυμοῦντος καὶ τοῦ μετανοοῦντος, τὸ τραχὺ καὶ ταραχῶδες [6] καὶ τὸ ἡδόμενον, ἀλλ' εὐμενῆ πάντα καὶ φίλα, καὶ ποιοῦντα πλείστων τυγχάνειν ἀγαθῶν, καὶ [7] ἑαυτῷ χαίρειν ἕκαστον. τοῦ δὲ προφορικοῦ τὴν Μοῦσαν ὁ Πίνδαρος οὐ φιλοκερδῆ φησὶν οὐδ' ἐργάτιν [8] εἶναι πρότερον, οἶμαι δὲ μηδὲ νῦν, ἀλλ' ἀμουσίᾳ καὶ ἀπειροκαλίᾳ τὸν κοινὸν Ἑρμῆν, ἐμπόλαιον καὶ ἔμ-

F 2 μισθον

1 Turn. προσδιαλεξαίμην.

2 W. cum Mez. proxime antecedentia quaedam excidisse susp.

3 Vid. de hac dictione proverbiali Vol. IX. p. 251. not. 2.

4 Bene retulit Kaltw. ὁ μὲν — τελευτῶν ad λόγον ἐνδιάθετον. Reliqui interpp. idem de homine ipso sumserunt.

5 Ita corrigendum monuerunt Mez. R. & W. & dedi pro vulg. ἐναίσιμος, cum seditio nequaquam dici possit *felix* aut *decora, conveniens*. Ad explendum versum Xyl. voluit legi οὐδέ τε δῆρις.

6 R. susp. μετανοοῦντος τραχὺ καὶ ταραχῶδες τὸ λυπούμενον καὶ τὸ ἡδόμενον.

7 Inserendum duxi καὶ, quod vulgo abest, e R. mente. W. susp. cum Jun. ἀγαθῶν τῷ ἑαυτῷ χ. ἕ.

8 Sic R. dandum monuit, dedique e Pindar. Isthm. II, 10, cum W. idem e Xyl. sumente pro vulg. ἐργάτην.

μισθοῦ γενέσθαι. ἐ γὰρ ἡ μὲν Ἀφροδίτη ταῖς τῆ προσπόλε [1] θυγατράσιν ἐμήνιεν, ὅτι

Πρῶται μύσεα μηχανήσαντο καταχέειν νεανίσκων [2].

ἡ δ' Οὐρανία καὶ Καλλιόπη καὶ ἡ Κλειὼ χαίρεσι τοῖς ἐν ἀργυρίῳ διαδεχομένοις τὸν λόγον [3]. ἀλλ' ἔμοιγε δοκεῖ τὰ τῶν Μεσῶν ἔργα καὶ δῶρα μᾶλλον, ἢ τὰ τῆς Ἀφροδίτης, φιλοτήσια εἶναι. καὶ γὰρ τὸ ἔνδοξον, ὅ τινὲς τῆ λόγε ποιῶνται τέλος, ὡς ἀρχὴ καὶ σπέρμα φιλίας ἠγαπήθη· μᾶλλον δ' ὅλως οἵγε πολλοὶ κατ' εὔνοιαν τὴν δόξαν τίθενται, νομίζοντες, ἡμᾶς μόνον [4] ἐπαινεῖν, ὃς φιλῶμεν. ἀλλ' ἔτοι μὲν, ὡς ὁ Ἰξίων διώκων τὴν Ἥραν ὤλισθεν εἰς τὴν νεφέλην, ἔτως ἀντὶ τῆς φιλίας εἴδωλον ἀπατηλὸν καὶ πανηγυρικὸν καὶ περιφερόμενον ὑπολαμβάνεσιν. ὁ δὲ νῦν ἔχων, ἂν πολιτείαις καὶ πράξεσιν ἀναςρέφηται [5], δεήσεται δόξης τοσαύτης, ὅση δύναμιν περὶ τὰς πράξεις ἐκ τῆ πιςεύεσθαι δίδωσιν· ἔτε γὰρ ἡδὺ μὴ βελομένες [6], ἔτε ῥᾴδιον ὠφελεῖν· βέλεσθαι δὲ ποιεῖ τὸ πιςεύειν· ὥσπερ τὸ φῶς μᾶλλόν ἐςιν ἀγαθὸν τοῖς βλέπεσιν ἢ τοῖς βλεπομένοις, ἔτως ἡ δόξα τοῖς αἰσθανο-

1 Xyl. quaesiit, utrum *Prospolos* sit nomen proprium, an *administrum* significet? Posterius tamen vertendo expressit. R. susp. τῆς προσπόλε.

2 W. e G. Colleg. Nov. notat, ὅτι πρῶται μήδεα μαχλήσαντο καταχέειν νεανίσκων. Xyl. versum esse heroicum conjecerat, sed pro μηχανήσαντο legi voluit τεχνήσαντο. E margine Ms. notat μαχλήσαντο, & pro μύσεα, quod Ald. & Bas. exhibent, ibidem esse μήδεα, in margine μίσεα, addit.

3 R. susp. τοῖς ἐπ' ἀργυρίῳ διαλεγομένοις absque τὸν λόγον, aut eo servato τοῖς ἐπ' ἀργυρίῳ διατιθεῖσι τὸν λόγον, *illis, qui literas quaestum pecuniarium faciunt.* Idem W. conjicit, pro διατιθεῖσι propius ad vulgatam accedens διατιθεμένοις.

4 Vulgo μὴ μόνον. Expunxi μὴ cum Erasm. Xyl. & Mez. Probat id W. sed vel sic quid desiderari addit. R. susp. μὴ μόνον εὖ ποιεῖν, ἀλλὰ καὶ ἐπαινεῖν, ὃς φ.

5 R. mavult συναναςρέφηται.

6 Sic dandum monuit R. — *non enim gratum & acceptum est, beneficia conferre in eos, qui nolint accipere.* Idem W. dedit, nulla tamen subjuncta adnotatione. Vulgo βελομένοις.

φαινομένοις ἢ τοῖς μὴ παρορωμένοις [1]. ὁ δ' ἀπηλλαγμένος τῦ τὰ κοινὰ πράττειν, καὶ συνὼν ἑαυτῷ, καὶ τἀγαθὸν ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τιθέμενος, τὴν μὲν ἐν ὄχλοις καὶ θεάτροις πάνδημον καὶ ἀναπεπ]αμένην δόξαν, ὅτως ὡς τὴν Ἀφροδίτην ὁ Ἱππόλυτος [2] ἄπωθεν ἁγνὸς ὢν ἀσπάζεται, τῆς δέ γε τῶν ἐπιεικῶν καὶ ἐλλογίμων ὐδ' αὐτὸς καταφρονεῖ· πλῦτον δὲ καὶ δόξαν ἡγεμονικὴν καὶ δύναμιν ἐν φιλίαις ὐ διώκει, ὐ μὴν ὐδὲ φεύγει ταῦτα προσόντα μετρίῳ ἤθει· ὐδὲ γὰρ τὺς καλὺς τῶν νέων διώκει καὶ ὡραίυς, ἀλλὰ τὺς εὐαγώγυς καὶ κοσμίυς καὶ φιλομαθεῖς· ὐδὲ οἷς ὥρα καὶ χάρις συνέπεται κάνθος δεδίττεται [3] τὸν φιλόσοφον, ὐδ' ἀποσοβεῖ καὶ ἀπελαύνει τῶν ἀξίων ἐπιμελείας τὸ κάλλος. ὅτως ὖν ἀξίας ἡγεμονικῆς καὶ δυνάμεως ἀνδρὶ μετρίῳ καὶ ἀςείῳ προσέσης, ὐκ ἀφέξεται τῦ φιλεῖν καὶ ἀγαπᾶν, ὐδὲ φοβηθήσεται τὸ αὐλικὸς ἀκῦσαι καὶ θεραπευτικός.

Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
Νοσῦσιν ὁμοίως τοῖς ἄγαν θηρωμένοις [4].

καὶ οἱ πρὸς ἔνδοξον ὅτως καὶ ἡγεμονικὴν φιλίαν [5] ἔχοντες. ὁ μὲν ὖν ἀπράγμων φιλόσοφος ὐ φεύξεται τὺς τοιύτυς, ὁ δὲ πολιτικὸς καὶ περιέξεται αὐτῶν, ἄκυσι

 μὲν

1 Varie haec ab Interpp. redduntur. Erasm. vulgatam exprimit — *quam his qui non negliguntur.* Xyl. addens μὴ ante βλεπομένοις, hoc loco μὴ omisit — *quam neglectis.* Ricard. pariter μὴ omittendo vertit: *qu' a ceux, qui la negligent.* W. *quam animadversis.* Kaltw. obscurius haec esse dicta monet.

2 Euripid. Hippolyt. v. 102.

3 R. mavult δεδίττονται, terrent.

4 Vulgo τοῖς ἀγαθὰ ᾑρημένοις. R. legi voluit τοῖς ἄγαν ᾑρημένοις, aut τοῖς ἄγαν θηρωμένοις. Posterius dedi cum W. illud fomente ex marg. G. Mez. dudum probatum Viris doctis. Vid. Valckenar. ad Eurip. Hippol. 113.

5 R. susp. καὶ ὡσαύτως οἱ πρὸς ἔνδοξον καὶ ἡγεμονικὴν φιλίαν ἀτόπως ἔχοντες — *pari modo insaniunt, qui velis remisque amicitias procerum illustres fugiunt.*

μὲν [1] οὐκ ἐνοχλῶν, οὐδ' ἐπισταθμεύων τὰ ὦτα διαλέξεσιν ἀκαίροις καὶ σοφιστικαῖς, βουλομένοις δὲ χαίρων καὶ διαλεγόμενος καὶ σχολάζων καὶ συνὼν προθύμως.

III. Σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν
Βερέκυνθα χῶρον [2].

οὗτος εἰ μὴ μόνον φιλογεωργὸς, ἀλλὰ καὶ φιλάνθρωπος ἦν [3], ἥδιον ἂν ἔσπειρε τὴν τοσούτους τρέφειν δυναμένην, ἢ τὸ Ἀντισθένους ἐκεῖνο χωρίδιον, ἣν [4] μόλις αὐτῷ αὖ πάλιν ἀνήρηκας· εἰ δέ σε ἠρόμην, τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι. καίτοι Ἐπίκουρος τἀγαθὸν ἐν τῷ βαθυτάτῳ τῆς ἡσυχίας, ὥσπερ ἐν ἀκλύστῳ λιμένι καὶ κωφῷ, τιθέμενος, τοῦ εὖ πάσχειν τὸ εὖ ποιεῖν οὐ μόνον κάλλιον ἀλλὰ καὶ ἥδιον εἶναί φησι. χαρᾶς γὰρ οὐδὲν οὕτως γόνιμόν ἐστιν ὡς χάρις· ἀλλὰ σοφὸς ἦν ὁ ταῖς Χάρισι τὰ ὀνόματα θέμενος, Ἀγλαΐην, καὶ Εὐφροσύνην, καὶ Θάλειαν· τὸ γὰρ ἀγαλλόμενον καὶ τὸ χαῖρον ἐν τῷ διδόντι τὴν χάριν πλεῖόν ἐστι καὶ καθαρώτερον. διὸ τῷ πάσχειν εὖ αἰσχύνονται πολλάκις, ἀεὶ δ' ἀγάλ-

1 Ita R. & W. cum Mez. legendum monuerunt — *invitis vim non afferens*, opposito deinde βουλομένοις. Vulgo αὐτῶν ἀκούειν, οὐκ ἐνοχλῶν.

2 Plut. opp. Vol. X, p. 375.

3 Addidi ἦν, R. jubente. Etiam W. cum Jun. addendum monuit.

4 R. ante ἣν lacunam esse monet, & se hunc cum sequente versum non intelligere fatetur. E Turn. & V. notatur ἣν αὐτῷ μόλις ἂν πάλιν ἀνείρηκας, & deinde ἐπιτρέφειν pro ἐπιστρέφειν. W. ita corrigit ὃ μόλις Αὐτολύκῳ ἐμπαλαίειν ἤρκεσε. Ἐγὼ δὲ ἀρουμένην τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι, adjectis hisce: „posterioris partis ratio nondum satis expedita est, in ἐγὼ δέ: de priore non est quod dubitetur, auctore Xenophonte Sympos. III, 8. quo respicitur.“ — *agellum, qui vix Autolyco, in quo luctaretur, satis magnus erat. Equidem arando terrarum orbem subvertere recusem.* Haud abs re erit, addere Erasmi versionem: agellum, quem aiebat sibi vix sufficere? Respondens, te malle. At si te rogem, num universum orbem curandum suscipere velis. Recuso inquis.

ἀγάλλονται τῷ εὖ ποιεῖν· εὖ δὲ ποιοῦσι πολλοὺς οἱ ποιοῦντες ἀγαθοὺς, ὧν πολλοὶ δέονται· καὶ τοὐναντίον, οἱ ἀεὶ διαφθείροντες ἡγεμόνας ἢ βασιλεῖς ἢ τυράννους διάβολοι καὶ συκοφάνται καὶ κόλακες, ὑπὸ πάντων ἐλαύνονται καὶ κολάζονται, καθάπερ οὐκ εἰς μίαν κύλικα φάρμακον ἐμβάλλοντες θανάσιμον, ἀλλ' εἰς πηγὴν δημοσίᾳ ῥέουσαν, ᾗ χρωμένους πάντας ὁρῶσιν. ὥσπερ οὖν τοὺς Καλλίου [1] κωμῳδουμένους κόλακας λέγουσιν· Οὐ πῦρ οὐ σίδηρος οὐδὲ χαλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον, κατὰ τὸν Εὔπολιν· τοὺς δ' Ἀπολλοδώρου τοῦ τυράννου καὶ Φαλάριδος καὶ Διονυσίου φίλους καὶ συνήθεις ἀπετυμπάνιζον, ἐστρέβλουν, καὶ ἐνεπίμπρασαν, ἐναγεῖς ἐποιοῦντο καὶ [2] καταράτους· ὡς ἐκείνων μὲν ἀδικούντων ἕνα, τούτων δὲ πολλοὺς δι' ἑνὸς τοῦ ἄρχοντος· οὕτως οἱ μὲν ἰδιώταις συνόντες, αὐτοὺς ἐκείνους ποιοῦσιν ἑαυτοῖς ἀλύπους καὶ ἀβλαβεῖς καὶ προσηνεῖς· ὁ δ' ἄρχοντος ἦθος ἀφαιρῶν μοχθηρὸν, ἢ γνώμην, ἐφ' ὃ δεῖ, συγκατευθύνων, τρόπον τινὰ δημοσίᾳ φιλοσοφεῖ καὶ τὸ κοινὸν ἐπανορθοῦται, ᾧ [3] πάντες διοικοῦνται. τοῖς ἱερεῦσιν αἰδῶ καὶ τιμὴν αἱ πόλεις νέμουσιν, ὅτι τἀγαθὰ παρὰ τῶν θεῶν οὐ μόνον αὐτοῖς καὶ φίλοις καὶ οἰκείοις, ἀλλὰ κοινῇ πᾶσιν αἰτοῦνται τοῖς πολίταις· καίτοι τοὺς θεοὺς οἱ ἱερεῖς οὐ ποιοῦσιν ἀγαθῶν δοτῆρας, ἀλλὰ τοιούτους ὄντας παρακαλοῦσι· τοὺς δ' ἄρχοντας οἱ συνόντες τῶν φιλοσόφων δικαιοτέρους ποιοῦσι καὶ μετριωτέρους καὶ προ-



1 Significat, Calliae adulatores, parasitos & corruptores plebi tantummodo derisui fuisse, sed Phalaridis & Dionysii punitos. R. Pro seq. λέγουσιν susp. W. γελῶσιν, ὡς —.

2 abest καὶ ab Ald. & Bas.

3 Dedi ᾧ pro vulg. ὡς e mente Jun. Mez. R. — *a quo*, sc. bono publico, *omnes sufficientia & necessaria commoda percipiunt*, velut a dispensatore distributa, aut *ad cujus normam se omnes componunt*. W. probat. Xyl. ὡς πάντες διοικοῦνται. Erasm. vertit: ut omnes gubernentur.

θυμοτέρȣς εἰς τὸ εὖ ποιεῖν, ὥςε καὶ χαίρειν εἰκός ἐςι μᾶλλον [1].

IV. Ἐμοὶ δὲ δοκεῖ καὶ λυροποιὸς ἀνὴρ ἥδιον λύραν ἐργάσασθαι καὶ προθυμότερον, μαθὼν, ὡς ὁ ταύτην κτησάμενος τὴν λύραν μέλλει τὸ Θηβαίων ἄςυ τειχίζειν, ὡς ὁ Ἀμφίων, ἢ τὴν Λακεδαιμονίων ςάσιν παύειν ἐπᾴδων καὶ παραμυθȣ́μενος, ὡς Θαλῆς [2]. καὶ τέκτων ὁμοίως, πηδάλιον δημιȣργῶν ἡσθῆναι, πυθόμενος, ὅτι τȣ̃το τὴν Θεμιςοκλέȣς ναυαρχίδα κυβερνήσει προπολεμȣ̃σαν τῆς Ἑλλάδος, ἢ τὴν Πομπηΐȣ τὰ πειρατικὰ καταναυμαχȣ̃ντος. τί ȣ̃ν οἴει περὶ τȣ̃ λόγȣ τὸν Φιλόσοφον [3], διανοȣ́μενον, ὡς ὁ τȣ̃τον παραλαβὼν πολιτικὸς ἀνὴρ καὶ ἡγεμονικὸς, κοινὸν ὄφελος ἔςαι, δικαιοδοτῶν, νομοθετῶν, κολάζων τȣ̀ς πονηρȣ̀ς, αὔξων τȣ̀ς ἐπιεικεῖς καὶ ἀγαθȣ́ς; ἐμοὶ δὲ δοκεῖ καὶ ναυπηγὸς ἀςεῖος ἥδιον ἐργάσασθαι πηδάλιον, πυθόμενος, ὅτι τȣ̃το τὴν Ἀργὼ κυβερνήσει πᾶσι μέλȣσαν· καὶ τεκτονικὸς ȣ̓κ ἂν ȣ̃τω κατασκευάσαι ἄροτρον προθύμως ἢ ἅμαξαν, ὡς τȣ̀ς ἄξονας, οἷς ἔμελλε Σόλων τȣ̀ς νόμȣς ἐγχαράξειν. καὶ μὴν οἱ λόγοι τῶν Φιλοσόφων, ἐὰν ψυχαῖς ἡγεμονικῶν καὶ πολιτικῶν ἀνδρῶν ἐγγραφῶσι βεβαίως καὶ κρατήσωσι, νόμων δύναμιν λαμβάνȣσιν. ᾗ καὶ Πλάτων εἰς Σικελίαν ἔπλευσεν, ἐλπίζων, τὰ δόγματα νόμȣς καὶ ἔργα ποιήσειν ἐν τοῖς Διονυσίȣ πράγμασιν· ἀλλ' εὗρε Διόνύσιον, ὥσπερ βιβλίον παλίψηςον [4], ἤδη μολυσμῶν ἀνάπλεων, καὶ τὴν βαφὴν ȣ̓κ ἀνιέντα τῆς τυραννίδος, ἐν πολλῷ χρόνῳ δευσοποιὸν ȣ̃σαν καὶ δυσέκπλυ-

1 R. addendum fufp. αὐτοῖς συνόντας.

2 Non ille celeber Milefius philofophus, fed Cretenfis, aliis Thaleas & Thaletas appellatus, muficus & legislator Spartanus, Lycurgo aequalis. Plut. vit. Lycurg. c. 4. Vol. I.

3 R. monente, poft φιλόσοφον aut fubaudiri debet, aut deeft πάσχειν, vel παθεῖν ἄν.

4 Turn. παλίμψηςον.

ἔκπλυτον· δρομαίες [1] δ' ὄντας ἔτι δεῖ τῶν χρηςῶν ἀντιλαμβάνεσθαι λόγων [2].

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΡΟΣ

## ΗΓΕΜΟΝΑ ΑΠΑΙΔΕΥΤΟΝ.

Πλάτωνα Κυρηναῖοι παρεκάλεν νόμες τε γραψάμενον αὐτοῖς ἀπολιπεῖν, καὶ διακοσμῆσαι τὴν πολιτείαν· ὁ δὲ παρῃτήσατο, φήσας, χαλεπὸν εἶναι, Κυρηναίοις νομοθετεῖν ὅτως εὐτυχᾶσιν.

Οὐδὲν γὰρ ὅτω γαῦρον
καὶ τραχὺ καὶ δύσαρκτον,
— Ὡς ἀνὴρ ἔφυ [3]

εὐπραγίας δοκέσης ἐπιλαμβανόμενος. διὸ τοῖς ἄρχεσι χαλεπόν ἐςι σύμβελον περὶ ἀρχῆς γενέσθαι· τὸν γὰρ λόγον ὥσπερ ἄρχοντα παραδέξασθαι φοβᾶνται, μὴ τῆς ἐξε-



1 R. ſe neſcire fatetur, quid hoc ſibi velit, & ſententiam flagitare monet ἀχράντας vel ἀμιάντας. W. ſuſp. διὸ νέες δὴ, vel διὸ νεαρὰς δὴ, vel καθαρὰς δέ. Mez. δροσερὰς. Eraſm. vertit: Faciles autem adhuc & mutabiles ſint oportet, qui honeſtas accipiant rationes.

2 Mez. monente, libellus non integer fine.

3 In Xyl. Ms. notatum fuit, legi etiam ἔφη. Eo ipſo judice utrumque ſtare poteſt. Rectius tamen ἔφη legi, colligit e Plut. Lucullo Vol. III. p. 277. ſq. ubi hoc ipſum refertur.

ἐξεσίας αὐτῶν τὸ ἀγαθὸν κολέσῃ τῷ καθήκοντι ἐλάσάμενος. ἐ γὰρ ἴσασι τὰ Θεοπόμπε, τε Σπαρτιατᾶν βασιλέως, ὃς πρῶτος ἐν Σπάρτῃ τοῖς βασιλεῦσι καταμίξας τὲς Ἐφόρες, εἶτ' ὀνειδιζόμενος ὑπὸ τῆς γυναικὸς, εἰ τοῖς παισὶν ἐλάττονα παραδώσει τὴν ἀρχὴν, ἧς παρέλαβε· Μείζονα μὲν ἔν, (εἶπεν) ὅσῳ καὶ βεβαιοτέραν. τὸ γὰρ σφοδρὸν ἀνεὶς καὶ ἄκρατον αὐτῆς, ἅμα τῷ φθόνῳ διέφυγε τὸν κίνδυνον. καίτοι Θεόπομπος μὲν εἰς ἑτέρες τὸ τῆς ἀρχῆς ὥσπερ ῥεύματος μεγάλε ῥεῖθρον παροχετευσάμενος, ὅσον ἄλλοις ἔδωκεν, αὐτε περιέκοψεν· ὁ δ' ἐκ φιλοσοφίας [1] τῷ ἄρχοντι πάρεδρος καὶ φύλαξ ἐγκατοικισθεὶς λόγος, ὥσπερ εὐεξίας τῆς δυνάμεως τὸ ἐπισφαλὲς ἀφαιρῶν, ἀπολείπει τὸ ὑγιαῖνον.

II. Ἀλλὰ νῦν ἐκ ἔχοντες οἱ πολλοὶ τῶν βασιλέων καὶ ἀρχόντων μιμενται τὲς ἀτέχνες ἀνδριαντοποιὲς, οἳ νομίζεσι, μεγάλες καὶ ἁδρὲς φαίνεσθαι τὲς κολοσσὲς, ἂν διαβεβηκότας σφόδρα καὶ διατεταμένες καὶ κεχηνότας πλάσωσι [2]. καὶ γὰρ ἔτοι βαρύτητι φωνῆς, καὶ βλέμματος τραχύτητι, καὶ δυσκολίᾳ τρόπων, καὶ ἀμιξίᾳ διαίτης, ὄγκον ἡγεμονίας [3] καὶ σεμνότητα μιμεῖσθαι δοκεσιν, ἐδ' ὁτιεν τῶν κολοσσικῶν διαφέροντες ἀνδριάντων, οἳ τὴν ἔξωθεν ἡρωϊκὴν καὶ θεοπρεπῆ μορφὴν ἔχοντες, ἐντός εἰσι γῆς μεσοὶ καὶ λίθε καὶ μολύβδε. πλὴν ὅτι τῶν μὲν ἀνδριάντων ταῦτα τὰ βάρη τὴν ὀρθότητα μόνιμον καὶ ἀκλινῆ διαφυλάττει, οἱ δ' ἀπαίδευτοι σρατηγοὶ καὶ ἡγεμόνες, ὑπὸ τῆς ἐντὸς ἀγνωμοσύνης πολλάκις σαλεύονται καὶ περιτρέπονται· βάσει γὰρ ἐ κειμένῃ πρὸς ὀρθὰς ἐξεσίαν ἐποικοδομεντες ὑψηλὴν συναπονεύεσι. δεῖ δὲ, ὥσπερ [4] ὁ κανὼν αὐτὸς, ἀσραβὴς γινόμε-

1 Locum hunc recitat Stobaeus p. 319. R.

2 Sic cum W. dedi ex Ald. Baf. Xyl. Venet. Stob. pro vulg. πλάσσωσι.

3 Male, R. teste, Stob. exhibet οἰκονομίας.

4 Etiam hic locus apud Stob. p. 319. extat. R.

νόμενος καὶ ἀδιάστροφος, οὕτως ἀπευθύνει τὰ λοιπὰ τῇ πρὸς αὐτὸν ἐφαρμογῇ καὶ παραθέσει συνεξομοιῶν [1], παραπλησίως τὸν ἄρχοντα πρῶτον αὐτὸν τὴν ἀρχὴν κτησάμενον ἐν ἑαυτῷ καὶ κατευθύναντα τὴν ψυχὴν [2], καὶ καταστησάμενον τὸ ἦθος, οὕτω συναρμόττειν τὸ ὑπήκοον· οὔτε γὰρ πίπτοντός ἐστιν ὀρθοῦν, οὔτε διδάσκειν ἀγνοοῦντος, οὔτε κοσμεῖν ἀκοσμοῦντος, ἢ τάττειν [3] ἀτακτοῦντος, ἢ ἄρχειν μὴ ἀρχομένου· ἀλλ' οἱ πολλοὶ κακῶς φρονοῦντες οἴονται πρῶτον ἐν τῷ ἄρχειν ἀγαθὸν εἶναι τὸ μὴ ἄρχεσθαι, καὶ ὅ γε Περσῶν βασιλεὺς πάντας ἡγεῖτο δούλους, πλὴν τῆς αὐτοῦ γυναικός, ἧς μάλιστα δεσπότης ὤφειλεν εἶναι.

III. Τίς οὖν ἄρξει τοῦ ἄρχοντος; ὁ νόμος, ὁ πάντων βασιλεὺς θνητῶν τε καὶ ἀθανάτων, (ὥς φησι [4] Πίνδαρος [5]) οὐκ ἐν βιβλίοις ἔξω γεγραμμένος [6], οὐδέ τισι ξύλοις, ἀλλ' ἔμψυχος ὢν ἑαυτῷ [7] λόγος, ἀεὶ συνοικῶν καὶ παραφυλάττων, καὶ μηδέποτε τὴν ψυχὴν

1 Recepi e Stob. pro vulg. συνεφομοιῶν. W. susp. vel idem, vel συναφομοιῶν, addens, utrumque Plutarcho frequens esse: Vulgatum semel hic exstare.

2 Dedi locum hunc, uti apud Stob. legitur, R. probante. Vulgo πρῶτον αὐτὸν κτησάμενον ἐν αὐτῷ καὶ κατευθύναντα τὴν ἀρχήν. W. notante, in priori receptae lectionis parte assentiuntur Venet. & Colleg. Nov. E Petav. notatur: τὸν ἄρχοντα πρῶτον ἀρχὴν κτησάμενον τὸ ἦθος, οὕτω συναρμ. reliquis intermediis omissis.

3 Stob. sic exhibet: οὔτε γὰρ πίπτοντος τρέχειν, ἢ τάττειν ἀτακτοῦντος, ἢ ἄρχειν μὴ ἀρχομένου. Bern. Martinus hanc sententiam e Platone & Tullio illustrat, & a Solone sumtam contendit Var. Lect. 3, 16. R. A Petav. absunt haec: οὔτε κοσμεῖν ἀκοσμοῦντος, ἢ τάττειν ἀτακτοῦντος.

4 Petav. ὡς ἔφη.

5 Vid. de hoc dicto Pindarico Schneider. fragm. p. 107.

6 Dedi sic cum Mez. probante W. pro vulg. γεγραμμένοις.

7 R. susp. ἀλλ' ἔμψυχος νόμος ὢν ἑαυτῷ — *sed ratio, quae ipsa sibimet lex est viva.* W. pro ἑαυτῷ mavult ἀνθρώπῳ; Coll. nov. ἐν ἑαυτῷ.

χὴν ἐῶν ἔρημον ἡγεμονίας. ὁ μὲν γὰρ Περσῶν βασιλεὺς ἕνα τῶν κατευνασῶν εἶχε πρὸς τῦτο τεταγμένον, ὥςε ἕωθεν εἰσιόντα λέγειν [1] πρὸς αὐτόν· Ἀνάςα, ὦ βασιλεῦ, καὶ φρόντιζε πραγμάτων, ὧν σε φροντίζειν ὁ Μεσορομάσδης [2] ἠθέλησε· τῦ δὲ πεπαιδευμένυ καὶ σωφρονῦντος ἄρχοντος ἐντός ἐςιν ὁ τῦτο φθεγγόμενος ἀεὶ καὶ παρακελευόμενος. Πολέμων γὰρ ἔλεγε, τὸν Ἔρωτα εἶναι θεῶν ὑπηρεσίαν εἰς νέων ἐπιμέλειαν· ἀληθέςερον δ' ἄν τις εἴποι, τὰς ἄρχοντας ὑπηρετεῖν θεῷ πρὸς ἀνθρώπων ἐπιμέλειαν καὶ σωτηρίαν, ὅπως ὧν θεὸς δίδωσιν ἀνθρώποις καλῶν καὶ ἀγαθῶν τὰ μὲν νέμωσι, τὰ δὲ φυλάττωσιν.

Ὁρᾷς τὸν ὑψῦ τόνδ' ἄπειρον αἰθέρα,
Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;

ὁ μὲν καθίησιν ἀρχὰς σπερμάτων προσηκόντων, γῆ δ' ἀναδίδωσιν· αὔξεται δὲ τὰ μὲν ὄμβροις, τὰ δ' ἀνέμοις, τὰ δ' ἄςροις ἐπιθαλπόμενα καὶ σελήνῃ· κοσμεῖ δὲ ἥλιος ἅπαντα, καὶ πᾶσι τῦτο δὴ τὸ παρ' αὐτῦ φίλτρον ἐγκεράννυσιν. ἀλλὰ τῶν τοσύτων [3] καὶ τηλικύτων, ἃ θεοὶ χαρίζονται, δώρων καὶ ἀγαθῶν ὐκ ἔςιν ἀπόλαυσις, ὐδὲ χρῆσις ὀρθὴ δίχα νόμυ καὶ δίκης καὶ ἄρχοντος. δίκη μὲν ὖν νόμυ τέλος ἐςίν· νόμος δὲ, ἄρχοντος ἔργον· ἄρχων δὲ, εἰκὼν θεῦ τῦ πάντα κοσμῦντος· ὐ Φειδίυ δεόμενος πλάττοντος, ὐδὲ Πολυκλείτυ καὶ Μύρωνος, ἀλλ' αὐτὸς αὑτὸν εἰς ὁμοιότητα θεῷ δι' ἀρετῆς καθιςὰς, καὶ δημιυργῶν ἀγαλμάτων τὸ ἥδιςον ὀφθῆναι καὶ θεοπρεπέςατον. οἷον δὲ ἥλιον ἐν ὐρανῷ περικαλλὲς εἴδωλον ἑαυτῦ καὶ σελήνην ὁ θεὸς ἐνίδρυσε, τοιῦτον ἐν πόλεσι μίμημα καὶ φέγγος ἄρχων, Ὅστε

1 Petav. λέγει.

2 Cum alibi apud Plutarchum Deus Perfarum Ὡρομάσδης & Ὡρόμαζος nuncupetur, Kaltw. fufpicatur, Μεσορομάσδης ortum esse ex μέγας Ὡρομάσδης.

3 Etiam hunc locum recitat Stobaeus. R.

— Ὥστε θεουδὴς
Εὐδικίας ἀνέχησι [1]. —

τουτέστι θεοῦ λόγον ἔχων διάνοιαν [2], οὐ σκῆπτρον, οὐδὲ κεραυνὸν, οὐδὲ τρίαιναν, ὡς ἔνιοι πλάττουσιν ἑαυτοὺς καὶ γράφουσι, τῷ ἀνεφίκτῳ ποιοῦντες ἐπίφθονον τὸ ἀνόητον. νεμεσᾷ γὰρ ὁ θεὸς τοῖς ἀπομιμουμένοις βροντὰς καὶ κεραυνοὺς καὶ ἀκτινοβολίας· τοὺς δὲ τὴν ἀρετὴν ζηλοῦντας αὐτοῦ, καὶ πρὸς τὸ καλὸν καὶ φιλάνθρωπον ἀφομοιοῦντας ἑαυτοὺς, ἡδόμενος αὔξει, καὶ μεταδίδωσι τῆς περὶ αὐτὸν εὐνομίας καὶ δίκης καὶ ἀληθείας καὶ πρᾳότητος· ὧν θειότερον οὐ πῦρ ἐστιν, οὐ φῶς, οὐχ ἡλίου δρόμος, οὐκ ἀνατολαὶ καὶ δύσεις ἄστρων, οὐ τὸ ἀΐδιον καὶ ἀθάνατον. οὐ γὰρ χρόνῳ ζωῆς ὁ θεὸς εὐδαίμων, ἀλλὰ τῆς ἀρετῆς τῷ ἄρχοντι· τοῦτο γὰρ θεῖόν ἐστι, καλὸν δ' αὐτῆς καὶ τὸ ἀρχόμενον.

IV. Ἀνάξαρχος μὲν οὖν ἐπὶ τῷ Κλείτου φόνῳ δεινοπαθοῦντα παραμυθούμενος Ἀλέξανδρον, ἔφη, καὶ τῷ Διῒ τὴν Δίκην εἶναι, καὶ τὴν Θέμιν παρέδρους [3], ἵνα πᾶν πραττόμενον ὑπὸ βασιλέως θεμιτὸν δοκῇ καὶ δίκαιον· οὐκ ὀρθῶς, οὐδ' ὠφελίμως, τὴν ἐφ' οἷς ἥμαρτε μετάνοιαν αὐτοῦ τῷ πρὸς τὰ ὅμοια θαῤῥύνειν ἰώμενος [4].

εἰ

1 Hom. Odyss. XIX, 109. 111.

2 R. Inseri vult καὶ ante διάν. W. mavult δικαιοσύνην, vel εὔνοιαν, vel εὐνομίαν.

3 Vulgo ἔφη Κλείτῳ δὴ τὴν δίκην εἶναι, καὶ τὴν τῶν Θεῶν πάρεδρον. Jam Xyl. pro Κλείτῳ reponendum fuſpicatus eſt γνῶθι aut οὐκ οἶδας, & ex Plut. Alexandro reduxit Θέμιν. R. cum Leopard. Emend. 8, 10. recte legi monuit ἔφη ἀεὶ τῷ Διῒ τὴν Δίκην εἶναι καὶ τὴν Θέμιν πάρεδρον. Dando, quae nunc leguntur, fecutus ſum W. Conſentiunt inſuper Amiot. Petav. ad Themiſt p. 51. Ed. Flex. Junius. Mez. M. Solanus ad Vit. Plut. Alex. T. IV. p. 567. Ultimum παρέδρους ſumſit W. ex Venet. Cf. Plut. Opp. Vol. IV. p. 325.

4 Ald. Baſ. Petav. οἰόμενος. Xyl. ex Ms. & ipſa ſententiae ratione corrigendum monuit in ἰώμενος, quod Steph. dedit. Turn. ἀφελκόμενος.

εἰ δὲ δεῖ [1] ταῦτ' εἰκάζειν, ὁ μὲν Ζεὺς ὐκ ἔχει τὴν Δίκην πάρεδρον, ἀλλ' αὐτὸς Δίκη καὶ Θέμις ἐςὶ, καὶ νόμων ὁ πρεσβύτατος καὶ τελειότατος. οἱ παλαιοὶ ὕτω λέγυσι καὶ γράφυσι καὶ διδάσκυσιν, ὡς ἄνευ δίκης ἄρχειν μηδὲ τῦ Διὸς καλῶς δυναμένυ· ἡ δέ γε παρθένος ἐςὶ, καθ' Ἡσίοδον [2], ἀδιάφθορος, αἰδῦς καὶ σωφροσύνης καὶ ἀφελείας σύνοικος [3]· ὅθεν αἰδοίυς προσαγορεύυσι τὺς βασιλεῖς· μάλιςα γὰρ [4] αἰδεῖσθαι προσήκει τοῖς ἥκιςα φοβυμένοις. φοβεῖσθαι δὲ δεῖ τὸν ἄρχοντα τῦ παθεῖν κακῶς μᾶλλον τὸ ποιῆσαι· τῦτο γὰρ αἴτιόν ἐςιν ἐκείνυ, καὶ ὗτός ἐςιν ὁ φόβος τῦ ἄρχοντος φιλάνθρωπος καὶ ὐκ ἀγεννὴς, ὑπὲρ τῶν ἀρχομένων δεδιέναι, μὴ λάθωσι βλαβέντες,

Ὡς δὲ κύνες [5] περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ,
Θηρὸς ἀκέσαντες κρατερόφρονος,

ὐχ ὑπὲρ αὐτῶν, ἀλλ' ὑπὲρ τῶν φυλαττομένων. ὁ δ' Ἐπαμεινώνδας εἰς ἑορτήν τινα καὶ πότον ἀνειμένως τῶν Θηβαίων ῥυέντων, μόνος ἐφώδευε τὰ ὅπλα καὶ τὰ τείχη, νήφειν, λέγων, καὶ ἀγρυπνεῖν, ὅπως ἐξῇ τοῖς ἄλλοις μεθύειν καὶ καθεύδειν. καὶ Κάτων ἐν Ἰτύκῃ τὺς ἄλλυς ἅπαντας ἀπὸ τῆς ἥττης ἐκήρυττε πέμπειν ἐπὶ θάλατταν· καὶ ἐμβιβάσας, εὔπλοιαν εὐξάμενος ὑπὲρ αὐτῶν, εἰς οἶκον ἐπανελθὼν, ἑαυτὸν ἀπέσφαξε· διδάξας, ὑπὲρ τίνων δεῖ τὸν ἄρχοντα τῷ φόβῳ χρῆσθαι, καὶ τίνων δεῖ τὸν ἄρχοντα καταφρονεῖν. Κλέαρχος δὲ, ὁ Ποντικὸς τύραννος [6], εἰς κιβωτὸν ἐνδυόμενος,

1 Omissum est δεῖ in Bas. Inserendum id monuit Xyl.

2 Op. & d. 254. sqq.

3 Recepi Xyl. & R. correctionem, W. probatam. Vulgo ὠφελείας ἔνοικος. E Ms. quidem Xyl. notavit ἀληθείας, addens vel *simplicitatem*, vel *veritatem* rectius *Dicae* attribui, quam *utilitatem*.

4 abest γὰρ a Petav.

5 Hom. Iliad. X, 184. sq.

6 Diodor. Bibl. XV, 81. XVI, 36. Athen. III, pag. 85.

ϑος, ὥσπερ ὄφις, ἐκάθευδε. καὶ Ἀρίςιππος [1], ὁ Ἀργεῖος, εἰς ὑπερῷον οἴκημα θύραν ἔχον ἐπιῤῥακτὴν, ἧς ἐπάνω τιθεὶς τὸ κλινίδιον, ἐκάθευδε μετὰ τῆς ἑταίρας· ἡ δὲ μήτηρ ἐκείνης ὑφεῖλκε κάτωθεν τὸ κλιμάκιον, εἶτα ἡμέρας πάλιν προσετίθει φέρουσα. πῶς οὗτος, οἴεσθε, τὸ θέατρον ἐπεφρίκει, καὶ τὸ ἀρχεῖον, τὸ βουλευτήριον, τὸ συμπόσιον, ὁ τὸν θάλαμον ἑαυτῷ δεσμωτήριον πεποιηκώς; τῷ γὰρ ὄντι δεδίασιν οἱ βασιλεῖς ὑπὲρ τῶν ἀρχομένων, οἱ δὲ τύραννοι τοὺς ἀρχομένους· διὸ τῇ δυνάμει τὸ δέος συναύξουσι· πλειόνων γὰρ ἄρχοντες πλείονας φοβοῦνται.

V. Οὐ γὰρ εἰκὸς οὐδὲ πρέπον, (ὥσπερ ἔνιοι φιλόσοφοι λέγουσι) τὸν θεὸν ἐν ὕλῃ πάντα πασχούσῃ καὶ πράγμασι μυρίας δεχομένοις ἀνάγκας καὶ τύχας καὶ μεταβολὰς, ὑπάρχειν ἀναμεμιγμένον. ἀλλ' ἡμῖν ἄνω που περὶ τὴν ἀεὶ κατὰ ταυτὰ οὕτω [2] φύσιν ἔχουσαν ἱδρυμένος ἐν βάθροις ἁγίοις, ᾗ, φησι Πλάτων, εὐθέα [3] περαίνει κατὰ φύσιν περιπορευόμενος· οἷον δὲ ἥλιον ἐν οὐρανῷ μίμημα τὸ περικαλλὲς αὐτοῦ δι' ἐσόπτρου εἴδωλον ἀναφαίνεται τοῖς ἐκεῖνον ἐνορᾷν δι' αὐτοῦ δυνατοῖς, οὕτω τὸ ἐν πόλεσι φέγγος [4] εὐδικίας καὶ λόγου τοῦ περὶ αὐτὴν [5] ὥσπερ εἰκόνα κατέστησεν, ἣν οἱ μακάριοι καὶ σώφρονες ἐκ φιλοσοφίας ἀπογράφονται, πρὸς τὸ κάλλιστον τῶν πραγμάτων πλάττοντες [6] ἑαυτούς. ταύ-

1 Ita a Plut. ipſo in Vit. Arati, Vol. VI, p. 318., nominatur, & dandum cenſui pro vulg. Ἀριςόδημος. Idem monuit W.

2 R. pro οὕτω ſuſp. ὡσαύτως. W. legit ἀλλ' ὁ μὲν ἄνω που, περὶ τὴν ἀεὶ κατὰ ταυτὰ καὶ ὡσαύτως —.

3 R. mavult aut εὐθείᾳ ſc. ὁδῷ, aut εὐθεῖαν, ſc. ὁδόν.

4 R. ſuſp. ἐν οὐρανῷ καταςήσας μίμημα τὸ περικαλλέςατον ἑαυτοῦ, δι' ἐσόπτρου (vel δι' εὐσυνόπτου) εἰδώλου — ἐκεῖνον συνορᾷν διὰ τούτου δυναμένοις, οὕτω τοῦ ἐν πόλεσι φέγγους εὐδικίας —.

5 W. legendum monet περὶ αὐτὸν cum Mez.

5 Vulgo πράττοντες; ſimul a Xyl. e Ms. notatur. At nullo ſenſu eſſe, idem monet, legendum ſuſpicans τάττοντες. R. ma-

luit

ταύτην δ' ὐδὲν ἐμποιεῖ τὴν διάθεσιν, ἣ λόγος ἐκ Φιλοσοφίας παραγενόμενος· ἵνα [1] μὴ πάχωμεν τὸ τῦ Ἀλεξάνδρυ, ὃς ἐν Κορίνθῳ Διογένην θεασάμενος, καὶ δι' εὐφυΐαν ἀγαπήσας καὶ θαυμάσας τὸ φρόνημα καὶ τὸ μέγεθος τῦ ἀνδρὸς, εἶπεν· Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην· ὀλίγυ δέων εἰπεῖν τὴν περὶ αὐτὸν εὐτυχίαν καὶ λαμπρότητα καὶ δύναμιν, ὡς κώλυσιν ἀρετῆς καὶ ἀσχολίαν βαρυνόμενος, καὶ ζηλοτυπῶν [2] τὸν τρίβωνα καὶ τὴν πήραν, ὅτι τύτοις ἦν ἀνίκητος καὶ ἀνάλωτος Διογένης, ὐχ, ὡς ἐκεῖνος, ὅπλοις καὶ ἵπποις καὶ σαρίσσαις. ἐξῆν ὖν φιλοσοφῦντα καὶ τῇ διαθέσει γίνεσθαι Διογένην, καὶ τῇ τύχῃ μένειν Ἀλέξανδρον, καὶ διὰ τῦτο γενέσθαι Διογένην μᾶλλον, ὅτι ἦν Ἀλέξανδρος, ὡς πρὸς τύχην μεγάλην πολὺ πνεῦμα καὶ σάλον ἔχυσαν, ἕρματος πολλῦ καὶ κυβερνήτυ μεγάλυ δεόμενον.

VI. Ἐν μὲν γὰρ τοῖς [3] ἀσθενέσι καὶ τοῖς ταπεινοῖς καὶ ἰδιώταις, τῷ ἀδυνάτῳ μιγνύμενον [4] τὸ ἀνόητον εἰς τὸ ἀναμάρτητον τελευτᾷ [5], ὥσπερ ὀνείρασι φαύλοις τὶς ἄνοια [6] τὴν ψυχὴν διαταράττει, συνεξανα-

luit πλάττοντες, *fingentes & conformantes.* Dedi id cum W. consentiente Colleg. Nov. Etiam Mez. idem legi voluit, mutato simul πραγμάτων in παραδειγμάτων.

1 R. susp. quaedam intercidisse.

2 R. susp. leg. βαρύνεσθαι καὶ ζηλοτυπεῖν — *paene ipsis verbis pronuncians, se gravari sua grandi fortuna, et invidere pallio* — aut servatis partic. deesse aliquid in superioribus, e. c. ὀλίγυ δέων εἰπεῖν, ὅτι ὐκ ἐν μεγάλῳ τίθεται, aut ὅτι βύλεται ἀποσείσασθαι τὴν περὶ αὐτόν.

3 Locum hunc Stobaeus p. 319. recitat. R.

4 Stob. δεδειμένον, quod R. praefert.

5 abest τελευτᾷ a Petav. Ald. Bas.

6 Vulgo ἀνία, uti paulo post ἀνίαν (vid. not. seq.) Ad locum posteriorem Xyl. ex margine scripti legendum esse monuit ἄνοιαν, quod & in priori vertendo expressit. R. quaerit, num ἄνοια τοῖς πάθεσι, duas ultimas voces addente Stobaeo. W. cum Mez. legendum notat ἄνοια, quod recepi.

αναςῆναι ταῖς ἐπιθυμίαις μὴ δυναμένην· ἡ δ' ἐξεσία παραλαβεσα τὴν κακίαν, νεῦρα [1] τοῖς πάθεσι προςίθησι· καὶ τὸ τε Διονυσίε ἀληθές [2] ἐςιν· ἔφη γὰρ, ἀπολαύειν μάλιςα τῆς ἀρχῆς, ὅταν ταχέως, ἃ βέλεται, ποιῇ. μέγας ἐν ὁ κίνδυνος, βέλεσθαι, ἃ μὴ δεῖ, τὸν, ἃ βέλεται, ποιεῖν δυνάμενον.

Αὐτίκ' ἔπειτά γε μῦθος ἔην, τετέλεςο δὲ ἔργον [3].

ὀξὺν ἡ κακία διὰ τῆς ἐξεσίας δρόμον ἔχεσα, πᾶν πάθος ἐξωθεῖ [4], ποιεσα τὴν ὀργὴν, φόνον· τὸν ἔρωτα, μοιχείαν· πλεονεξίαν, δήμευσιν.

Αὐτίκ' ἐπειθ' ἅμα μῦθος ἔην,

καὶ ἀπόλωλεν ὁ προσκρέσας· ὑπόνοια, καὶ τέθνηκεν ὁ διαβληθείς. ἀλλ' ὥσπερ οἱ φυσικοὶ λέγεσι, τὴν ἀςραπὴν τῆς βροντῆς ὑςέραν μὲν ἐκπίπ]ειν, ὡς αἷμα τραύματος, προτέραν δὲ φαίνεσθαι, τὸν μὲν ψόφον ἐκδεχομένης τῆς ἀκοῆς, τῷ δὲ φωτὶ τῆς ὄψεως ἀπαντώσης· ἕτως ἐν ταῖς ἀρχαῖς φθάνεσιν αἱ κολάσεις τὰς κατηγορίας, καὶ προεκπίπ]εσιν αἱ καταδίκαι τῶν ἀποδείξεων.

Ἐκεῖ γὰρ ἤδη θυμὸς ἐκ ἔτ' ἀντέχει,

Θινῶδες ὡς ἄγκιςρον ἀγκύρας σάλον [5],

ἂν μὴ βάρος ἔχων λογισμὸς ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξεσίαν, μιμεμένε τὸν ἥλιον τε ἄρχοντος, ὃς ὅταν ὕψωμα λάβῃ μέγιςον, ἐξαρθεὶς ἐν τοῖς βορείοις, ἐλάχιςα κινεῖται, τῷ χολαιοτέρῳ τὸν δρόμον εἰς ἀσφαλὲς καθιςάμενος.

VII.

1 Ita pro vulg. ἀνίαν e Stobaeo recipiendum censuerunt R. & W.

2 Petav. πρόχειρόν ἐςιν.

3 Iliad. XIX, 242.

4 scil. τε μετρίε, *ultra modum intendit et transadigit.* R.

5 cf. Plut. opp. Vol. IX. p 404. n. 4.

VII. Οὐδὲ γὰρ λαθεῖν οἷόν τε τὰς κακίας ἐν ταῖς ἐξουσίαις· ἀλλὰ τοὺς μὲν ἐπιληπτικοὺς, ἂν ἐν ὑψύχει τινὶ γένωνται καὶ περιενεχθῶσιν, ἴλιγγος ἴσχει καὶ σάλος, ἐξελέγχων τὸ πάθος αὐτῶν, τοὺς δ' ἀπαιδεύτους καὶ ἀμαθεῖς ἡ τύχη μικρὸν ἐκκουφίσασα πλούτοις τισὶν ἢ δόξαις ἢ ἀρχαῖς μετεώρους γενομένους, εὐθὺς ἐπιδείκνυσι πίπτοντας· μᾶλλον δὲ, ὥσπερ τῶν κενῶν ἀγγείων οὐκ ἂν [1] διαγνοίης τὸ ἀκέραιον καὶ πεπονηκὸς, ἀλλ' ὅταν ἐγχέῃς, φαίνεται τὸ ῥέον [2]. οὕτως αἱ σαθραὶ ψυχαὶ τὰς ἐξουσίας μὴ στέγουσαι, ῥέουσιν ἔξω ταῖς ἐπιθυμίαις, ταῖς ὀργαῖς, ταῖς ἀλαζονείαις, ταῖς ἀπειροκαλίαις. καὶ τί δεῖ [3] ταῦτα λέγειν; ὅπου καὶ τὰ σμικρότατα τῶν ἐλλειμμάτων περὶ τοὺς ἐπιφανεῖς καὶ ἐνδόξους συκοφαντεῖται. Κίμωνος ἦν ὁ οἶνος διαβολή· Σκιπίωνος ὁ ὕπνος. Λεύκολλος ἐπὶ τῷ δειπνεῖν πολυτελέστερον, ἤκουε κακῶς [4].

1 R. aut deesse, aut subaudiri oportere ἄλλως post οὐκ ἂν monet.

2 *ea pars, quae liquorem effluere sinit.* R.

3 R. mavult καίτοι τί δεῖ τ. λ.

4 R. judice, deest finis huic libello.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΙ

## ΠΡΕΣΒΥΤΕΡΩΙ[1] ΠΟΛΙΤΕΥΤΕΟΝ.

Ὅτι μὲν, ὦ Εὔφανες, ἐπαινέτης ὢν Πινδάρου, πολλάκις ἔχεις διὰ στόματος, ὡς εἰρημένον εὖ καὶ πιθανῶς ὑπ' αὐτοῦ [2]·

Τιθεμένων ἀγώνων
Πρόφασις ἀρετὰν
Εἰς αἰπὺν [3] ἔβαλε σκότον,

οὐκ ἀγνοοῦμεν. ἐπειδὴ δὲ πλείστας αἱ πρὸς τοὺς πολιτικοὺς ἀγῶνας ἀποκνήσεις καὶ μαλακίαι προφάσεις ἔχουσαι, τελευταίαν ὥσπερ τὴν ἀφ' ἱερᾶς [4] ἐπάγουσιν ἡμῖν τὸ γῆρας, καὶ μάλιστα δὴ τούτῳ τὸ φιλότιμον ἀμβλύνειν καὶ δυσωπεῖν δοκοῦσαι, πείθουσιν, εἶναί τινα πρέπουσαν οὐκ ἀθλητικῆς μόνον ἀλλὰ καὶ πολιτικῆς περιόδου κατάλυσιν· οἴομαι δεῖν, ἃ πρὸς ἐμαυτὸν ἑκάστοτε λογίζομαι, καὶ πρὸς σὲ διελθεῖν περὶ τῆς πρεσβυτικῆς πολιτείας· ὅπως μηδέτερος ἀπολείψει [5] τὴν μακρὰν συνοδίαν μέχρι [6] δεῦρο κοινῇ προερχομένην, μηδὲ τὸν πολιτικὸν βίον, ὥσπερ ἡλικιώτην καὶ συνήθη φίλον ἀποῤῥίψας, μεταβάληται



1 Turn. Bong. ὅτι καὶ πρεσβύταις πολ.

2 Ald. Baſ. ἐπ' αὐτῶν; Turn. V. Bong. ὑπ' αὐτῶν.

3 Ald. Baſ. ἰκὺν; Xyl. correxit. Cf. Schneider. fragm. Pind. p. 83.

4 Subint. γραμμῆς. Deſumta eſt haec dictio a ſpecie quadam ludi teſſerarii, in quo adhibebantur, Heſych. teſte, LX. nigri & albi calculi. Romanis dicebatur *ludus duodecim ſcriptorum* (Vid. Erneſt. Clav. Cic. ſ. v. ſcriptorum ludus) Graecis διαγραμμισμός. Media linea erat ἱερὰ, quam non facile transibant ludentes.

5 R. mavult ἀπολείπῃ.

6 Turn. V. Bong. ἄχρι. Ald. Baſ. deinde κοινῇ.

ληται πρὸς ἄλλον ἀσυνήθη, καὶ χρόνον ὀυκ ἔχοντα συνήθη γενέσθαι καὶ οἰκεῖον· ἀλλ' ἐμμενοῦμεν, οἷς ἀπ' ἀρχῆς προειλόμεθα, ταυτὸ τοῦ ζῆν καὶ τοῦ καλῶς ζῆν ποιησάμενοι πέρας· εἴγε δὴ μὴ μέλλοιμεν ἐν βραχεῖ τῷ λειπομένῳ τὸν πολὺν ἐλέγχειν χρόνον, ὡς ἐπ' ὀυδενὶ καλῷ μάτην ἀνηλωμένον. ὀυ γὰρ ἡ τυραννὶς (ὥς τις [1] εἶπε Διονυσίῳ) καλὸν ἐντάφιον· ἀλλ' ἐκείνῳ γε [2] τὴν μοναρχίαν μετὰ τῆς ἀδικίας τόγε μὴ παύσασθαι, συμφορὰν τελεωτέραν ἐποίησε· καὶ καθὼς Διογένης ὕστερον ἐν Κορίνθῳ τὸν υἱὸν αὐτοῦ θεασάμενος ἰδιώτην ἐκ τυράννου γεγενημένον· Ὡς ἀναξίως, (ἔφη) Διονύσιε, σεαυτοῦ πράττεις· ὀυ γὰρ ἐνταῦθά σε μεθ' ἡμῶν ἔδει ζῆν ἐλευθέρως καὶ ἀδεῶς, ἀλλ' ἐκεῖ τοῖς τυραννείοις [3] ἐγκατῳκοδομημένον, ὥσπερ ὁ πατὴρ, ἄχρι γήρως ἐγκαταβιῶσαι [4]. πολιτεία δὲ δημοκρατικὴ καὶ νόμιμος ἀνδρὸς εἰθισμένου παρέχειν αὑτὸν ὀυχ ἧττον ἀρχόμενον ὠφελίμως ἢ ἄρχοντα, καλὸν ἐντάφιον, ὡς ἀληθῶς τὴν ἀπὸ τοῦ βίου δόξαν τῷ θανάτῳ προστίθησι. Τοῦτο γὰρ

Ἔσχατον δύεται κατὰ γᾶς,

ὥς φησι Σιμωνίδης, πλὴν ὧν προαποθνήσκει [5] τὸ φιλάνθρωπον καὶ φιλόκαλον, καὶ προαπαυδᾷ τῆς τῶν ἀναγκαίων ἐπιθυμίας ὁ τῶν καλῶν ζῆλος, ὡς τὰ πρακτικὰ μέρη καὶ θεῖα τῆς ψυχῆς ἐξιτηλότερα τῶν παθητικῶν καὶ σωματικῶν ἐχέσης [6]. ὅπερ ὀυδὲ λέγειν καλὸν, ὀυδ'

1 Frst. & R. ὥσπερ pro ὥς τις. Hinc R. legendum censuit Διονύσιος. Cf. Diodor. XIV. 8. Aelian. V. H. IV. 3.

2 R. legendum monuit μὲν pro γε ob deinde sequens δέ.

3 Ald. Bas. τυράννοις. Xyl. legendum monuit τυραννείοις, arci, in qua tyrannus munita stipatus, quasi in carcerem compactus, viveret.

4 Ald. Bas. ἐγκαταβιώσας. Xyl. correxit.

5 Turn. V. Bong. προϋποθνήσκει.

6 W. monet, orationem esse turbatam librariorum vitio, neque in codd. quid melius nec apud Stob. p. 303 qui in compendium redegit. Idem pro seq. ὅπερ legit διόπερ.

ἐδ' ἀποδέχεσθαι τῶν λεγόντων, ὡς κερδαίνοντες μόνον ἒ κοπιῶμεν [1]. ἀλλὰ καὶ τὸ τῦ Θϐκυδίδϐ παράγειν ἐπὶ τὸ βέλτιον, μὴ τὸ Φιλότιμον ἀγήρω μόνον ἡγϐμένϐς [2], ἀλλὰ μᾶλλον τὸ κοινωνικὸν καὶ πολιτικόν· ὃ καὶ μύρμηξιν ἄχρι τέλϐς παραμένει καὶ μελίτταις· ὐδεὶς γὰρ εἶδεν ὑπὸ γήρως κηφῆνα γενομένην μέλιτταν [3], ὥσπερ ἔνιοι τὲς πολιτικὲς ἀξιῦσιν, ὅταν παρακμάσωσιν, οἴκοι σιτϐμένϐς καθῆσθαι καὶ ἀποκεῖσθαι, καθάπερ ἰῷ σίδηρον, ὑπ' ἀργίας τὴν πρακτικὴν ἀρετὴν σβεννυμένην περιορῶντας. ὁ [4] γὰρ Κάτων ἔλεγεν, ὅτι πολλὰς ἰδίας ἔχοντι τῷ γήρᾳ κῆρας ἐ δεῖ τὴν ἀπὸ τῆς κακίας ἑκόντας ἐπάγειν αἰσχύνην. πολλῶν δὲ κακιῶν ἐδεμιᾶς ἧττον ἀπραξία καὶ δειλία καὶ μαλακία καταισχύνϐσιν ἄνδρα πρεσβύτην, ἐκ πολιτικῶν ἀρχείων καταδυόμενον εἰς οἰκϐρίαν γυναικῶν, ἢ κατ' ἀγρὸν ἐφορῶντα καλαμητρίας καὶ θεριστάς.

Ὁ δ' Οἰδίπϐς πῦ καὶ τὰ κλεῖν' αἰνίγματα;

τὸ μὲν γὰρ ἐν γήρᾳ πολιτείας ἄρχεσθαι, καὶ μὴ πρότερον, (ὥσπερ Ἐπιμενίδην λέγϐσι κατακοιμηθέντα νεανίαν, ἐξέγρεσθαι γέροντα μετὰ πεντήκοντα ἔτη), ὕτω [5] μακρὰν καὶ συμβεβηκυῖαν [6] ἡσυχίαν ἀποθέμενον, ἐμβαλεῖν ἑαυτὸν εἰς ἀγῶνας καὶ ἀσχολίας, ἀήθη καὶ ἀγύμναστον ὄντα, καὶ μήτε πράγμασιν ἐνωμιληκότα πολιτικοῖς, μήτ' ἀνθρώποις, ἴσως ἂν αἰτιωμένῳ τινὶ παρά-



1 Turn. V. Bong. ἒ κοπιῶντες.

2 Ald. Baf. ἡγϐμένϐ. R. maluit paulo ante ἀγήρων pro ἀγήραον, Stob. l. c. consentiente. Cf. Thucyd. II, c. 44. & quae Wasse ad h. l. pro vulgata lectione attulit.

3 Non re, sed verbis, discrepare lectionem Stobaei R. notat: ὐδεὶς δὲ πώποτε κηφῆνα εἶδεν ἐκ μελίττης γενόμενον. Sumsi inde εἶδεν, W. probante, pro vulg. οἶδεν.

4 Pro ὁ Turn. Bong. dant εὖ; V. οἷον.

5 Vulgo ἔτ' ἂν ὕτω, pro quo R. leg. susp. εἶτ' ἂν ὕτω τύχῃ. Mez. ἔτ' ἂν male ortum videbatur ex ὕτω, adeoque delendum. W. consentit. Refertur ὕτω ad antecedens ὥσπερ.

6 R. susp. συμβεβιωκυῖαν; W. συντετηκυῖαν.

χοι τὸ τῆς Πυθίας εἰπεῖν· Ὀψέ μ' ἦλθες, ἀρχὴν καὶ δημαγωγίαν διζήμενος, καὶ παρ' ὥραν στρατηγίου κόπτεις θύραν, ὥσπερ τις ἀτεχνότερος ὢν [1] νύκτωρ ἐπίκωμος ἀφιγμένος ἢ ξένος, οὐ τόπον οὐδὲ χώραν, ἀλλὰ βίον, ὃν μὴ πεπείρασαι, μεταλλάττων [2]. τὸ γάρ,

— Πόλις ἄνδρα διδάσκει,

κατὰ Σιμωνίδην, ἀληθές ἐστιν ἐπὶ τῶν ἔτι [3] χρόνον ἐχόντων μεταδιδαχθῆναι καὶ μεταμαθεῖν μάθημα [4], διὰ πολλῶν ἀγώνων καὶ πραγμάτων μόλις ἐκπονούμενον, ἄνπερ ἐν καιρῷ φύσεως ἐπιλάβηται, καὶ πόνον ἐνεγκεῖν καὶ δυσημερίαν εὐκόλως δυναμένης. ταῦτα δόξει τις μὴ κακῶς λέγεσθαι πρὸς τὸν ἀρχόμενον ἐν γήρᾳ πολιτείας.

II. Καίτοι τοὐναντίον ὁρῶμεν ὑπὸ τῶν νῦν ἐχόντων τὰ μειράκια καὶ τοὺς νέους ἀποτρεπομένους τοῦ τὰ κοινὰ πράττειν· καὶ μαρτυροῦσιν οἱ νόμοι διὰ τοῦ κήρυκος ἐν ταῖς ἐκκλησίαις, οὐκ Ἀλκιβιάδας οὐδὲ Πυθέας ἀνιστάντες ἐπὶ τὸ βῆμα πρώτους, ἀλλὰ τοὺς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας, λέγειν καὶ συμβουλεύειν παρακαλοῦντες· οὐ γὰρ τοσοῦτον [5] ἀήθεια τόλμης καὶ τριβῆς ἔνδεια καὶ προτρόπαιον ἑκάστῳ στρατιωτῶν. ὁ δὲ Κάτων, μετ' ὀγδοήκοντα ἔτη δίκην ἀπολογούμενος, ἔφη, χαλεπὸν εἶναι, βεβιωκότα μετ' ἄλλων, ἐν ἄλλοις ἀπολογεῖσθαι. Καίσαρος δὲ, τοῦ καταλύσαντος Ἀντώνιον, ἔτι μικρῷ [6] βασιλι-

1 W. susp. ἀγροικότερος ὤν, vel ἀτεχνῶς γέρων.

2 Ald. Bas. μεταλλάττειν.

3 τῶν ἔτι absunt a Turn. & V.

4 Turn. Bong. μαθήματα.

5 Locum hunc ut mutilatum Xyl. asterisco notavit. R. ita eum integrandum censet: οὐ γὰρ τοσοῦτον ἀήθεια τόλμης ἐμπόδιον, καὶ τριβῆς ἔνδεια ἀποτροπὴ ἑκάστῳ τῶν στρατιωτῶν (sed quare non simpliciter τοῖς στρατιώταις?) ὅσον ἀνδρὶ πολιτικῷ. W. teste, omnes libri vulgatam exhibent gravi corruptela, cujus nisi vera, probabilis forte haec sit correctio: οὐ γὰρ τοσοῦτον ἔνδεια τόλμης, ὅσον ἀήθεια τριβῆς ποιεῖ τροπαῖα ἱστῆναι στρατηγόν.

6 R. susp. ἐχὶ μακρῷ βασ.

σιλικώτερα καὶ δημωφελέστερα γενέσθαι πολιτεύματα πρὸς τῇ τελευτῇ πάντες ὁμολογοῦσιν· αὐτὸς δὲ τοὺς νέους ἔθεσι καὶ νόμοις αυστηρῶς σωφρονίζων, ὡς ἐθορυβήθησαν [1]. Ἀκούσατε (εἶπε) νέοι, γέροντος, οὗ νέου γέροντες ἤκουον. ἡ δὲ Περικλέους πολιτεία τὸ μέγιστον ἐν γήρᾳ κράτος ἔσχεν, ὅτε καὶ τὸν πόλεμον ἄρασθαι τοὺς Ἀθηναίους ἔπεισε· καὶ προθυμουμένων οὐ κατὰ καιρὸν μάχεσθαι πρὸς ἑξακισμυρίους ὁπλίτας, ἐνέστη καὶ διεκώλυσε, μονονοὺ τὰ ὅπλα τοῦ δήμου καὶ τὰς κλεῖς τῶν πυλῶν ἀποσφραγισάμενος [2]. ἀλλὰ μὴν ἅ γε Ξενοφῶν περὶ Ἀγησιλάου γέγραφεν, αὐτοῖς ὀνόμασιν ἄξιόν ἐστι παραθέσθαι. Ποίας γὰρ (φησὶ) νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας ἐφάνη; τίς μὲν γὰρ τοῖς ἐχθροῖς ἀκμάζων οὕτως φοβερὸς ἦν, ὡς Ἀγησίλαος τὸ μήκιστον τοῦ αἰῶνος [3] ἔχων; τίνος δ' ἐκποδὼν γενομένου μᾶλλον ἥσθησαν οἱ πολέμιοι, ἢ Ἀγησιλάου, καίπερ γηραιοῦ τελευτήσαντος; τίς δὲ συμμάχοις θάρσος παρέσχεν, ἢ Ἀγησίλαος, καίπερ ἤδη πρὸς τὸ τέρμα τοῦ βίου ὤν [4]; τίνα δὲ νέον οἱ φίλοι πλέον ἐπόθησαν, ἢ Ἀγησίλαον γηραιὸν ἀποθανόντα;

III. Εἶτ' ἐκείνους μὲν τηλικαῦτα πράττειν ὁ χρόνος οὐκ ἐκώλυσεν, ἡμεῖς δὲ οἱ νῦν τρυφῶντες ἐν πολιτείαις, μὴ τυραννίδα, μὴ πόλεμόν τινα, μὴ πολιορκίαν ἐχούσαις, ἀπολέμους δὲ ἁμίλλας, καὶ φιλοτιμίας νόμῳ τὰ



1 B. ἐθορύβησαν. Plut. Vol. VIII. p. 170. ἐθορύβουν.

2 Thucyd. II, 21. sqq.

3 Sic apud Xenoph. in fine Agesilai legitur, & est in Ald. & Bas. nec non, W. teste, in omnibus libris & scriptis & editis. Dedi, R. jubente, cum W. pro vulg. ἀγῶνος, quod a Steph. inductum, Anon. & T. habent.

4 R. leg. censet πρὸς τῷ τέρματι ὢν τοῦ βίου, & notat, ita maluisse Plutarchum dictione planiore exprimere, quod Xenophon elegantius, sed paulo obscurius, dixerit [πρὸς τῷ σκάμματι ὢν τοῦ βίου: ita quidem legendum esse, sese in animadv. ad Xenoph. demonstratum e palaestra Graeca dedisse.

πολλὰ καὶ λόγῳ μετὰ δίκης περαινομένας, ἀποδειλιῶμεν; ὁ μόνον στρατηγῶν τῶν τότε καὶ δημαγωγῶν, ἀλλὰ καὶ ποιητῶν καὶ σοφιστῶν καὶ ὑποκριτῶν ὁμολογοῦντες εἶναι κακίας· εἴ γε Σιμωνίδης μὲν ἐν γήρᾳ χοροῖς ἐνίκα, καὶ τοὐπίγραμμα δηλοῖ τοῖς τελευταίοις ἔπεσιν·

'ΑμΦὶ διδασκαλίῃ δὲ [1] Σιμωνίδῃ ἕσπετο κῦδος
'Ογδωκοντακέτᾳ, παιδὶ Λεωπρέπεος.

ΣοΦοκλῆς δὲ λέγεται μὲν ὑπὸ τῶν υἱῶν [2] παρανοίας δίκην Φεύγων, ἀναγνῶναι τὴν ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνοῦ πάροδον, ἥ ἐστιν ἀρχή [3].

Εὐίππου ξένε τᾶσδε χώρας
Ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα [4],
Τὸν ἀργῆτα Κολωνὸν,
Ἔνθα λίγεια μινύρεται
Θαμίζουσα μάλιστ' ἀηδὼν
Χλωραῖς ὑπὸ βάσσαις.

θαυμαστοῦ δὲ τοῦ μέλους Φανέντος, ὥσπερ ἐκ θεάτρου, τοῦ δικαστηρίου προπεμΦθῆναι μετὰ κρότου καὶ βοῆς τῶν παρόντων. τουτὶ δὲ ὁμολογουμένως ΣοΦοκλέους ἐστὶ τὸ ἐπιγραμμάτιον [5].

Ωἰ-

1 abeſt vulgo δὲ. Addidit id W. e Pol. & Mez. Affertur quoque e Turn. V. Bong. διδασκαλίῃ δὲ, vel καὶ. Cf. Fulv. Urſin. ad fragm. poët. lyric. p. 157, 164, & 329.

2 Ald. Baſ. B. E. ὑπὸ πολλῶν. (Vitioſe in ind Frſt. ex Ald. & Baſ. notatur ὑπὸ πάντων) Xyl. correxit ὑπὸ παίδων. Steph. ὑπὸ υἱῶν. Articulum addidit W. e Coll. Muret. Cf. Cic. Cat. Maj. c. 7. Valer. Max. VIII, 7.

3 Oedip. Colon. v. 668. ſqq. ed. Brunck. Colonus fuit locus prope Athenas, Neptuno ſacer, ubi equites Athenienſes convenire ſolebant. Hinc εὔιππος dicitur. Eo ſe contulit Oedipus, e Thebis expulſus.

4 Ald. Baſ. ἐπ' αὐλᾶ.

5 Ald. Baſ γραμμάτιον.

Ὠιδὴν Ἡροδότῳ τεῦξε Σοφοκλῆς ἐτέων ὢν
Πέντ' ἐπὶ [1] πεντήκοντα.

Φιλήμονα δὲ, τὸν κωμικὸν, καὶ Ἄλεξιν ἐπὶ τῆς σκηνῆς ἀγωνιζομένες καὶ ςεφανεμένες ὁ θάνατος κατέλαβε. Πῶλον [2] δὲ, τὸν τραγῳδὸν, Ἐρατοσθένης καὶ Φιλόχορος ἱςορῦσιν ἑβδομήκοντα ἔτη γεγενημένον, ὀκτὼ τραγῳδίας ἐν τέτταρσιν ἡμέραις διαγωνίσασθαι μικρὸν ἔμπροσθεν τῆς τελευτῆς.

IV. Ἆρ' ἒν ἐκ αἰσχρόν ἐςι, τῶν ἀπὸ σκηνῆς γερόντων τὲς ἀπὸ τῦ βήματος ἀγεννεςέρες ὁρᾶσθαι, καὶ τῶν ἱερῶν ὡς ἀληθῶς ἐξιςαμένες ἀγώνων, ἀποτίθεσθαι τὸ πολιτικὸν πρόσωπον, ἐκ οἶδα ὁποῖον ἀντιμεταλαμβάνοντας; καὶ γὰρ τὸ τῆς γεωργίας ἐκ βασιλικῦ, ταπεινόν· ὅπε γὰρ ὁ Δημοσθένης φησὶν ἀνάξια πάσχειν τὴν πάραλον [3] ἱερὰν ἐσὰν τριήρη, ξύλα καὶ χάρακας καὶ βοσκήματα τῷ Μειδίᾳ παρακομίζεσαν, ἢ πε πολιτικὸς ἀνὴρ ἀγωνοθεσίας καὶ βοιωταρχίας καὶ τὰς ἐν Ἀμφικτύοσι προεδρίας ἀπολιπὼν, εἶτα ὁρώμενος ἐν ἀλφίτων καὶ σεμφύλων διαμετρήσει, καὶ πόκοις προβάτων, ἐ παντάπασι δόξει τῦτο δὴ τὸ καλέμενον ἵππε γῆρας ἐπάγεσθαι, μηδενὸς ἀναγκάζοντος; ἐργασίας γε



1 Pro πέντ' ἐπὶ Ald. Baſ. πέντε καὶ.

2 Ald. Baſ. Παῦλον. Hinc Xyl. adnotat: „Hic quis fuerit, neſcio: certe nomen merito ſuſpectum mihi eſſe quivis crediderit. Interpres *Polum* poſuit, neſcio quid ſecutus. Non equidem memini, me nomen ejus inter tragicos alibi audire aut legere, niſi quod pro hiſtrione ſumitur in Politicis praeceptis, & de Gloria Athenienſium, quod huc non facere videtur."

3 R ad haec notat: „Recte obſervavit Cl. Taylor ad Demoſth. Midianam p. 302. Plutarchum hic loci memoriae lapſu duos Demoſthenis locos confudiſſe, illum quo orator ait, Midiam ligna & vallos & pecora in nave illa, cujus praefectus erat, a Parhalo diverſa, convectaſſe p. 116. edit. Taylori, & illum, qui p. 120. eſt, quo ait, Midiam Parhali quaeſtorem fuiſſe." Paralus fuit ſacra Athenienſium triremis.

γε μὴν βαναύσε καὶ ἀγοραίας [1] ἅπτεσθαι μετὰ πολιτείας, ὅμοιον ἐςὶ τῷ γυναικὸς ἐλευθέρας καὶ σώφρονος ἔνδυμα περισπάσαντα καὶ περίζωμα δόντα, συνέχειν ἐπὶ καπηλείε· καὶ γὰρ τῆς πολιτικῆς ἀρετῆς ἔτως ἀπόλλυται τὸ ἀξίωμα καὶ τὸ μέγεθος πρός τινας οἰκονομίας καὶ χρηματισμὲς ἀγομένης. ἂν δὲ (ὅπερ λοιπόν ἐςι) ῥαςώνας καὶ ἀπολαύσεις, τὰς ἡδυπαθείας καὶ τὰς τρυφὰς [2] ὀνομάζοντες, ἐν ταύταις μαραινόμενον ἡσυχῇ παρακαλῶσι γηράσκειν τὸν πολιτικὸν, ἐκ οἶδα, ποτέρᾳ δυεῖν εἰκόνων αἰσχρῶν πρέπειν δόξει μᾶλλον ὁ βίος αὐτε· πότερον ἀφροδίσια ναύταις [3] ἄγεσι, πάντα τὸν λοιπὸν ἤδη χρόνον ἐκ ἐν λιμένι τὴν ναῦν ἔχεσιν, ἀλλ' ἔτι πλέεσαν ἀπολείπεσιν· ἢ καθάπερ ἔνιοι τὸν Ἡρακλέα παίζοντες ἐκ εὖ γράφεσιν, ἐν Ὀμφάλης κροκωτοφόρον ἐνδιδόντα [4] Λυδαῖς θεραπαινίσι ῥιπίζειν [5] καὶ παραπλέκειν ἑαυτόν· ἔτως τὸν πολιτικὸν ἐκδύσαντες τὴν λεοντῆν καὶ κατακλίναντες, εὐωχήσομεν ἀεὶ καταψαλλόμενον καὶ καταυλέμενον; ἐδὲ [6] τῇ τε Πομπηΐε Μάγνε φωνῇ διατραπέντες, τῇ πρὸς Λεύκολλον, (ἣν εἶπεν [7]), αὐτὸν μὲν εἰς λετρὰ καὶ δεῖπνα καὶ συνεσίας μεθημερινὰς, καὶ πολλὴν ἄλυν [8], καὶ

1 Ald. Bas. ἀγορᾶς; Turn. Bong. ἀγοραῖς.

2 Ald. Bas. τροφάς. Hinc Xyl. vertit *saginationes.* Pro ἀπολαύσεις Kaltw. susp. ἀποπαύσεις vel ἀναπαύσεις.

3 Ald. Bas. ἀφροδισίαν αὐτῆς. Xyl. ita corrigendum conjecit, ut vulgo legitur.

4 Turn. Bong. ἐνδύοντα. V. ἐκδύοντα.

5 Xyl legendum censuit & vertit ῥαπίζειν.

6 Pro ἐδὲ R. mavult ἐδέν.

7 R. deesse hic quaedam suspicatur, cum haec verba ἣν εἶπεν pendeant. W. ea forte delenda censet. Hinc uncis inclusi.

8 Ita Xyl. legit, dedique cum W. non procul abeuntibus Coll. Muret. Anon. Jun. πολλὴν ἄλην. Ald. Bas. B. E. πολλὴν ἄλλην. Cui corrigendo addiderunt ἡδυπάθειαν Pol. Schott. Jannot. ut Stephan vulgavit. Turn. V. Bong. ita dant: ἄλλην ἡδὺν. ἄλας ἡδυπάθειαν.

καὶ κατασκευὰς οἰκοδομημάτων νεοπρεπεῖς μετὰ τὰς στρατείας καὶ πολιτείας ἀφεικότα, τῷ δὲ Πομπηΐῳ [1] Φιλαρχίαν ἐγκαλοῦντα καὶ φιλοτιμίαν παρ' ἡλικίαν· ἔφη γὰρ ὁ Πομπήϊος, ἀωρότερον εἶναι γέροντι τὸ τρυφᾷν ἢ τὸ ἄρχειν· ἐπεὶ δὲ νοσοῦντι συνέταξε κίχλην ὁ ἰατρὸς, (ἦν δὲ δυσπόριστον καὶ παρ' ὥραν) ἔφη δέ τις, εἶναι παρὰ Λευκόλλῳ πολλὰς τρεφομένας, οὐκ ἔπεμψεν, οὐδ' ἔλαβεν, εἰπών· Οὐκοῦν, εἰ μὴ Λεύκολλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησε;

V. Καὶ γὰρ εἰ ζητεῖ πάντως ἡ φύσις τὸ ἡδὺ καὶ τὸ χαίρειν, τὸ μὲν σῶμα τῶν γερόντων ἀπείρηκε πρὸς πάσας, πλὴν ὀλίγων τῶν ἀναγκαίων, τὰς ἡδονὰς, καὶ οὐχ

Ἡ Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται

μόνον, ὡς Εὐριπίδης φησὶν, ἀλλὰ καὶ τὰς περὶ πόσιν καὶ βρῶσιν ἐπιθυμίας ἀπημβλυμένας τὰ πολλὰ καὶ νωδὰς κατέχοντες, μόλις οἷον ἐπιθίγουσι καὶ χαράττουσιν· ἐν δὲ τῇ ψυχῇ παρασκευαστέον ἡδονὰς οὐκ ἀγεννεῖς, οὐδ' ἀνελευθέρους, ὡς Σιμωνίδης ἔλεγε πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ φιλαργυρίαν, ὅτι τῶν ἄλλων ἀπεστερημένος διὰ τὸ γῆρας ἡδονῶν, ὑπὸ μιᾶς ἔτι γηροβοσκεῖται τῆς ἀπὸ τοῦ κερδαίνειν. ἀλλ' ἡ πολιτεία καλλίστας μὲν ἡδονὰς ἔχει καὶ μεγίστας, αἷς καὶ τοὺς θεοὺς εἰκός ἐστιν ἢ μόναις ἢ μάλιστα χαίρειν· αὗται δέ εἰσιν, ἃς τὸ εὖ ποιεῖν καὶ καλόν τι πράττειν ἀναδίδωσιν. εἰ γὰρ Νικίας, ὁ ζωγράφος, οὕτως ἔχαιρε τοῖς τῆς τέχνης ἔργοις, ὥστε τοὺς οἰκέτας ἐρωτᾷν πολλάκις, εἰ λέλουται καὶ ἠρίστηκεν· Ἀρχιμήδην δὲ τῇ σανίδι προσκείμενον ἀποσπῶντες βίᾳ καὶ ἀποδύοντες ἤλειφον οἱ θεράποντες, ὁ δ' ἐπὶ τοῦ σώματος ἀληλιμμένου διέγραφε τὰ σχήματα· Κανὸς δὲ, ὁ αὐλητὴς, (ὃν καὶ σὺ γινώσκεις) ἔλεγεν, ἀγνοεῖν τοὺς ἀνθρώπους, ὅσῳ μᾶλλον αὐτὸν αὐλῶν, ἢ ἑτέρους, εὐφραίνει· λαμβάνειν γὰρ ἂν μισθὸν, οὐ διδόναι, τοὺς ἀκούειν ἐθέλοντας· ἆρ' οὐκ ἐπινοοῦμεν, ἡλίκας ἡδονὰς αἱ ἀρεταὶ τοῖς

1 R. mavult τὸν δὲ Π. φ. ἐγκ.

τοῖς χρωμένοις ἀπὸ τῶν καλῶν πράξεων καὶ τῶν κοινωνικῶν ἔργων καὶ φιλανθρώπων παρασκευάζουσιν; οὐ κνῶσαι, οὐδὲ θρύπτουσαι, ὥσπερ αἱ εἰς σάρκα λεῖαι καὶ προσηνεῖς γινόμεναι κινήσεις [1], ἀλλ᾽ αὗται μὲν οἰστρῶδες καὶ ἀβέβαιον καὶ μεμιγμένον σφυγμῷ τὸ γαργαλίζον ἔχουσιν· αἱ δ᾽ ἐπὶ τοῖς καλοῖς ἔργοις, οἵων [2] δημιουργὸς ὁ πολιτευόμενος ὀρθῶς ἐστιν, οὐ ταῖς Εὐριπίδου [3] χρυσαῖς πτέρυξιν, ἀλλὰ τοῖς Πλατωνικοῖς ἐκείνοις καὶ οὐρανίοις πτεροῖς ὅμοια τὴν ψυχὴν μέγεθος καὶ φρόνημα μετὰ γήθους λαμβάνουσαν ἀναφέρουσιν.

VI. Ὑπομίμνησκε δὲ σεαυτὸν, ὧν πολλάκις ἀκήκοας. ὁ μὲν γὰρ Ἐπαμεινώνδας ἐρωτηθεὶς, τί ἥδιστον αὐτῷ γέγονεν, ἀπεκρίνατο, τὸ, τοῦ πατρὸς ἔτι ζῶντος καὶ τῆς μητρὸς, νικῆσαι τὴν ἐν Λεύκτροις μάχην. ὁ δὲ Σύλλας, ὅτε τῶν ἐμφυλίων πολέμων τὴν Ἰταλίαν καθήρας προσέμιξε τῇ Ῥώμῃ πρῶτον, οὐδὲ μικρὸν ἐν τῇ νυκτὶ κατέδαρθεν, ὑπὸ γήθους καὶ χαρᾶς μεγάλης, ὥσπερ πνεύματος, ἀναφερόμενος τὴν ψυχήν· καὶ ταῦτα περὶ αὐτοῦ γέγραφεν [4] ἐν τοῖς ὑπομνήμασιν. ἄκουσμα μὲν γὰρ ἔστω μηδὲν ἥδιον ἐπαίνου, κατὰ τὸν Ξενοφῶντα [5]. θέαμα δε καὶ μνημόνευμα καὶ διανόημα τῶν ὄντων οὐδέν ἐστιν, ὃ τοσαύτην φέρει χάριν, ὅσην πράξεων ἰδίων ἐν ἀρχαῖς καὶ πολιτείαις, ὥσπερ ἐν τόποις λαμπροῖς καὶ δημοσίοις, ἀναθεώρησις. οὐ μὴν ἀλλὰ καὶ χάρις εὐμενὴς ἡ συνομαρτοῦσα [6] τοῖς ἔργοις, καὶ συναμιλλώμενος ἔπαινος, εὐνοίας δικαίας ἡγεμὼν [7], οἷόν τι

1 R. mavult κνήσεις.

2 Ald. Baf. οἷον. Hinc Xyl. legendum monet ὧν aut ὧν οἷον. E Turn. V. Bong. notatur ὧν.

3 Locum hunc illustrat e Clemente Alex. Theodorus Canterus Var. Lect 1, 25. R.

4 Ald. & Baf. ἔγραφεν.

5 Socrat. memorab. L. II. c. 1.

6 Ald. Baf. ἡ μαρτυροῦσα.

7 W. fufp. γνωμών.

τι φῶς καὶ γάνωμα τῷ χαίροντι τῆς ἀρετῆς προστίθησι [1]. καὶ δεῖ μὴ περιορᾷν, ὥσπερ ἀθλητικὸν στέφανον, ἐν γήρᾳ ξηρὰν γενομένην τὴν δόξαν, ἀλλὰ καινόν ἀεί τι καὶ πρόσφατον ἐπιφέροντα, τὴν τῶν παλαιῶν χάριν ἐγείρειν, καὶ ποιεῖν ἀμείνω καὶ μόνιμον. ὥσπερ γὰρ [2] οἱ τεχνῖται, οἷς ἐπέκειτο φροντίζειν σῶον εἶναι τὸ Δηλιακὸν πλοῖον [3], ἀντὶ τῶν πονέντων ξύλων ἐμβάλλοντες ἄλλα καὶ συμπηγνύντες, ἀΐδιον ἐκ τῶν τότε χρόνων καὶ ἄφθαρτον ἐδόκεν διαφυλάττειν· ὅτως ἐςὶ καὶ δόξης καὶ φλογὸς ἐ χαλεπὴ σωτηρία καὶ τήρησις, ἀλλὰ μικρῶν ὑπεκκαυμάτων δεομένη, καταςβεσθὲν δὲ καὶ καταψυχθὲν ἐδέτερον ἄν τις ἀπραγμόνως πάλιν ἐξάψειεν. ὁ δὲ Λάμπις, ὁ ναύκληρος [4], ἐρωτηθεὶς, πῶς ἐκτήσατο τὸν πλῦτον· Οὐ χαλεπῶς (ἔφη) τὸν μέγαν, τὸν δὲ βραχὺν ἐπιπόνως καὶ βραδέως· ὅτω τῆς πολιτικῆς δόξης καὶ δυνάμεως ἐν ἀρχῇ τυχεῖν ἐ ῥάδιόν ἐςι· τὸ δὲ συναυξῆσαι καὶ διαφυλάξαι [5] μεγάλην ἀπὸ τῶν τυχόντων γενομένην, ἕτοιμον [6]. ὅτε γὰρ φίλος ὅταν γένηται, πολλὰς λειτεργίας ἐπιζητεῖ καὶ μεγάλας, ἵνα μένῃ φίλος, μικροῖς δὲ σημείοις τὸ ἐνδελεχὲς ἀεὶ διαφυλάττει τὴν εὔνοιαν· ἥ τε δήμε φιλία καὶ πίςις ἐκ ἀεὶ δεομένη χορηγῦντος, ἐδὲ προδικῦντος [7], ἐδ' ἄρχοντος, αὐτῇ τῇ προθυμίᾳ

1 Ita R. legendum monuit pro vulg. προτίθησι, & dedi, Xyl. idem vertendo exprimente, & W. probante.

2 Xyl. judice vel γὰρ abundat, vel deeſt aliquid.

3 Vid. Theſei vita c. 23. Vol. I. opp. Plut.

4 Dedi ſic, R. jubente, pro vulg. ὁ ναυκληρικός. Infra c. IX. idem ſignificatur, Demoſtheni aequalis, & e re navicularia factus Graecorum ditiſſimus.

5 Ald. Baſ. φυλάξαι.

6 W. monente, tranſponendo legendum μεγάλην γενομένην, ἀπὸ τῶν τυχόντων ἕτοιμον.

7 Vulgo δεχομένη χορηγ. ἐδὲ προσδικῦντος. R. leg. monuit aut

θυμίᾳ συνέχεται, καὶ τῷ μὴ προαπολείποντι μηδὲ [1] ἀπαγορεύοντι τῆς ἐπιμελείας καὶ φροντίδος. ὐδὲ γὰρ αἱ στρατεῖαι παρατάξεις ἀεὶ καὶ μάχας καὶ πολιορκίας ἔχουσιν, ἀλλὰ καὶ θυσίας ἔστιν ὅτε καὶ συνουσίας διὰ μέσου, καὶ σχολὴν ἄφθονον ἐν παιδιαῖς καὶ φλυαρίαις δέχονται· πόθεν γε δὴ τὴν πολιτείαν φοβητέον, ὡς ἀπαραμύθητον καὶ πολύπονον καὶ βαρεῖαν, ὅπου καὶ θέατρα καὶ πομπαὶ καὶ νεμήσεις καὶ χοροὶ καὶ μοῦσα καὶ ἀγλαΐα, καὶ θεοῦ τινος ἀεὶ τιμὴ τὰς ὀφρῦς λύουσα [2] παντὸς ἀρχείου καὶ συνεδρίου, πολλαπλάσιον τὸ ἐπιτερπὲς καὶ κεχαρισμένον ἀποδίδωσιν;

VII. Ὃ τοίνυν μέγιστον κακὸν ἔχουσιν αἱ πολιτεῖαι, τὸν φθόνον, ἥκιστα διερείδεται πρὸς τὸ γῆρας· κύνες γὰρ καὶ [3] βαΰζουσιν ὃν ἂν μὴ γινώσκωσι, καθ' Ἡράκλειτον· καὶ πρὸς τὸ [4] ἀρχόμενον, ὥσπερ ἐν θύραις τοῦ βήματος, μάχεται καὶ πάροδον οὐ δίδωσι· τὴν δὲ σύντροφον καὶ συνήθη δόξαν οὐκ ἀγρίως οὐδὲ χαλεπῶς, ἀλλὰ πρᾴως ἀνέχεται. διὸ τὸν φθόνον ἔνιοι τῷ καπνῷ παρεικάζουσι· πολὺς γὰρ ἐν τοῖς ἀρχομένοις διὰ τὸ [5] φλέγεσθαι προεκπίπτων, ὅταν ἐκλάμψωσιν, ἀφανίζεται. καὶ

aut δεομένη aut οὐκ ἀεὶ χώραν δεχομένη, & προδικοῦντος, i. e. ὑπερδικοῦντος, *defensoris*. Utrumque dedi cum W. adsentientibus in priori Jannot. Anon. Mez. in posteriori Jannot. Anon. Turn. V. Bong. In Ald. Bas. Xyl. B. E. legitur προσδοκῶντος & προσδοκοῦντος.

1 Post μηδὲ repetunt τῷ Turn. V. Bong.

2 cf. Vol. I. 128. ubi eadem ex Pindaro laudantur. Schneid. fragm. Pind. p. 66. 67.

3 R. καὶ delendum censuit, aut cum πρὸς mutandum, ut sit κύνες γὰρ βαΰζουσιν, aut κύνες γὰρ προσβαΰζουσιν.

4 Dedi sic cum W. e Turn. V. Bong. accedentibus Jannot. Anon. Jun. pro vulg. καί πως τό.

5 R. notat, si de lignis praecessisset, legendum se suspicaturum fuisse διὰ τὸ οὔπω vel βραδέως aut σχολαίως φλέγεσθαι, aut ἀρχομένοις ἔτι φλέγεσθαι: quia autem de hominibus sermo sit, si bene habeat, sic accipi debere: *quoniam imperio parentes invidia imperantium uruntur.*

καὶ ταῖς μὲν ἄλλαις ὑπεροχαῖς προσμάχονται καὶ διαμφισβητοῦσιν ἀρετῆς καὶ γένους καὶ φιλοτιμίας, ὡς ἀφαιροῦντες αὐτῶν, ὅσον ἄλλοις ὑφίενται, τὸ δ' ἀπὸ τοῦ χρόνου πρωτεῖον, ὃ καλεῖται κυρίως πρεσβεῖον, ἀζηλοτύπητόν ἐστι καὶ παραχωρούμενον· οὐδεμιᾷ γὰρ οὕτω τιμῇ συμβέβηκε τὸν τιμῶντα μᾶλλον, ἢ τὸν τιμώμενον, κοσμεῖν, ὡς τῇ [1] τῶν γερόντων. ἔτι τὴν μὲν ἀπὸ τοῦ πλούτου δύναμιν, ἢ λόγου δεινότητος, ἢ σοφίας, οὐ πάντες αὐτοῖς γενήσεσθαι προσδοκῶσιν· ἐφ' ἣν δὲ προάγει τὸ γῆρας αἰδῶ καὶ δόξαν, οὐδεὶς ἀπελπίζει τῶν πολιτευομένων. οὐδὲν οὖν διαφέρει κυβερνήτου πρὸς ἐναντίον κῦμα καὶ πνεῦμα πλεύσαντος ἐπισφαλῶς, εὐδίας δὲ καὶ εὐαερίας γενομένης ὁρμίσασθαι ζητοῦντος, ὁ τῷ φθόνῳ διαναυμαχήσας πολὺν χρόνον, εἶτα παυσαμένου καὶ στορεσθέντος, ἀνακρουόμενος ἐκ τῆς πολιτείας, καὶ προϊέμενος ἅμα ταῖς πράξεσι τὰς κοινωνίας καὶ τὰς ἑταιρείας. ὅσῳ γὰρ χρόνος [2] γέγονε πλείων, καὶ φίλους πλείονας καὶ συναγωνιστὰς πεποίηκεν, οὓς οὔτε συνεξάγειν ἑαυτῷ πάντας ἐνδέχεται, καθάπερ διδασκάλῳ χορὸν, οὔτ' ἐγκαταλιπεῖν δίκαιον· ἀλλ' ὥσπερ τὰ παλαιὰ δένδρα τὴν μακρὰν πολιτείαν οὐ ῥᾴδιόν ἐστιν ἀνασπάσαι, πολύρριζον οὖσαν, καὶ πράγμασιν ἐμπεπλεγμένην, ἃ πλείονας παρέχει ταραχὰς καὶ σπαραγμοὺς ἀπερχομένοις, ἢ μένουσιν. εἰ δέ τι καὶ περίεστι φθόνου λείψανον ἢ φιλονεικίας πρὸς τοὺς γέροντας ἐκ τῶν πολιτικῶν ἀγώνων, κατασβεστέον τοῦτο τῇ δυνάμει μᾶλλον, ἢ δοτέον τὰ νῶτα, γυμνοὺς καὶ ἀνόπλους ἀπιόντας· οὐ γὰρ οὕτως ἀγωνιζομένοις φθονοῦντες, ὡς ἀπειπαμένοις καταφρονήσαντες, ἐπιτίθενται.

VIII. Μαρτυρεῖ δὲ καὶ τὸ λεχθὲν ὑπ' Ἐπαμεινώνδα τοῦ μεγάλου πρὸς τοὺς Θηβαίους, ὅτε χειμῶνος ὄντος οἱ Ἀρκάδες παρεκάλουν αὐτοὺς ἐν ταῖς οἰκίαις διαιτᾶσθαι παρελθόντας εἰς τὴν πόλιν· οὐ γὰρ εἴασεν, ἀλλὰ·

Νῦν

1 Turn. V. Bong. ὡς τὴν τ. γ.
2 Ald. Bas. χρόνῳ.

Νῦν μὲν (ἔφη) θαυμάζουσιν ὑμᾶς καὶ θεῶνται πρὸς τὰ ὅπλα γυμναζομένους καὶ παλαίοντας· ἂν δὲ πρὸς τῷ πυρὶ καθημένους ὁρῶσι τὸν κύαμον κόπτοντας, οὐδὲν αὐτῶν ἡγήσονται διαφέρειν. οὕτω δὴ σεμνόν ἐστι θέαμα πρεσβύτης λέγων τι καὶ πράττων καὶ τιμώμενος· ὁ δ' ἐν κλίνῃ διημερεύων ἢ καθήμενος ἐν γωνίᾳ στοᾶς φλυαρῶν καὶ ἀπομυττόμενος, εὐκαταφρόνητος. τοῦτο δ' ἀμέλει καὶ Ὅμηρος διδάσκει τοὺς ὀρθῶς ἀκούοντας· ὁ μὲν γὰρ Νέστωρ στρατευόμενος ἐν Τροίᾳ, σεμνὸς ἦν καὶ πολυτίμητος· ὁ δὲ Πηλεὺς καὶ ὁ Λαέρτης οἰκουροῦντες ἀπερρίφησαν καὶ κατεφρονήθησαν. οὐδὲ γὰρ ἡ τοῦ φρονεῖν ἕξις ὁμοίως παραμένει τοῖς μεθεῖσιν αὐτοὺς [1], ἀλλ' ὑπ' ἀργίας ἐξανιεμένη καὶ ἀναλυομένη κατὰ μικρὸν, ἀεί τινα ποθεῖ φροντίδος [2] μελέτην, τὸ λογιστικὸν καὶ πρακτικὸν ἐγειρούσης καὶ διακαθαιρούσης.

Λάμπει γὰρ ἐν χρείαισιν, ὥσπερ εὐπρεπὴς
Χαλκὸς —

οὐ γὰρ τόσον [3] σώματος ἀσθένεια κακὸν πρόσεστι ταῖς πολιτείαις τῶν παρ' ἡλικίαν ἐπὶ τὸ βῆμα καὶ τὸ στρατήγιον βαδιζόντων, ὅσον ἔχουσιν ἀγαθὸν τὴν εὐλάβειαν καὶ τὴν φρόνησιν, καὶ τὸ μὴ φαινόμενον, ἀλλὰ τὰ μὲν ἐσφαλμένα,

1 R. susp. αὐτήν.

2 R. mavult διὰ φροντίδος.

3 absunt οὐ γὰρ τόσον ab Ald, Bas. &, ut e W. nota colligere licet, a Xyl. B. E. Hinc Xyl. locum mutilum esse monuit, ita forte integrandum: χαλκός. τῇ δὲ τοῦ σώματος ἀσθενείᾳ οὐ τοσοῦτον κακόν. Adduntur ista vocabula in Pol. Leonic. Schott. Jannot. Anon. unde Steph. habet, sed inepto loco posuit, ita ut vulgo sic esset χαλκός, σώματος ἀσθένεια. οὐ γὰρ τόσον κ. πρ. Hinc post χαλκός R. aliquid excidisse susp. καὶ οὐδὲν ἐμποδίζει ἡ τοῦ σώματος ἀσθένεια, aut locum sic restituendum: χαλκός, φρονήσει ἐπιῤῥωσμένη ἡ τοῦ σώματος ἀσθένεια — splendet, ut aes, in necessitudinibus debilitas corporis a sapientia confirmata. W. ordinem vocabulorum restituit, Mez. monente. In ipsa tantum nota de vocabulis σώματος ἀσθένεια ea loquitur, quae non nisi de vocabulis οὐ γὰρ τόσον valent.

μένα, τὰ δὲ ὑπὸ δόξης κενῆς [1] προσπίπτειν πρὸς τὰ κοινὰ καὶ συνεφέλκεσθαι τὸν ὄχλον, ὥσπερ θάλατταν ὑπὸ πνευμάτων ἐκταραττόμενον, ἀλλὰ πρᾴως κεχρῆσθαι καὶ μετρίως τοῖς ἐντυγχάνουσιν. ὅθεν αἱ πόλεις, ὅταν πταίσωσιν ἢ φοβηθῶσι, πρεσβυτέρων ποθοῦσιν ἀρχὴν ἀνθρώπων· καὶ πολλάκις ἐξ ἀγροῦ κατάγουσαι γέροντα, μὴ δεόμενον, μηδὲ βουλόμενον, ἠνάγκασαν, ὥσπερ οἰάκων ἐφαψάμενον, εἰς ἀσφαλὲς καταστῆσαι τὰ πράγματα, παρωσάμεναί τε στρατηγοὺς [2] καὶ δημαγωγοὺς βοᾶν μέγα καὶ λέγειν ἀπνευστὶ, καὶ νὴ Δία τοῖς πολεμίοις διαβάντας εὖ [3] μάχεσθαι δυναμένους· οἷον οἱ ῥήτορες Ἀθήνησι Τιμοθέῳ καὶ Ἰφικράτει Χάρητα τὸν Θεοχάρους ἐπαποδύοντες ἀκμάζοντα [4] τῷ σώματι καὶ ῥωμαλέον, ἠξίουν τοιοῦτον εἶναι τὸν τῶν [5] Ἀθηναίων στρατηγόν. ὁ δὲ Τιμόθεος· Οὐ μὰ τοὺς θεοὺς, (εἶπεν) ἀλλὰ τοιοῦτον μὲν εἶναι [6] τὸν μέλλοντα τῷ στρατηγῷ τὰ στρώματα κομίζειν· τὸν δὲ στρατηγὸν ἅμα πρόσω καὶ ὀπίσω τῶν πραγμάτων ὁρῶντα, καὶ μηδενὶ πάθει τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς ἐπιταραττόμενον. ὁ γὰρ Σοφοκλῆς, ἄσμενος, ἔφη,

1 Xyl. monet, ἐσφαλμένα non cohaerere. R. ita legendum & distinguendum censuit: καὶ τὸ μὴ, φαινόμενον ἅμα, τὰ μὲν ἐσφαλμένον, τὰ δὲ ὑπὸ δόξης κενῆς, προσπίπτειν — *neque, simul atque prodieris in lucem, partim errore, partim vana gloria ductum, praecipitem ferri ad rem publicam gerendam.* W. ita vult corrigi: καὶ τὸ μὴ, τὰ μὲν φλεγόμενον, τὰ δὲ σφαλλόμενον, ὑπὸ δόξης κενῆς —.

2 R. mavult παρωσάμεναι στρατηγοὺς τε καὶ δημ.

3 R. monente, εὖ cohaeret cum διαβάντας, non cum μάχεσθαι, *bene docteque diductis & collocatis cruribus*, ut corpus totum tuto firmoque in statu haereat, agileque simul sit ad ictus excipiendos pariter atque inferendos.

4 Meliorem hanc esse vulgatam lectionem, quam eam, quae apud Stobaeum exstet, monet R.

5 abest τῶν ab Ald. & Bas.

6 R. mavult τοιοῦτον μὲν δεῖ εἶναι.

ἔφη, τὰ ἀφροδίσια γεγηρακὼς ἀποπεφευγέναι, καθάπερ ἄγριον καὶ λυττῶντα δεσπότην· ἐν δὲ ταῖς πολιτείαις ἐχ ἕνα δεῖ δεσπότην, ἔρωτα παίδων ἢ γυναικῶν, ἀποφεύγειν, ἀλλὰ πολλὲς [1] μανικωτέρες τέτε, φιλονεικίαν, φιλοδοξίαν, τὴν τὲ πρῶτον εἶναι καὶ μέγισον [2] ἐπιθυμίαν, γονιμώτατον φθόνε νόσημα καὶ ζηλοτυπίας καὶ διχοσασίας· ὧν τὰ μὲν ἀνίησι καὶ παραμβλύνει, τὰ δὲ ὅλως ἀποσβέννυσι καὶ καταψύχει τὸ γῆρας, ἐ τοσἕτον τῆς πρακτικῆς ὁρμῆς παραιρέμενον, ὅσον τῶν ἀκρατῶν καὶ διαπύρων ἀπερύκει [3] παθῶν, ὥςε νήφοντα καὶ καθεςηκότα τὸν λογισμὸν ἐπάγειν ταῖς φροντίσιν.

IX. Οὐ μὴν ἀλλ' ἔςω καὶ δοκείτω διατρεπτικὸς εἶναι λόγος, πρὸς τὸν ἀρχόμενον ἐν πολιαῖς νεανιεύεσθαι λεγόμενος, καὶ καθαπτόμενος ἐκ μακρᾶς οἰκερίας, ὥσπερ νοσηλείας, ἐξανιςαμένε καὶ κινεμένε γέροντος ἐπὶ ςρατηγίαν ἢ πραγματείαν [4],

Μέν', ὦ ταλαίπωρ', ἀτρέμας σοῖς ἐν δεμνίοις·

ὁ δὲ τὸν ἐμβεβιωκότα πολιτικαῖς πράξεσι καὶ διηγωνισμένον ἐκ ἐῶν ἐπὶ τὴν δᾶδα καὶ τὴν κορωνίδα τὲ βίε προελθεῖν, ἀλλ' ἀνακαλέμενος, καὶ κελεύων ὥσπερ ἐξ ὁδὲ μακρᾶς μεταβαλέσθαι, παντάπασιν ἀγνώμων καὶ μηδὲν ἐκείνῳ προσεοικώς ἐςιν. ὥσπερ γὰρ ὁ γαμεῖν [5] παρασκευαζόμενον γέροντα ἐςεφανωμένον καὶ μυριζόμενον ἀποτρέπων, καὶ λέγων τὰ πρὸς τὸν Φιλοκτήτην·

Τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
Δέξαιτ' ἄν; εὖ γ' ἐν ὡς γαμεῖν ἔχεις, τάλας;

ἐκ

1 R. susp. πολλὰς καὶ πολλῷ μανικωτέρας.

2 R. susp. καὶ μέγισον δύνασθαι ἐπιθ.

3 W. susp. ἀπαρύτει.

4 Sic cum W restitui, R. jubente ex Ald. Bas. Xyl. B. E. Mez. pro vulg. γραμματείαν, quod non ineptum quidem, nulla tamen auctoritate dedit Steph. Versus, qui sequitur, est ex Oresta Euripidis v. 258., saepius a Plut. laudatus.

5 R. mavult ὥσπερ γὰρ ὁ μὲν γαμεῖν.

οὐκ ἄτοπός ἐστι· καὶ γὰρ αὐτοὶ πολλὰ τοιαῦτα παίζουσιν εἰς ἑαυτούς·

Γαμῶ γέρων, εὖ οἶδα, καὶ τοῖς γείτοσιν·

ὁ δὲ τὸν πάλαι συνοικοῦντα καὶ συμβιοῦντα πολὺν χρόνον ἀμέμπτως, οἰόμενος δεῖν ἀφεῖναι διὰ τὸ γῆρας τὴν γυναῖκα, καὶ ζῆν καθ' ἑαυτὸν, ἢ παλλακίδιον ἀντὶ τῆς γαμετῆς ἐπισπάσασθαι, σκαιότητος ὑπερβολὴν οὐκ ἀπολέλοιπεν· οὕτως ἔχει [1] τινὰ λόγον τὸ προσιόντα δήμῳ πρεσβύτην, καὶ Χλίδωνα, τὸν γεωργὸν, ἢ Λάμπιν [2], τὸν ναύκληρον, ἤ τινα τῶν ἐκ τοῦ κήπου Φιλοσόφων [3], νουθετῆσαι καὶ κατασχεῖν ἐπὶ τῆς συνήθους ἀπραγμοσύνης· ὁ δὲ Φωκίωνος, ἢ Κάτωνος, ἢ Περικλέους ἐπιλαβόμενος, καὶ λέγων· Ὦ ξένε Ἀθηναῖε, ἢ Ῥωμαῖε, ἀζαλέῳ γήρᾳ κατανθιδῶν κήδῃ [4] γραψάμενος ἀπόλειψιν τῇ πολιτείᾳ [5], καὶ τὰς περὶ τὸ βῆμα καὶ τὸ στρατήγιον ἀφεὶς διατριβὰς καὶ τὰς φροντίδας, εἰς ἀγρὸν ἐπείγου [6], σὺν ἀμφιπόλῳ [7] τῇ γεωργίᾳ συνεσόμενος, ἢ πρὸς οἰκονομίᾳ τινὶ καὶ λογισμοῖς δια-



1 R. mavult οὕτω καὶ ἔχει.

2 Dedi fic, W. probante, ut fit idem, de quo fupra mentio eft facta c VI. Vulgo Λάμπωνα.

3 Ex horto feu hortenfes philofophi faepius dicuntur a Plut. Epicurei.

4 Pro κήδῃ Xyl. ἤδῃ legendum cenfuit, dubius, quid pro κατανθιδῶν reponendum fit. R. fufp. καταφθίνων ἤδη; W. quaerit, an ἀκανθιδῶν κήδῃ, addens tamen, neutrum fatis placere. Nec meum, κακοπαθῆ σε ἰδὼν ἤδη, *male te affectum jam cernens*, fufficiet.

5 Dubium effe nequit, quin haec fit vera lectio, e Jun. Mez. & R. mente recepta, & W. probata; pro vulgata γραψάμενος ἀπολείψειν τὴν πολιτείαν. Cf cap. X. fin.

6 Sic cum W. jubente R. repofui ex Ald. Baf. accedentibus Xyl. B. E. Mez. pro vulg. ἐπείγῃ, quod Steph. a Jannot. habuit.

7 In hac voce alludi ad Odyfs. I, 190. Xyl. monet.

διαθησόμενος τὸν λοιπὸν χρόνον, ἄδικα πείθει καὶ ἀχάριςα πράττειν [1] τὸν πολιτικόν.

X. Τί οὖν; (Φήσαι τις ἂν) οὐκ ἀκούομεν ἐν κωμῳδίᾳ ςρατιώτου λέγοντος·

Λευκή με θρὶξ ἀπόμισθον ἐντεῦθεν ποιεῖ;

πάνυ μὲν οὖν, ὦ ἑταῖρε· τοὺς γὰρ Ἄρεος θεράποντας ἥβῃν πρέπει καὶ ἀκμάζειν, οἷα δὴ πόλεμον πολέμοιό τε μέρμερα ἔργα [2] διέποντας, ἐν οἷς τοῦ γέροντος κἂν τὸ κράνος ἀποκρύψῃ τὰς πολιὰς, ἀλλά γε λάθρῃ γυῖα [3] βαρύνεται, καὶ προαπολείπει τῆς προθυμίας ἡ δύναμις· τοὺς δὲ τοῦ Βουλαίου καὶ Ἀγοραίου καὶ Πολιέως Διὸς ὑπηρέτας, οὐ ποδῶν ἔργα καὶ χειρῶν ἀπαιτοῦμεν, ἀλλὰ βουλῆς καὶ προνοίας καὶ λόγου, μὴ ῥαχίαν ποιοῦντος [4] ἐν δήμῳ καὶ ψόφον, ἀλλὰ νοῦν ἔχοντος καὶ Φροντίδα πεπνυμένην καὶ ἀσφάλειαν· οἷς ἡ γελωμένη πολιὰ καὶ ῥυτὶς, ἐμπειρίας μάρτυς ἐπιφαίνεται, καὶ πειθοῦς συνεργὸν αὐτῷ καὶ δόξαν [5] ἤθους προστίθησι. πειθαρχικὸν γὰρ ἡ νεότης, ἡγεμονικὸν δὲ τὸ γῆρας, καὶ μάλιςα σώζεται πόλις,

Ἔνθα βουλαὶ γερόντων, καὶ νέων ἀνδρῶν ἀριςεύουσιν αἰχμαί·

καὶ τό·

Βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων
Νεςορέῃ παρὰ νηΐ [6].

θαυμαςῶς ἐπαινεῖται. διὸ τὴν μὲν ἐν Λακεδαίμονι παραζευχθεῖσαν ἀριςοκρατίαν τοῖς βασιλεῦσιν ὁ Πύθιος Πρεσ-

1 Ald. Baf. πράττει; Turn. V. Bong. πράττων.

2 Iliad. VIII, 453.

3 Iliad. XIX, 165.

4 Xyl. iudice, tralatio non nimis verecunda. Infra quoque c. XIII. init. junguntur ῥαχία & ψόφος.

5 R. fufp. καὶ πειθ. συν. αὐτῇ καλοῦ (vel χρηςοῦ) δόξαν ἤθους, ut αὐτῇ redeat ad πολιά. W. delendum cenfet καὶ ante δόξαν cum Mez.

6 Iliad. II, 53. fq. Paulo ante cf. Schneid. fragm. Pindar. p. 67.

Πρεσβυγενέας, ὁ δὲ Λυκῆργος ἄντικρυς Γερεσίαν [1] ὠνόμασεν· ἡ δὲ Ῥωμαίων σύγκλητος ἄχρι νῦν γερεσία καλεῖται. καὶ καθάπερ ὁ νόμος τὸ διάδημα καὶ τὸν ςέφανον, ὅτω τὴν πολιὰν ἡ φύσις ἔντιμον ἡγεμονικῆ σύμβολον ἀξιώματος ἐπιτίθησι· καὶ τὸ γέρας, οἶμαι, καὶ τὸ γεραίρειν ὄνομα, σεμνὸν ἀπὸ τῶν γερόντων γενόμενον διαμένει, ὀχ ὅτι θερμολετῦσι καὶ καθεύδεσι μαλακώτερον, ἀλλ' ὡς βασιλικὴν ἐχόντων τάξιν ἐν ταῖς πόλεσι κατὰ τὴν φρόνησιν, ἧς, καθάπερ ὀψικάρπε φυτῦ, τὸ οἰκεῖον ἀγαθὸν καὶ τέλειον ἐν γήρᾳ μόλις ἡ φύσις ἀποδίδωσι. τὸν γῦν βασιλέα τῶν βασιλέων εὐχόμενον τοῖς θεοῖς·

Τοιῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν [2],

οἷος ἦν ὁ Νέςωρ, ὀδεὶς ἐμέμψατο τῶν ἀρηΐων καὶ μένεα πνεόντων Ἀχαιῶν, ἀλλὰ συνεχώρεν ἅπαντες, ὀκ ἐν πολιτείᾳ μόνον, ἀλλὰ καὶ ἐν πολέμῳ μεγάλην ἔχειν ῥοπὴν τὸ γῆρας.

Σοφὸν [3] γὰρ ἓν βόλευμα τὰς πολλὰς χέρας
Νικᾷ,

καὶ μία γνώμη λόγον ἔχεσα καὶ πειθῶ, τὰ κάλλιςα καὶ μέγιςα διαπράττεται τῶν κοινῶν.

XI. Ἀλλὰ μὴν ἥ τε [4] βασιλεία, τελειοτάτη πασῶν ὄσα καὶ μεγίςη τῶν πολιτειῶν, πλείςας φροντίδας ἔχει καὶ πόνους καὶ ἀσχολίας· τὸν γῦν Σέλευκον ἑκάςοτε λέγειν ἔφασαν, εἰ γνοῖεν οἱ πολλοὶ, τὸ γράφειν μόνον ἐπιςολὰς τοσαύτας καὶ ἀναγινώσκειν ὡς [5] ἐργῶδές ἐςιν,



1 Ald. γέροντα; Baſ. γέροντας.

2 Iliad. II, 372. Agamemnon rex regum dicitur, quod ſub ſe multos reges in ea expeditione habuit.

3 Turn. V. Bong. σοφῶν.

4 R. mavult εἴ γε, ut huic ſi reſpondeat infra ſequens ὥρα τοίνυν.

5 Dedi ὡς e Turn. V. Bong. pro vulg. ὅσον. Idem dare voluiſſe W. adſentientibus E. B. Mez. teſtatur ſubjuncta nota. Sed operae non paruerunt.

ἐστιν, ἐῤῥιμμένον οὐκ ἂν ἀνελέσθαι [1] διάδημα· τὸν δὲ Φίλιππον, ἐν καλῷ χωρίῳ μέλλοντα καταστρατοπεδεύειν, ὡς ἤκουσεν, ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις· Ὦ Ἡράκλεις, εἰπεῖν, [2] οἷος ἡμῶν ὁ βίος, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν. ὥρα τοίνυν καὶ βασιλεῖ παραινεῖν πρεσβύτῃ γενομένῳ, τὸ μὲν διάδημα καταθέσθαι καὶ τὴν πορφύραν, ἱμάτιον δ' ἀναλαβόντα καὶ καμπύλην ἐν ἀγρῷ διατρίβειν, μὴ δοκῇ περίεργα καὶ ἄωρα πράττειν ἐν πολιαῖς βασιλεύων. εἰ δ' οὐκ ἄξιον ταῦτα λέγειν περὶ Ἀγησιλάου, καὶ Νουμᾶ, καὶ Δαρείου, μηδὲ τῆς ἐξ Ἀρείου πάγου βουλῆς Σόλωνα, μηδὲ τῆς συγκλήτου [3] Κάτωνα διὰ τὸ γῆρας ἐξάγωμεν, οὐκοῦν μηδὲ Περικλεῖ συμβουλεύωμεν ἐγκαταλιπεῖν τὴν δημοκρατίαν· οὐδὲ γὰρ ἄλλως λόγον ἔχει, νέον ὄντα κατασκιρτῆσαι τοῦ βήματος, εἶτ' ἐκχέαντα τὰς μανικὰς ἐκείνας φιλοτιμίας καὶ ὁρμὰς εἰς τὸ δημόσιον, ὅταν ἡ τὸ φρονεῖν ἐπιφέρουσα δι' ἐμπειρίαν ἡλικία παραγένηται, προέσθαι καὶ καταλιπεῖν, ὥσπερ γυναῖκα, τὴν πολιτείαν καταχρησάμενον.

XII. Ἡ μὲν γὰρ Αἰσώπειος ἀλώπηξ τὸν ἐχῖνον οὐκ εἴα τοὺς κρότωνας αὐτῆς ἀφαιρεῖν βουλόμενον· ἂν γὰρ τούτους (ἔφη) μεστοὺς ἀπαλλάξῃς, ἕτεροι προσίασι πεινῶντες· τὴν δὲ πολιτείαν ἀεὶ τοὺς γέροντας ἀποβάλλουσαν, ἀναπίμπλασθαι νέων ἀνάγκη διψώντων δόξης καὶ δυνάμεως, νοῦν δὲ πολιτικὸν οὐκ ἐχόντων· πόθεν γὰρ, εἰ μηδενὸς ἔσονται μαθηταὶ μηδὲ θεαταὶ πολιτευομένου γέροντος; ἢ πλοίων μὲν ἄρχοντας οὐ ποιεῖ γράμματα κυβερνητικὰ, μὴ πολλάκις γενομένους ἐν πρύμνῃ θεατὰς τῶν πρὸς κῦμα καὶ πνεῦμα καὶ νύκτα χειμέριον [4] ἀγώνων,

Ὅτε

1 Dedi hoc e R. & W. mente pro vulg. ἑλέσθαι.

2 Dedi sic, R. & W. jubentibus, pro vulg. εἶπεν. Praecessit τὸν Φίλιππον, quod ab ἔφασαν pendet.

3 R susp. τῆς ἐν Ῥώμῃ συγκλήτου.

4 Dedi sic e R. mente pro vulg. χειμερίων.

"Ὅτε Τυνδαριδᾶν ἀδελφῶν ἅλιον ναύταν πόθος βάλλει· πόλιν δὲ μεταχειρίσασθαι, καὶ πεῖσαι δῆμον ἢ βουλὴν δύναιτ' ἂν ὀρθῶς νέος ἀναγνοὺς βίβλον, ἢ σχολὴν περὶ πολιτείας ἐν Λυκείῳ [1] γραψάμενος, ἂν μὴ παρ' ἡνίαν καὶ παρ' οἴακα πολλάκις στὰς, δημαγωγῶν καὶ στρατηγῶν ἀγωνιζομένων ἐμπειρίαις ἅμα καὶ τύχαις συναποκλίνων ἐπ' ἀμφότερα, μετὰ κινδύνων καὶ πραγμάτων λάβῃ τὴν μάθησιν; οὐκ ἔστιν εἰπεῖν. ἀλλ' εἰ διὰ μηδὲν ἄλλο τῷ γέροντι, παιδείας ἕνεκα τῶν νέων καὶ διδασκαλίας πολιτευτέον ἐστίν. ὡς γὰρ οἱ γράμματα [2] καὶ μουσικὴν διδάσκοντες, αὐτοὶ προανακρέονται καὶ προαναγινώσκουσιν, ὑφηγούμενοι τοῖς μανθάνουσιν· οὕτως ὁ πολιτικὸς, οὐ λέγων μόνον οὐδὲ ὑπαγορεύων ἔξωθεν, ἀλλὰ πράττων τὰ κοινὰ καὶ διοικῶν, ἐπευθύνει [3] τὸν νέον, ἔργοις ἅμα καὶ λόγοις πλαττόμενον ἐμψύχως [4] καὶ κατασχηματιζόμενον. ὁ γὰρ τοῦτον ἀσκηθεὶς τὸν τρόπον, οὐκ ἐν παλαίστραις καὶ κηρώμασιν ἀκινδύνως [5] εὐρύθμων σοφιστῶν, ἀλλ' ὡς ἀληθῶς ἐν Ὀλυμπιακοῖς καὶ Πυθικοῖς ἀγῶσιν,

Ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχει,

κατὰ Σιμωνίδην· ὡς Ἀριστείδης Κλεισθένει, καὶ Κίμων Ἀριστείδῃ, καὶ Φωκίων Χαβρίᾳ, καὶ Κάτων Μαξίμῳ Φαβίῳ, καὶ Σύλλᾳ Πομπήϊος, καὶ Φιλοποίμενι Πολύβιος· νέοι γὰρ οὗτοι πρεσβυτέροις ἐπιβάλλοντες, εἶτα οἷον παραβλαστάνοντες καὶ συνεξανιστάμενοι ταῖς ἐκείνων πολιτείαις καὶ πράξεσιν, ἐμπειρίαν καὶ συνήθειαν ἐκτῶντο πρὸς τὰ κοινὰ μετὰ δόξης καὶ δυνάμεως.



1 i. e. duce philoſopho Ariſtotelico.

2 Locum hunc reddidit Stobaeus p. 586. R.

3 R. mavult ἀπευθύνει.

4 Rectius, W. judice, cum Mez. legas ἐμψύχοις.

5 Iterum rectius, W. judice, cum Mez. legas ἀκινδύνοις.

XIII. Ὁ μὲν οὖν Ἀκαδημαϊκὸς Αἰσχίνης [1], σοφιστῶν τινῶν λεγόντων, ὅτι προσποιεῖται γεγονέναι Καρνεάδου, μὴ γεγονὼς μαθητής· Ἀλλὰ τότε γε (εἶπεν) ἐγὼ Καρνεάδου διήκουον, ὅτε τὴν ῥαχίαν καὶ τὸν ψόφον ἀφεικὼς ὁ λόγος αὐτοῦ διὰ τὸ γῆρας, εἰς τὸ χρήσιμον συνῆκτο καὶ κοινωνικόν. τῆς δὲ πρεσβυτικῆς [2] πολιτείας οὐ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ ταῖς πράξεσιν, ἀπηλλαγμένης πανηγυρισμοῦ καὶ δοξοκοπίας· ὥσπερ τὴν ἶβιν [3] λέγουσιν, ὅταν παλαιὰ γενομένη, τὸ βρομῶδες ἀποπνεύσῃ καὶ θολερὸν, εὐωδέστερον τὸ ἀρωματικὸν ἴσχειν· οὕτως οὐδέν ἐστι δόγμα γεροντικὸν οὐδὲ βούλευμα τεταραγμένον, ἀλλ' ἐμβριθῆ πάντα καὶ καθεστῶτα. διὸ καὶ τῶν νέων ἕνεκα δεῖ (καθάπερ εἴρηται) πολιτεύεσθαι τὸν πρεσβύτην, ἵνα, ὃν τρόπον φησὶ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι κολαζόμενον, οὕτως εὐλάβεια γεροντική, κεραννυμένη πρὸς ζέουσαν ἐν δήμῳ νεότητα, βακχεύουσαν ὑπὸ δόξης καὶ φιλοτιμίας, ἀφαιρῇ τὸ μανικὸν καὶ λίαν ἄκρατον.

XIV. Ἄνευ δὲ τούτων ἁμαρτάνουσιν οἱ, οἷον τὸ [4] πλεῦσαι καὶ τὸ στρατεύσασθαι, τοιοῦτον ἡγούμενοι καὶ τὸ πολιτεύσασθαι πρὸς ἄλλο τι [5] πραττόμενον, εἶτα καταλῆγον ἐν τῷ τυχεῖν ἐκείνου· λειτουργία γὰρ οὐκ ἔστιν ἡ πολιτεία τὴν χρείαν ἔχουσα πέρας, ἀλλὰ βίος ἡμέρου καὶ πολιτικοῦ καὶ κοινωνικοῦ ζώου, καὶ πεφυκότος ὅσον χρὴ

1 Est Aeschines recentior, Neapolitanus, de quo vid. Menage ad Diog. Laert. 2. 64. R.

2 Turn. V. Bong. τῆς δὲ πραγματικῆς πολιτείας, vel τῆς δὲ πρεσβυτικὸν, vel πραγματικὸν πολιτείας.

3 Xyl. suspecta est haec vox. Legendum conjicit ἴβηριν, de qua planta Plinius XXV, c. 49. differit. Amplectitur id Kaltw.

4 Sic R. legendum censuit — *qui tale quid esse reipublicae administrationem existimant, quale est navigare.* Vulgo οἱ τὸ πλ. Jannot. Jun. exhibent οἷον absque οἱ. Inde idem W. corrigi voluit. Turn. V. Bong. οἱ τῷ πλεῦσαι καὶ τῷ στρ.

5 Sic e R. mente dedi pro v lg. πρὸς ἄλλα ob seq. ἐκείνου.

χρὴ [1] χρόνον πολιτικῶς καὶ φιλοκάλως καὶ φιλανθρώπως ζῆν. διὸ πολιτεύεσθαι καθῆκόν ἐστιν, ὃ πεπολιτεῦσθαι· καθάπερ ἀληθεύειν, οὐκ ἀληθεῦσαι· καὶ δικαιοπραγεῖν, οὐ δικαιοπραγῆσαι· καὶ φιλεῖν, οὐ φιλῆσαι τὴν πατρίδα καὶ τοὺς πολίτας. ἐπὶ ταῦτα γὰρ ἡ φύσις ἄγει, καὶ ταύτας ὑπαγορεύει τὰς φωνὰς τοῖς μὴ διεφθορόσι τελείως ὑπ' ἀργίας καὶ μαλακίας·

Πολλοῦ σε θνητοῖς [2] ἄξιον τίκτει πατήρ. καὶ· [3]
Μήτε παυσαίμεσθα [4] δρῶντες εὖ βροτούς.

XV. Οἱ δὲ τὰς ἀῤῥωςίας προβαλλόμενοι καὶ τὰς ἀδυναμίας, νόσου καὶ πηρώσεως μᾶλλον ἢ γήρως κατηγοροῦσι· καὶ γὰρ νέοι πολλοὶ νοσώδεις, καὶ ῥωμαλέοι γέροντες· ὥστε δεῖ μὴ τοὺς γέροντας, ἀλλὰ τοὺς ἀδυνάτους ἀποτρέπειν, μηδὲ τοὺς νέους παρακαλεῖν, ἀλλὰ τοὺς δυναμένους. καὶ γὰρ καὶ Ἀριδαῖος ἦν νέος, γέρων δ' Ἀντίγονος· ἀλλ' ὁ μὲν ἅπασαν ὀλίγου δεῖν κατεκλήσατο τὴν Ἀσίαν· ὁ δὲ, ὥσπερ ἐπὶ σκηνῆς δορυφόρημα κωφὸν, ἦν ὄνομα βασιλέως [5], καὶ πρόσωπον ὑπὸ τῶν ἀεὶ κρατούντων παροινούμενον. ὥσπερ οὖν ὁ Πρόδικον, τὸν σοφιστὴν, ἢ Φιλήταν, τὸν ποιητὴν, ἀξιῶν πολιτεύεσθαι, νέους μὲν, ἰσχνοὺς δὲ καὶ νοσώδεις, καὶ τὰ πολλὰ κλινοπετεῖς δι' ἀῤῥωςίαν ὄντας, ἀβέλτερός ἐστιν· οὕτως ὁ κωλύων ἄρχειν καὶ στρατηγεῖν τοιούτους γέροντας, οἷος ἦν Φωκίων, οἷος ἦν Μασανάσσης ὁ Λίβυς, οἷος



1 Ald. Bas. πεφυκὼς; Pro χρὴ R. susp. ζῆ.

2 E Turn. V. Bong. notatur πολλοὺς εὐθνητούς.

3 Distinxi hoc καὶ ab initio sequentis versus, cui vulgo jungitur, ut Plutarchi ipsius esse appareat. Non cohaerent duo hi versus, sed e diversis locis desumti sunt.

4 Vulgo μήτε παυσαίμεσθα, quod R. corrigendum censuit in μηδέποτε παυσαίμεσθα. Posterius dedi cum W. idem e Mez. sumente.

5 Secutus sum W. ita ex B. dantem, consentiente in distinguendis vocibus E. Vulgo δορυφόρημα, κωφὸν ἦν ὄνομα βασιλείας.

Κάτων ὁ Ῥωμαῖος. ὁ μὲν γὰρ Φωκίων, ὡρμημένων πολεμεῖν ἀκαίρως τῶν Ἀθηναίων, παρήγγειλε τὰς ἄχρι ἑξήκοντα ἐτῶν ἀκολεθεῖν ὅπλα λαβόντας· ὡς δ' ἠγανάκτεν· Οὐδὲν (ἔφη) δεινόν· ἐγὼ γὰρ ἔσομαι μεθ' ὑμῶν ὁ ϛρατηγὸς ὑπὲρ ὀγδοήκοντα ἔτη γεγονώς. Μασανάσσην δ' ἱϛορεῖ Πολυβιος ἐνενήκοντα μὲν ἐτῶν ἀποθανεῖν, τετράετες καταλιπόντα παιδάριον ἐξ αὐτᾶ γεγεννημένον, ὀλίγῳ δ' ἔμπροσθεν τῆς τελευτῆς μάχῃ νικήσαντα μεγάλῃ [1] Καρχηδονίες, ὀφθῆναι τῇ ὑϛεραίᾳ πρὸ τῆς σκηνῆς ῥυπαρὸν ἄρτον ἐσθίοντα, καὶ πρὸς τὰς θαυμάζοντας εἰπεῖν, ὅτι τᾶτο ποιεῖ [2] *

Λάμπει γὰρ ἐν χρείαισιν, ὥσπερ εὐπρεπὴς
Χαλκός· χρόνῳ δ' ἀργῆσαν ἤμυσε ϛέγος [3],

ὥς φησι Σοφοκλῆς· ὡς δὲ ἡμεῖς φαμέν, ἐκεῖνο τῆς ψυχῆς τὸ γάνωμα, καὶ τὸ φέγγος, ᾧ λογιζόμεθα, καὶ μνημονεύομεν, καὶ φρονᾶμεν.

XVI. Διὸ καὶ τὰς βασιλεῖς φασὶ γίνεσθαι βελτίονας ἐν τοῖς πολέμοις καὶ ταῖς ϛρατείαις, ἢ σχολὴν ἄγοντας. Ἄτταλον γᾶν, τὸν Εὐμενᾶς ἀδελφὸν, ὑπ' ἀργίας μακρᾶς καὶ εἰρήνης ἐκλυθέντα κομιδῇ, Φιλοποίμην, εἷς τῶν ἑταίρων, ἐποίμαινεν ἀτεχνῶς πιαινόμενον· ὥϛε καὶ τὰς Ῥωμαίας παίζοντας ἑκάϛοτε διαπυνθάνεσθαι παρὰ τῶν ἐξ Ἀσίας πλεόντων, εἰ δύναται παρὰ τῷ Φιλοποίμενι βασιλεύς. Λευκόλλε δὲ Ῥωμαίων ἂ πολλὰς ἄν τις εὕροι δεινοτέρας ϛρατηγὰς, ὅτε τῷ πράττειν τὸ φρονεῖν συνεῖχεν· ἐπεὶ δὲ μεθῆκεν ἑαυτὸν εἰς βίον ἄπρακτον καὶ δίαιταν οἰκερὸν καὶ ἄφροντιν, ὥσπερ οἱ

1 abeſt μεγάλῃ ab Ald. & Baſ.

2 W. cum Xyl. poſt haec excidiſſe reliqua dicti monet. Ex aliis de Maſiniſſa referentibus ſcriptoribus peti non poteſt, quod locum hunc impleat. R. ſuſp. ὅτι τᾶτο διηνεκῶς, vel ἀεὶ, vel ἐκ συνηθείας, ποιεῖ.

3 R. ſuſpectum eſt ϛέγος, cum non, ut οἶκος vel οἰκία de gente quadam dicatur, ab eodem auctore deſcendente.

οἱ σπόγγοι, ταῖς γαλήναις ἐννεκρωθεὶς καὶ καταμαρανθεὶς, εἶτα Καλλιθένει τινὶ τῶν ἀπελευθέρων βόσκειν καὶ τιθασσεύειν παρέχων τὸ γῆρας, ἐδόκει καταφαρμακεύεσθαι φίλτροις ὑπ' αὐτοῦ καὶ γοητεύμασιν· ἄχρις οὗ Μάρκος, ὁ ἀδελφὸς, ἀπελάσας τὸν ἄνθρωπον, αὐτὸς ᾠκονόμει καὶ ἐπαιδαγώγει [1] τὸν λοιπὸν αὐτοῦ βίον, οὐ πολὺν γενόμενον. ἀλλὰ Δαρεῖος, ὁ Ξέρξου πατὴρ, ἔλεγεν, αὐτὸς αὑτοῦ παρὰ τὰ δεινὰ γίνεσθαι φρονιμώτερος· ὁ δὲ Σκύθης, Ἀτέας, μηδὲν οἴεσθαι τῶν ἱπποκόμων διαφέρειν ἑαυτὸν, ὅτε σχολάζοι· Διονύσιος δὲ, ὁ πρεσβύτερος, πρὸς τὸν πυθόμενον, εἰ σχολάζει· Μηδέποτε (εἶπεν) ἐμοὶ τοῦτο συμβαίη. τόξον μὲν γὰρ (ὥς φασιν) ἐπιτεινόμενον [2], ῥήγνυται, ψυχὴ δὲ, ἀνιεμένη. καὶ γὰρ ἁρμονικοὶ τὸ κατακούειν ἡρμοσμένου, καὶ γεωμέτραι τὸ ἀναλύειν, καὶ ἀριθμητικοὶ τὴν ἐν τῷ λογίζεσθαι συνέχειαν ἐκλιπόντες, ἅμα ταῖς ἐνεργείαις ἀμαυροῦσι [3] ταῖς ἡλικίαις τὰς ἕξεις, καίπερ οὐ πρακτικὰς ἀλλὰ θεωρητικὰς τέχνας ἔχοντες· ἡ δὲ τῶν πολιτικῶν ἕξις, εὐβουλία καὶ φρόνησις καὶ δικαιοσύνη, πρὸς δὲ τούτοις ἐμπειρία στοχαστικὴ καιρῶν καὶ λόγων πειθοῦς δημιουργῶν [4] δύναμις οὖσα, τῷ λέγειν ἀεί τι, καὶ πράττειν, καὶ λογίζεσθαι, καὶ δικάζειν συνέχεται· καὶ δεινὸν, εἰ τούτων ἀποδρᾶσα [5] περιόψεται τηλικαύτας ἀρετὰς καὶ τοσαύτας ἐκρυείσας τῆς ψυχῆς· καὶ γὰρ τὸ φιλάνθρωπον εἰκός ἐστιν ἀπομαραίνεσθαι, καὶ τὸ κοινωνικὸν,

1 Turn. Bong. *διεπαιδαγώγει.*

2 R. susp. *ἀεὶ τεινόμενον*, aut *ἀεὶ ἐπιτεινόμενον.*

3 R. mavult *συναμαυροῦσι*, *simul cum praecedente aetate perdunt magis magisque una cum exercitio suarum facultatum ipsas quoque facultates.* W. suspectum vitii locum esse monet, & quaerit, an *ἅμα ταῖς ἐνεργείαις ἐκλυομέναις ἀμαυροῦσι τὰς ἕξεις?*

4 Ald. Bas. *δημιουργοῖ.*

5 Turn. V. Bong. *ἀποδρᾶσαι.*

νικὸν, καὶ τὸ εὔχαρισον, ὧν ἐδεμίαν εἶναι δεῖ τελευτὴν ἐδὲ πέρας.

XVII. Εἰ γὲν πατέρα τὸν Τιθωνὸν εἶχες, ἀθάνατον μὲν ὄντα, χρείαν δ' ἔχοντα διὰ γῆρας ἀεὶ πολλῆς ἐπιμελείας, ἐκ ἂν οἶμαί σε φυγεῖν ἐδ' ἀπείπαθαι τὸ θεραπεύειν καὶ προσαγορεύειν καὶ βοηθεῖν, ὡς λελειτεργηκότα πολὺν χρόνον· ἡ δὲ πατρὶς καὶ μητρὶς, (ὡς Κρῆτες καλἕσι) πρεσβύτερα καὶ μείζονα δίκαια γονέων ἔχεσα, πολυχρόνιος μέν ἐςιν, ἐ μὴν ἀγήρως ἐδ' αὐτάρκης, ἀλλ' ἀεὶ πολυωρίας δεομένη καὶ βοηθείας καὶ φροντίδος, ἐπισπᾶται καὶ κατέχει τὸν πολιτικὸν,

Εἰανὲ ἁπ]ομένη, καί τ' ἐσσυμένην κατερύκει [1].

καὶ μὴν οἶδά με τῷ Πυθίῳ λειτεργἕντα πολλὰς πυθιάδας· ἀλλ' ἐκ ἂν εἴποις· Ἱκανά σοι, ὦ Πλέταρχε, τέθυται καὶ πεπόμπευται καὶ κεχόρευται, νῦν δὲ ὥρα πρεσβύτερον ὄντα τὸν ςέφανον ἀποθέθαι, καὶ τὸ χρηςήριον ἀπολιπεῖν διὰ τὸ γῆρας. ἐκἕν μηδὲ σεαυτὸν οἴε δεῖν, τῶν πολιτικῶν [2] ἱερῶν ἔξαρχον ὄντα καὶ προφήτην, ἀφεῖναι τὰς τἕ Πολιέως καὶ Ἀγοραίε τιμὰς Διὸς, ἔκπαλαι κατωργιασμένον αὐταῖς.

XVIII. Ἀλλ' ἀφέντες, εἰ βέλει, τὸν ἀποσπῶντα τῆς πολιτείας λόγον, ἐκεῖνο σκοπῶμεν ἤδη καὶ φιλοσοφῶμεν, ὅπως μηδὲν ἀπρεπὲς, μηδὲ βαρὺ τῷ γήρᾳ προσάξωμεν ἀγώνισμα, πολλὰ μέρη τῆς πολιτείας ἐχέσης ἁρμόδια καὶ πρόσφορα τοῖς τηλικέτοις. ὥσπερ γὰρ, εἰ καθῆκον ἦν ᾄδοντας διατελεῖν, ἔδει, πολλῶν τόνων καὶ τρόπων ὑποκειμένων φωνῆς, ἓς ἁρμονίας οἱ μεσικοὶ καλἕσι, μὴ τὸν ὀξὺν ἅμα καὶ σύντονον διώκειν γέροντας γενομένες, ἀλλ' ἐν ᾧ τὸ ῥᾴδιον ἔπεσι μετὰ τἕ πρέποντος ἤθες· ἕτως, ἐπεὶ τὸ πράττειν καὶ λέγειν μᾶλλον ἀνθρώποις,

ἡ

1 Iliad. XVI, 9. Pro ἐσσυμένην Turn. V. Bong. nec non E. Pol. Leonic. Schott. Anon. Xyl. ἐσσύμενον.

2 Significat Athenienfem rempublicam. Vid. infra c. XX. ab init.

ἢ κύκνοις τὸ ᾄδειν, μέχρι τελευτῆς κατὰ φύσιν ἐστὶν, οὐκ ἀφετέον τὴν πρᾶξιν, ὥσπερ τινὰ λύραν σύντονον, ἀλλ' ἀνετέον ἐπὶ τὰ κοῦφα καὶ μέτρια καὶ προσῳδὰ πρεσβύταις πολιτεύματα μεθαρμοττομένους. οὐδὲ γὰρ τὰ σώματα παντελῶς ἀκίνητα καὶ ἀγύμναστα περιορῶμεν, ὅτι μὴ δυνάμεθα σκαφείοις [1] μηδὲ ἁλτῆρσι χρῆσθαι, μηδὲ δισκεύειν μηδὲ ὁπλομαχεῖν, ὡς καὶ πρότερον, ἀλλ' αἰώραις καὶ περιπάτοις, ἔνιοι δὲ καὶ σφαίρᾳ προσπαλαίοντες ἐλαφρῶς, καὶ διαλεγόμενοι, κινοῦσι τὸ πνεῦμα, καὶ τὸ θερμὸν ἀναῤῥιπίζουσι· μήτε δὴ τελέως ἐκπαγέντας ἑαυτοὺς καὶ καταψυχθέντας ἀπραξίᾳ περιΐδοιμεν, μήτ' αὖ πάλιν πᾶσαν ἀρχὴν ἐπαυρόμενοι [2], καὶ παντὸς ἐπιδραττόμενοι πολιτεύματος, ἀναγκάζομεν τὸ γῆρας ἐξελεγχόμενον ἐπὶ τοιαύτας φωνὰς καταφέρεσθαι·

Ὦ δεξιὰ χεὶρ, ὡς ποθεῖς λαβεῖν δόρυ·
Ἐν δ' ἀσθενείᾳ τὸν πόθον διώλεσας.

οὐδὲ γὰρ ἀκμάζων καὶ δυνάμενος ἀνὴρ ἐπαινεῖται, πάντα συλλήβδην ἀνατιθεὶς ἑαυτῷ τὰ κοινὰ πράγματα, καὶ μηδὲν ἑτέρῳ παριέναι βουλόμενος, (ὥσπερ οἱ Στωϊκοὶ τὸν Δία λέγουσιν) εἰς πάντα παρενείρων, καὶ πᾶσι [3] καταμιγνὺς ἑαυτὸν ἀπληστίᾳ δόξης, ἢ φθόνῳ τῶν μεταλαμβανόντων ἀμωσγέπως τιμῆς τινος ἐν τῇ πόλει καὶ δυνάμεως· πρεσβύτῃ δὲ κομιδῇ κἂν τὸ ἄδοξον ἀφέλῃς, ἐπίπονος καὶ ταλαίπωρος ἡ πρὸς πᾶν μὲν ἀεὶ κληρωτήριον ἀπαντῶσα φιλαρχία, παντὶ δ' ἐφεδρεύουσα δικαστηρίου καιρῷ καὶ συνεδρίου πολυπραγμοσύνη, πᾶσαν δὲ πρεσβείαν καὶ προδικίαν ὑφαρπάζουσα φιλοτιμία. καὶ γὰρ ταῦτα πράττειν καὶ μετ' εὐνοίας, βαρὺ παρ' ἡλικίαν· συμβαίνει δέ γε τἀναντία· μισοῦνται μὲν γὰρ ὑπὸ τῶν νέων,

1 Exercitos fuisse in palaestris Graecis athletas fodienda ligonibus terra, demonstravit P. Faber Agonistic. 2, 8. 21. R.

2 Xyl. mavult ἐπαιρόμενοι. W. consentit. R. tuetur vulgatam — *delibantes*.

3 Ald. & Bas. πάντα pro πᾶσι.

νέων, ὡς μὴ [1] προϊέμενοι πράξεων αὐτοῖς ἀφορμὰς, μηδ' εἰς μέσον ἐῶντες προελθεῖν· ἀδοξεῖ δὲ παρὰ τοῖς ἄλλοις τὸ φιλόπρωτον αὐτῶν καὶ φίλαρχον οὐχ ἧττον, ἢ τὸ φιλόπλουτον ἑτέρων γερόντων καὶ φιλήδονον.

XIX. Ὥσπερ οὖν τὸν Βουκέφαλον ὁ Ἀλέξανδρος πρεσβύτερον ὄντα μὴ βουλόμενος πιέζειν, ἑτέροις ἐπωχεῖτο πρὸ τῆς μάχης ἵπποις, ἐφοδεύων τὴν φάλαγγα καὶ καθιστὰς εἰς [2] τὴν τάξιν· εἶτα δοὺς τὸ σύνθημα, καὶ μεταβὰς ἐπ' ἐκεῖνον, εὐθὺς ἐπῆγε τοῖς πολεμίοις καὶ διεκινδύνευεν· οὕτως ὁ πολιτικὸς, ἂν ἔχῃ νοῦν αυτὸς αὑτὸν ἡνιοχῶν πρεσβύτην γενόμενον, ἀφέξεται τῶν οὐκ ἀναγκαίων, καὶ παρήσει τοῖς ἀκμάζουσι χρῆσθαι πρὸς τὰ μικρότερα τὴν πόλιν, ἐν δὲ τοῖς μεγάλοις αυτὸς ἀγωνιεῖται προθύμως. οἱ μὲν γὰρ ἀθληταὶ τὰ σώματα τῶν ἀναγκαίων πόνων ἄθικτα τηροῦσι καὶ ἀκέραια πρὸς τοὺς ἀχρήστους [3]· ἡμεῖς δὲ τοὐναντίον, ἐῶντες τὰ μικρὰ καὶ φαῦλα, τοῖς ἀξίοις σπουδῆς φυλάξομεν ἑαυτούς. νέῳ μὲν γὰρ ἴσως ἐπέοικε καθ' Ὅμηρον πάντα [4]. καὶ ἔχονται [5] καὶ ἀγαπῶσι, τὰ μὲν μικρὰ καὶ πολλὰ πράγματα, δημοτικὸν καὶ φιλόπονον· τὰ δὲ λαμπρὰ καὶ σεμνὰ, γενναῖον καὶ μεγαλόφρονα καλοῦντες· ἔστι δ' ὅπου καὶ τὸ φιλόνεικον καὶ παράβολον, ὥραν ἔχει τινὰ καὶ χάριν ἐπιπρέπουσαν τοῖς τηλικούτοις· ὁ πρεσβύτης δ' ἀνὴρ ἐν πολιτείᾳ διακονικὰς λειτουργίας ὑπο-

1 Pro μὴ Turn. V. Bong. μὲν.

2 abest εἰς ab Ald. & Baf.

3 R. mavult τῶν ἀχρήστων πόνων — ἀκέραια πρὸς τοὺς ἀναγκαίους.

4 Iliad. XXII, 71.

5 R. subaudiendum monet αὐτοῦ, licet aliquando cogitaverit ἀποδέχονται — tenent eum. Deinde leg. susp. καὶ ἀγαπῶσι πάντες, διώκοντα (vel διοικοῦντα, vel πράττοντα) μὲν τὰ μικρά. W. corrigendum censet καὶ δέχονται καὶ ἀγαπῶσι, τὸν μὲν μικρὰ καὶ πολλὰ πράττοντα δημοτικὸν καὶ φιλόπονον, τὸν δὲ λαμπρὰ καὶ σεμνὰ, γενναῖον καὶ μεγαλόφρονα καλοῦντες.

ὑπομένων, οἷα τελῶν πράσεις καὶ λιμένων ἐπιμελείας καὶ ἀγορᾶς [1], ἔτι δὲ πρεσβείας καὶ ἀποδημίας πρὸς ἡγεμόνας καὶ δυνάςας ὑποτρέχων, ἐν αἷς ἀναγκαῖον ἐδὲν, ἐδὲ σεμνὸν ἔνεςιν, ἀλλὰ θεραπεία καὶ τὸ πρὸς χάριν, ἐμοὶ μὲν οἰκτρὸν, ὦ φίλε, φαίνεται καὶ ἄζηλον, ἑτέροις δ' ἴσως καὶ ἐπαχθὲς φαίνεται [2] καὶ φορτικόν.

XX. Οὐδὲ γὰρ ἐν ἀρχαῖς τὸν τηλικἕτον ὥρα φέρεσθαι, πλὴν ὅσαι γε μέγεθός τι [3] κέκτηνται καὶ ἀξίωμα· καθάπερ ἣν σὺ νῦν Ἀθήνησι μεταχειρίζῃ τῆς ἐξ Ἀρείε πάγε βελῆς ἐπιςασίαν, καὶ νὴ Δία τὸ πρόσχημα τῆς Ἀμφικτυονίας, ἥν σοὶ διὰ τἕ βίε παντος ἡ πατρὶς ανατέθεικε, πόνον ἡδὺν κάματόν τ' εὐκάματον [4] ἔχεσαν. δεῖ δὲ [5] καὶ ταύτας μὴ διώκειν τὰς τιμὰς, ἀλλὰ φεύγοντας ἄρχειν μηδ' αἰτεμένες [6] ἀλλὰ παραιτεμένες, μηδὲ ὡς αὑτοῖς τὸ ἄρχειν λαμβάνοντας, ἀλλ' ὡς αὑτὲς τῷ ἄρχειν [7] ἐπιδιδόντας. ὁ γὰρ, ὡς Τιβέριος ὁ Καῖσαρ ἔλεγε, τὸ τὴν χεῖρα τῷ ἰατρῷ προτείνειν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας, αἰσχρόν ἐςιν· ἀλλὰ μᾶλλον τὸ τὴν χεῖρα τῷ δήμῳ προτείνειν, ψῆφον αἰτἕντας ἢ φωνὴν ἀρχαιρεσιάζεσαν· ἀγεννὲς γὰρ τἕτο καὶ ταπεινόν· ὡς τἐναντίον ἔχει τινὰ σεμνότητα καὶ κόσμον, αἱρεμένης τῆς πατρίδος καὶ καλἕσης, καὶ περιμενἕσης, κατιόντα μετὰ τιμῆς καὶ φιλοφροσύνης, γεραρὸν ὡς ἀληθῶς

1 Ita R. dari voluit, vertitque Xyl. & dedi cum W. idem ex E. fumente. Vulgo ἀγορὰς.

2 R. fusp φανήσεται. Mez. delendum cenfet φαίνεται. Confentit W. nec ineptum effe R. φανήσεται, addens, nec E. φαίνηται.

3 Pro τι Ald. & Baf. habent τε.

4 Faciunt haec omnino ad ea corrigenda, quae Vol. h. p. 29. l. 1. 2. leguntur, ut ibi reponendum videatur πόνον ἡδὺν κάματόν τ' ὡς ἀληθῶς εὐκάματον.

5 abest δὲ ab Ald. & Baf.

6 R. mavult αἰτἕντας.

7 Turn. V. Bong. ὡς αὐτἕ τὸ ἀργεῖν.

θῶς καὶ περίβλεπτον ἀσπάσασθαι καὶ δεξιώσασθαι τὸ γέρας [1].

XXI. Οὕτω δέ πως καὶ λόγῳ χρηστέον ἐν ἐκκλησίᾳ πρεσβύτην γενόμενον, μὴ ἐπιπηδῶντα συνεχῶς τῷ βήματι, μηδ' ἀεὶ δίκην ἀλεκτρυόνος ἀντᾴδοντα τοῖς φθεγγομένοις, μηδὲ τῷ συμπλέκεσθαι καὶ διερεθίζειν ἀποχαλινοῦντα τὴν πρὸς αὐτὸν αἰδῶ τῶν νέων, μηδὲ μελέτην ἐμποιοῦντα καὶ συνήθειαν ἀπειθείας καὶ δυσηκοΐας, ἀλλὰ καὶ παριέντα ποτὲ καὶ διδόντα πρὸς δόξαν ἀναχαιτίσαι καὶ θρασύνεσθαι, μηδὲ παρόντα, μηδὲ πολυπραγμονοῦντα· ὅπου μὴ μέγα τὸ κινδυνευόμενόν ἐστι πρὸς σωτηρίαν κοινὴν, ἢ τὸ καλὸν καὶ πρέπον. ἐκεῖ δὲ χρὴ καὶ μηδενὸς καλοῦντος ὠθεῖσθαι δρόμῳ παρὰ δυναμιν, ἀναθέντα χειραγωγοῖς αὑτὸν, ἢ φοράδην κομιζόμενον· ὥσπερ ἱστοροῦσιν ἐν Ῥώμῃ [2] Κλαύδιον Ἄππιον· ἡττημένην [3] γὰρ ὑπὸ Πύῤῥου μάχῃ μεγάλῃ πυθόμενος τὴν σύγκλητον ἐνδέχεσθαι λόγους περὶ σπονδῶν καὶ εἰρήνης, οὐκ ἀνασχετὸν ἐποιήσατο, καίπερ ἀμφοτέρας ἀποβεβληκὼς τὰς ὄψεις, ἀλλ' ἧκε δι' ἀγορᾶς φερόμενος πρὸς τὸ βουλευτήριον· εἰσελθὼν δὲ καὶ καταστὰς εἰς μέσον, ἔφη, πρότερον μὲν ἄχθεσθαι τῷ τῶν ὀμμάτων στέρεσθαι, νῦν δ' ἂν εὔξασθαι μηδ' ἀκούειν οὕτως αἰσχρὰ καὶ ἀγεννῆ βουλευομένους καὶ πράττοντας ἐκείνους. ἐκ δὲ τούτου τὰ μὲν καθαψάμενος αὐτῶν, τὰ δὲ διδάξας καὶ παρορμήσας, ἔπεισεν εὐθὺς ἐπὶ τὰ ὅπλα χωρεῖν, καὶ διαγωνίζεσθαι περὶ τῆς Ἰταλίας πρὸς τὸν Πύῤῥον. ὁ δὲ Σόλων, τῆς Πεισιστράτου δημαγωγίας, ὅτι τυραννίδος ἦν μηχάνημα, φανερᾶς γενομένης, μηδενὸς

1 Ald. Baf. Xyl. B. E. γῆρας. Steph. ex Pol. dedit γέρας. Sententiam W. ita vertendo exprimit: defcendere venerandum & gratiofum, & honorem revera honorificum ac confpicuum fufcipere & amplecti.

2 abfunt ἐν Ῥώμῃ ab Ald. & Baf.

3 W. infp. ἡττημένων. Cf. ad haec Cic. Cat. maj. c. 6. & vita Pyrrhi Plut. opp. Vol. III. p. 30.

νὸς ἀμύνεσθαι μηδὲ κωλύειν τολμῶντος, αὐτὸς ἐξενεγκάμενος τὰ ὅπλα καὶ πρὸ τῆς οἰκίας θέμενος, ἠξίε βοηθεῖν τὲς πολίτας· πέμψαντος δὲ τῶ Πεισιςράτε πρὸς αὐτὸν, καὶ πυνθανομένε, τίνι πεποιθὼς ταῦτα πράττει· Τῷ γήρᾳ, εἶπεν.

XXII. Ἀλλὰ τὰ μὲν ἕτως ἀναγκαῖα. καὶ τὲς ἀπεσβηκότας κομιδῆ γέροντας, ἂν μόνον ἐμπνέωσιν, ἐξάπτει καὶ διανίςησιν· ἐν δὲ τοῖς ἄλλοις ποτὲ μὲν (ὥσπερ εἴρηται) παραιτέμενος ἐμμελὴς ἔςαι τὰ γλίσχρα καὶ διακονικὰ, καὶ μείζονας ἔχοντα τοῖς πράττεσιν ἀσχολίας, ἢ δι' ἃς [1] πράττεται χρείας καὶ ὠφελείας· ἔςι δὲ ὅπε περιμένων καλέσαι, καὶ ποθῆσαι καὶ μετελθεῖν οἴκοθεν τὲς πολίτας, ἀξιοπιςότερος δεομένοις κάτεισι. τὰ δὲ πλεῖςα καὶ παρὼν σιωπῇ τοῖς νεωτέροις λέγειν παρίησιν, οἷον βραβεύων φιλοτιμίας πολιτικῆς ἅμιλλαν· ἐὰν δὲ ὑπερβάλλῃ τὸ μέτριον, καθαπτόμενος ἠπίως, καὶ μετὰ εὐμενείας ἀφαιρῶν φιλονεικίας καὶ βλασφημίας καὶ ὀργὰς, ἐν δὲ ταῖς γνώμαις τὸν ἁμαρτάνοντα παραμυθέμενος [2] ἄνευ ψόγε καὶ διδάσκων, ἐπαινῶν δ' ἀφόβως [3] τὸν κατορθᾶντα, καὶ νικώμενος ἑκεσίως καὶ προϊέμενος τὸ πεῖσαι καὶ περιγενέσθαι πολλάκις, ὅπως αὐξάνωνται καὶ θαρσῶσιν, ἐνίοις δὲ καὶ συναναπληρῶν μετ' εὐφημίας τὸ ἐλλεῖπον, ὡς ὁ Νέςωρ·

Οὔτις τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιῶν,
Οὐδὲ πάλιν ἐρέει· ἀτὰρ ἐ τέλος ἵκεο μύθων.
Ἦ μὴν καὶ νέος ἐσσὶ, ἐμὸς δέ κε καὶ πάϊς εἴης [4].

XXIII.

1 Restitui ἃς ex Ald. & Bas. pro ἂς, quod e Steph. in rell. transiit. Turn. V. Bong. δι' ἧς.

2 W. requirit h. l. & cap. seq. ubi iterum legitur, ἐπανορθέμενος.

3 R. susp. ἀφθόνως, absque invidia.

4 Iliad. IX. 55 sqq.

XXIII. Τῦτο δὲ πολιτικώτερον [1], μὴ μόνον ἐμφανῶς μηδὲ δημοσίᾳ ὀνειδίζειν ἄνευ δηγμῦ σφόδρα κολάζοντος καὶ ταπεινῦντος, ἀλλὰ μᾶλλον ἰδίᾳ τοῖς εὖ πεφυκόσι πρὸς πολιτείαν, ὑποτιθέμενος καὶ συνεισηγούμενος εὐμενῶς λόγους τε χρηστὰς καὶ πολιτεύματα, συνεξορμῶν πρὸς τὰ καλὰ καὶ συνεπιλαμπρύνων τὸ φρόνημα, καὶ παρέχων, ὥσπερ οἱ διδάσκοντες ἱππεύειν, ἐν ἀρχῇ χειροήθη καὶ πρᾶον ἐπιβῆναι τὸν δῆμον· εἰ δέ τις [2] σφαλείη, μὴ περιορῶν ἐξαθυμῦντα τὸν νέον, ἀλλ' ἀνιστὰς καὶ παραμυθέμενος, ὡς Ἀριστείδης Κίμωνα, καὶ Μνησίφιλος Θεμιστοκλέα, δυσχεραινομένους, καὶ κακῶς ἀκούοντας ἐν τῇ πόλει τὸ πρῶτον, ὡς ἰταμὰς καὶ ἀκολάστους, ἐπῆραν καὶ ἀνεθάῤῥυναν. λέγεται δὲ καὶ Δημοσθένους ἐκπεσόντος ἐν τῷ δήμῳ καὶ βαρέως φέροντος, ἅψασθαι παλαιόν τινα γέροντα τῶν ἀκηκοότων Περικλέους, καὶ εἰπεῖν, ὡς ἐκείνῳ τἀνδρὶ προσεοικὼς τὴν φύσιν, ὐ δικαίως αὐτῦ κατέγνωκεν. οὕτω δὲ καὶ Τιμόθεον Εὐριπίδης συριττόμενον ἐπὶ τῇ καινοτομίᾳ, καὶ παρανομεῖν εἰς τὴν μυσικὴν δοκῦντα, θαῤῥεῖν ἐκέλευσεν, ὡς ὀλίγυ χρόνυ τῶν θεάτρων ὑπ' αὐτῷ γενησομένων.

XXIV. Καθόλυ δὲ, ὥσπερ ἐν Ῥώμῃ ταῖς Ἑστιάσι παρθένοις τῦ χρόνυ διώρισαι, τὸ μὲν μανθάνειν, τὸ δὲ δρᾶν τὰ νενομισμένα, τὸ δὲ τρίτον ἤδη διδάσκειν· καὶ τῶν ἐν Ἐφέσῳ περὶ τὴν Ἄρτεμιν, ὁμοίως ἑκάστυ [3] Μελ-

1 R. susp. πολιτικώτερον, scil. ποιεῖ. vel πολιτικώτερός ἐστιν, ὁ μὴ μόνον μὴ ἐμφ. — ὀνειδίζων. W. turbidam constructionem ita restituendam censet πολιτικώτερος ὁ μὴ μόνον — ὀνειδίζων.

2 R. mavult εἰ δέ γέ τις καὶ σφαλείη.

3 Xyl. in ἕκαστον, aut ἑκάστην mutandum monuit, dubius, utrum sit praeferendum, cum Strabo L. XIV. Eunuchos scribat fuisse Dianae Ephesiae sacerdotes, qui Megabyzi dicerentur: sed ita, ut secum haberent sacras virgines. Mez. & R. ἑκάστην legi volunt: forte recte, W. judice. Turn. Bong. μελλιερεῖν; V. μελλιερῶν.

Μελιέρην τοπρῶτον, εἶθ' Ἱέρην, τὸ δὲ τρίτον Παριέρην καλῦσιν· ὅτως ὁ τελέως πολιτικὸς ἀνὴρ, τὰ μὲν πρῶτα μανθάνων ἔτι πολιτεύεσθαι [1] καὶ μυϑμενος, τὰ δ' ἔσχατα, διδάσκων καὶ μυσαγωγῶν. τὸ μὲν γὰρ ἐπιςατεῖν ἀθλῦσιν ἑτέροις, ὂκ ἔςιν αὐτὸν ἀθλεῖν· ὁ δὲ παιδοτριβῶν νέον ἐν πράγμασι κοινοῖς καὶ δημοσίοις ἀγῶσι, καὶ παρασκευάζων τῇ πατρίδι

Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων [2],

ἐν ὀ μικρῷ μέρει πολιτείας ὀδὲ Φαύλῳ χρήσιμός ἐςιν, ἀλλ' εἰς ὃ μάλιςα καὶ πρῶτον ὁ Λυκῦργος ἐντείνας ἑαυτὸν, εἴθισε τὸς νέος παντὶ πρεσβύτῃ, καθάπερ νομοθέτῃ, πειθομένος διατελεῖν. ἐπεὶ πρὸς τί βλέψας ὁ Λύσανδρος εἶπεν, ὡς ἐν Λακεδαίμονι κάλλιςα γηρῶσιν; ἆρ' ὅτι γεωργεῖν ἔξεςι μάλιςα τοῖς πρεσβυτέροις ἐκεῖ, καὶ δανείζειν, ἢ κυβεύειν συγκαθεζομένος, ἢ πίνειν ἐν ὥρᾳ κυβεύοντας [3]; ὀκ ἂν εἴποις· ἀλλ' [4] ὅτι τρόπον τινὰ πάντες οἱ τηλικῦτοι τάξιν ἀρχόντων ἢ τινῶν πατρονόμων ἢ παιδαγωγῶν ἔχοντες, ὀ τὰ κοινὰ μόνον ἐπισκοπῦσιν, ἀλλὰ καὶ τῶν νέων ἕκαςα ἀεὶ περί τε τὰ γυμνάσια καὶ παιδείας [5] καὶ διαίτας καταμανθάνοσιν ὀ παρέργως, Φοβεροὶ μὲν ὄντες τοῖς ἁμαρτάνοσιν, αἰδεςοὶ δὲ τοῖς ἀγαθοῖς καὶ ποθεινοί· θεραπεύοσι γὰρ ἀεὶ καὶ διώκοσιν αὐτὸς οἱ νέοι, τὸ κόσμιον καὶ τὸ γενναῖον αὔξοντας καὶ συνεπιγαυρῦντας ἄνευ Φθόνο.

XXV. Τῦτο γὰρ τὸ πάθος, ὀδενὶ χρόνῳ πρέπον ἡλικίας, ὅμως ἐν νέοις εὐπορεῖ χρηςῶν ὀνομάτων, ἅμιλλαι καὶ ζῆλος καὶ Φιλοτιμία προσαγορευόμενον· ἐν δὲ πρεσβύταις παντελῶς ἄωρόν ἐςι καὶ ἄγριον καὶ ἀγεννές. διὸ



1 W. legendum monet πολιτεύεται.

2 Iliad. IX, 443.

3 Turn. V. Bong. συνάγοντας; W. susp. κυβεύσαντας, vel καθεύδοντας, vel κατακλιθέντας.

4 R. susp. ἀλλ' ὀκ ἂν εἴποις.

5 R. legi vult παιδιὰς, *ludos*, cum παιδείας post γυμνάσια, in quibus erudiebantur juvenes, inutile sit.

διὸ δεῖ πορρωτάτω τῷ φθονεῖν ὄντα τὸν πολιτικὸν γέροντα, μὴ, καθάπερ τὰ βάσκανα γεράνδρυα, τῶν παραβλαστανόντων καὶ ὑποφυομένων σαφῶς ἀφαιρεῖσθαι καὶ κολύειν τὴν βλάστην καὶ τὴν αὔξησιν, ἀλλ' εὐμενῶς προσδέχεσθαι καὶ παρέχειν τοῖς ἀντιλαμβανομένοις καὶ προσπλεκομένοις ἑαυτὸν ὀρθοῦντα καὶ χειραγωγοῦντα καὶ τρέφοντα, μὴ μόνον ὑφηγήσεσι καὶ συμβουλίαις ἀγαθαῖς, ἀλλὰ καὶ παραχωρήσεσι πολιτευμάτων τιμὴν ἐχόντων καὶ δόξαν, ἤ τινας ὑπεργίας ἀβλαβεῖς μὲν, ἡδείας δὲ τοῖς πολλοῖς καὶ πρὸς χάριν ἐσομένας· ὅσα δέ ἐστιν ἀντίτυπα καὶ προσάντη, καὶ, καθάπερ τὰ φάρμακα, δάκνει παραχρῆμα καὶ λυπεῖ, τὸ δὲ καλὸν καὶ λυσιτελὲς ὕστερον ἀποδίδωσι, μὴ τοὺς νέους ἐπὶ ταῦτα προσάγοντα, μηδὲ ὑποβάλλοντα θορύβοις, ὄχλων [1] ἀγνωμονούντων ἀήθεις ὄντας, ἀλλ' αὐτὸν [2] ἐκδεχόμενον τὰς ὑπὲρ τῶν συμφερόντων ἀπεχθείας. τοῦτο γὰρ εὐνουστέρους τε ποιήσει τοὺς νέους καὶ προθυμοτέρους ἐν ταῖς ἄλλαις ὑπηρεσίαις.

XXVI. Παρὰ πάντα δὲ ταῦτα χρὴ μνημονεύειν, ὡς οὐκ ἔστι πολιτεύεσθαι μόνον τὸ ἄρχειν, καὶ πρεσβεύειν, καὶ μέγα βοᾶν ἐν ἐκκλησίᾳ, καὶ περὶ τὸ βῆμα βακχεύειν, λέγοντας ἢ γράφοντας, ἃ οἱ πολλοὶ τοῦ πολιτεύεσθαι [3] νομίζουσιν, ὥσπερ ἀμέλει καὶ φιλοσοφεῖν τοὺς ἀπὸ τοῦ δίφρου διαλεγομένους, καὶ σχολὰς ἐπὶ βιβλίοις περαίνοντας· ἡ δὲ συνεχὴς ἐν ἔργοις καὶ πράξεσιν ὁρωμένη καθ' ἡμέραν [4] οὐδαμῶς πολιτεία καὶ φιλοσοφία λέληθεν αὐτούς. καὶ γὰρ τοὺς ἐν ταῖς στοαῖς ἀνακάμπτοντας περιπα-

1 Ald. Bas. μηδ' ὑπερβάλλοντα θορύβοις, ὄχλον.

2 Turn. V. Bong. ἀήθεις ἀλλ' ὄντας ἄλλον αὐτόν.

3 R. susp. πολλοὶ τὰ κυριώτατα, vel συνέχοντα, vel κεφάλαια τοῦ πολιτεύεσθαι, aut τοῦ delendum censet.

4 W. mavult καθ' ἡμέραν, ὁρωμένη; R. post οὐδαμῶς inserendum susp. τ' ἀργοῦσα.

ριπατεῖν φασὶν, ὡς ἔλεγε Δικαίαρχος, ἐκ ἔτι δὲ τὲς εἰς ἀγρὸν ἢ πρὸς φίλον βαδίζοντας. ὅμοιον δ' ἐςὶ τῷ φιλοσοφεῖν τὸ πολιτεύεσθαι. Σωκράτης γᾶν ἔτε βάθρα θεὶς, ἔτ' εἰς θρόνον καθίσας, ἔτε ὥραν διατριβῆς, ἢ περιπάτε τοῖς γνωρίμοις τεταγμένην φυλάττων, ἀλλὰ καὶ παίζων [1], ὅτε τύχοι, καὶ συμπίνων, καὶ συςρατευόμενος ἐνίοις, καὶ συναγοράζων, τέλος δὲ καὶ συνδεδεμένος [2] καὶ πίνων τὸ φάρμακον, ἐφιλοσόφει· πρῶτος ἀποδείξας τὸν βίον ἅπαντι χρόνῳ καὶ μέρει καὶ πάθεσι καὶ πράγμασιν ἁπλῶς ἅπασι φιλοσοφίαν δεχόμενον. ἔτω δὴ διανοητέον καὶ περὶ πολιτείας, ὡς τὲς μὲν ἀνοήτες, ἐδ'. ὅταν ςρατηγῶσιν ἢ γραμματεύωσιν ἢ δημηγορῶσι, πολιτευομένες, ἀλλ' ὀχλοκοπᾶντας ἢ πανηγυρίζοντας ἢ ςασιάζοντας ἢ λειτεργᾶντας ἀναγκαίως· τὸν δὲ κοινωνικὸν καὶ φιλάνθρωπον καὶ φιλόπολιν καὶ κηδεμονικὸν καὶ πολιτικὸν ἀληθῶς, κἂν μηδέποτε τὴν χλαμύδα περιθῆται, πολιτευόμενον ἀεὶ τῷ παρορμᾷν τὲς δυναμένες ὑφηγεῖσθαι [3] τοῖς δεομένοις, συμπαρεῖναι τοῖς βελευομένοις [4], διατρέπειν τὲς κακοπραγμονᾶντας, ἐπιῤῥωννύναι τὲς εὐγνώμονας, φανερὸν εἶναι μὴ παρέργως προσέχοντα τοῖς κοινοῖς, μηδὲ ὅπε σπεδή τις ἢ παράκλησις διὰ τὸ πρῶτον [5] εἰς τὸ θέατρον βαδίζοντα καὶ τὸ βελευτήριον· ἄλλως δὲ διαγωγῆς χάριν



1 R. mavult καὶ συμπαίζων.

2 W. mavult δεδεμένος.

3 R. fufp. παρορμᾷν τὲς πράττειν δυναμένες, ὑφηγεῖσθαι τοῖς δεομένοις, fcil. ὑφηγήσεως.

4 Ald. Baf. βελομένοις.

5 Xyl. legiffe videtur διὰ τὸ πρωτεῖον. Commendat hoc R. — ex *jure alios praecedendi, ut ejus juris monftrandi gratia*. Non probat W. aliud in toto loco requirens, & ita vertens: *oftendit fe non obiter animum reipubl. advertere, neque ubi advocatur ipfe aut negotii neceffitas urget primum, fe venire in theatrum curiamve, alioquin animi gratia tanquam ad fpectaculum aut auditionem, ubi ita libuerit, accedere.*

χάριν ὡς ἐπὶ θέαν ἢ ἀκρόασιν, ὅταν ἐπέλθῃ, παραγινόμενον, ἀλλὰ, κᾂν μὴ παραγένηται τῷ σώματι, παρόντα τῇ γνώμῃ, καὶ τῷ πυνθάνεσθαι τὰ μὲν ἀποδεχόμενον, τοῖς δὲ δυσκολαίνοντα τῶν πραττομένων.

XXVII. Οὐδὲ γὰρ Ἀθηναίων Ἀριστείδης, ὐδὲ Ῥωμαίων Κάτων ἦρξε πολλάκις, ἀλλὰ πάντα τὸν αὐτῶν βίον ἐνεργὸν ἀεὶ ταῖς πατρίσι παρέχον. Ἐπαμεινώνδας δὲ πολλὰ μὲν καὶ μεγάλα κατώρθωσε στρατηγῶν, ὐκ ἔλαττον δ᾽ αὐτῦ μνημονεύεται μηδὲ στρατηγῦντος μηδ᾽ ἄρχοντος ἔργον περὶ Θετταλίαν, ὅτε τῶν στρατηγῶν εἰς τόπυς χαλεπὺς ἐμβαλόντων τὴν Φάλαγγα, καὶ θορυβυμένων, (ἐπέκειντο γὰρ οἱ πολέμιοι βάλλοντες) ἀνακληθεὶς ἐκ τῶν ὁπλιτῶν, πρῶτον μὲν ἔπαυσε θαῤῥύνας τὸν τῦ στρατεύματος τάραχον καὶ Φόβον, ἔπειτα διατάξας καὶ διαρμοσάμενος τὴν Φάλαγγα συγκεχυμένην, ἐξήγαγε ῥᾳδίως, καὶ κατέστησεν ἐναντίαν τοῖς πολεμίοις, ὥστ᾽ ἀπελθεῖν ἐκείνυς μεταβαλομένυς. Ἄγιδος δὲ τῦ βασιλέως ἐν Ἀρκαδίᾳ τοῖς πολεμίοις ἐπάγοντος ἤδη τὸ στράτευμα συντεταγμένον εἰς μάχην, τῶν πρεσβυτέρων τις Σπαρτιατῶν ἐπεβόησεν, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσαθαι [1], δηλῶν τῆς ἐξ Ἄργυς εὐπετῦς ἀναχωρήσεως τὴν παρῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βυλόμενον εἶναι, ὡς ὁ Θυκυδίδης Φησίν· ὁ δ᾽ Ἄγις ἀκύσας ἐπείσθη, καὶ ἀνεχώρησε μὲν, ἐκράτει δέ· καὶ δίΦρος [2] ἔκειτο καθ᾽ ἡμέραν παρὰ ταῖς θύραις τῦ ἀρχείυ, καὶ πολλάκις ἀνιστάμενοι πρὸς αὐτὸν οἱ Ἔφοροι διεπυνθάνοντο καὶ συνεβυλεύοντο περὶ τῶν μεγίστων. ἐδόκει γὰρ ἐμ-

1 Cf. ad haec Thucyd. V, c. 58—74. Inde R. dari maluit ἰᾶσθαι; item βυλομένην, & ἐπαιτίυ pro εὐπετῦς. Hoc ultimum etiam vitiose e Turn. V. Bong. notatur ἐπετίυ.

2 Ita Ald. Baf. Xyl. B. E. At Jannot. Schott. Coll. Muret. Turn. V. Bong. Mez. ex libro Vatic. ἀνεχώρησε. Μενεκράτει δὲ δίΦρος. W. neutrom probabile cenfet, eique probabilius videtur ἀνεχώρησε· γεγηρακότι δὲ καὶ δίΦρος. In Thucydide nil ad haec verba exftat praefidii.

ἔμφρων ἀνὴρ εἶναι, καὶ συνετὸς ἱϛορεῖται [1]· διὸ καὶ παντάπασιν ἤδη τὴν τῦ σώματος ἐξημαυρωμένος δύναμιν, καὶ τὰ πολλὰ κλινήρης διημερεύων, μεταπεμπομένων εἰς ἀγορὰν τῶν Ἐφόρων, ὥρμησε μὲν ἐξανασὰς βαδίζειν, μόλις δὲ καὶ χαλεπῶς προερχόμενος, εἶτα παιδαρίοις ἐντυχὼν καθ᾽ ὁδὸν, ἠρώτησεν, εἴ τι γινώσκυσιν ἀναγκαιότερον ὂν τῦ πείθεσθαι δεσπότῃ· τῶν δὲ φησάντων τὸ μὴ δύνασθαι, τῦτο τῆς ὑπυργίας λογισάμενος πέρας, ἀνέςρεψεν οἴκαδε. δεῖ γὰρ μὴ προαπολιπεῖν τὴν προθυμίαν τῆς δυνάμεως, ἐγκαταλειφθεῖσαν [2] δὲ μὴ βιάζεσθαι. καὶ μὴν Γαΐῳ Λαιλίῳ Σκιπίων ἐχρῆτο συμβύλῳ, ϛρατηγῶν ἀεὶ καὶ πολιτευόμενος· ὥϛε καὶ λέγειν ἐνίυς, ὑποκριτὴν τῶν πράξεων Σκιπίωνα, ποιητὴν δὲ τὸν Γάϊον εἶναι [3]. Κικέρων δ᾽ αὐτὸς ὡμολόγει τὰ κάλλιϛα καὶ μέγιϛα τῶν συμβυλευμάτων, οἷς ὀρθῶς ἐνυπατεύων τὴν πατρίδα διέσωζε, μετὰ Ποπλίυ Νιγιδίυ τῦ φιλοσόφυ συνθεῖναι [4].

XXVIII. Οὕτω διὰ πολλῶν τρόπων τῆς πολιτείας ὐδὲν ἀποκωλύει τὺς γέροντας ὠφελεῖν τὸ κοινὸν ἀπὸ τῶν βελτίϛων, λόγυ καὶ γνώμης [5], καὶ παῤῥησίας, καὶ φροντίδος πινυτῆς, ὡς δὴ ποιηταὶ λέγυσιν. ὐ γὰρ αἱ χεῖρες ἡμῶν, ὐδὲ οἱ πόδες, ὐδὲ ἡ τῦ σώματος ῥώμη, κτῆμα καὶ μέρος ἐϛὶ τῆς πόλεως μόνον, ἀλλὰ πρῶτον ἡ ψυχὴ, καὶ τὰ τῆς ψυχῆς κάλλη, δικαιοσύνη, καὶ σωφροσύνη, καὶ φρόνησις· ὧν ὀψὲ καὶ βραδέως τὸ οἰκεῖον ἀπολαμβανόντων, ἄτοπόν ἐϛι, τὴν μὲν οἰκίαν



1 R. suspectum ἱϛορεῖται. Ald. Bas. B. E. ἱϛορεῖσθαι. W. se non expedire fatetur, &, ut nunc est, legit συνετός· ἱϛορεῖται δὲ καὶ.

2 V. ἐγκαταλειφθείσης; Bas. ἐγκαταλειφθεῖσαι.

3 abest εἶναι ab Ald. & Bas.

4 cf. Cic. epist. ad divers. L. IV. ep. 13.

5 Turn. V. Bong. μνήμης.

καὶ τὸν ἀγρὸν ἀπολαύειν καὶ τὰ λοιπὰ χρήματα καὶ κτήματα [1], κοινῇ δὲ τῇ πατρίδι καὶ τοῖς πολίταις μηκέτι χρησίμους εἶναι διὰ τὸν χρόνον, οὐ τοσοῦτον τῶν ὑπηρετικῶν παραιρούμενον δυνάμεων, ὅσον ταῖς ἡγεμονικαῖς καὶ πολιτικαῖς προστίθησι. διὸ καὶ τῶν Ἑρμῶν τοὺς πρεσβυτέρους, ἄχειρας καὶ ἄποδας, ἐντεταμένους δὲ τοῖς μορίοις δημιουργοῦσιν, αἰνιττόμενοι [2], τῶν γερόντων ἐλάχιστα δεῖσθαι διὰ τοῦ σώματος ἐνεργούντων, ἐὰν τὸν λόγον ἐνεργὸν, ὡς προσήκει, καὶ γόνιμον ἔχωσιν.

1 a Frft. & R. abſunt καὶ κτήματα.

2 W. requirit aliquid ad abſolutionem ſententiae, & excidiſſe ſuſp. τὰς πόλεις, vel τὰ πράγματα.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΟΛΙΤΙΚΑ ΠΑΡΑΓΓΕΛΜΑΤΑ [1].

Εἰ πρὸς ἄλλο τι χρήσασθαι καλῶς ἐστιν ἔχον, ὦ Μενέμαχε [2], τῷ·

Οὔ τις τοι τὸν μῦθον ὀνόσσεται ὅσσοι Ἀχαιοὶ,
Οὐδὲ πάλιν ἐρέει· ἀτὰρ οὐ τέλος ἵκεο μύθων·

καὶ πρὸς τοὺς προτρεπομένους [3] τῶν φιλοσόφων, διδάσκοντας δὲ μηδὲν, μηδὲ ὑποτιθεμένους· ὅμοιοι γάρ εἰσι τοῖς τοὺς λύχνους προμύττουσιν [4], ἔλαιον δὲ μὴ ἐγχέουσιν. ὁρῶν οὖν σε παρωρμημένον ὑπὸ τοῦ λόγου πρὸς πολιτείαν, καὶ βουλόμενον ἀξίως τῆς εὐγενείας ἐν τῇ πατρίδι

Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων [5],

ἐπειδὴ χρόνον οὐκ ἔχεις ἀνδρὸς φιλοσόφου βίον ὕπαιθρον ἐν πράξεσι πολιτικαῖς καὶ δημοσίοις ἀγῶσι κατανοῆσαι, καὶ γενέσθαι παραδειγμάτων ἔργῳ, μὴ λόγῳ, περαινομένων θεατὴς, ἀξιοῖς δὲ παραγγέλματα λαβεῖν πολιτικά· τὴν μὲν ἄρνησιν οὐδαμῶς ἐμαυτῷ προσήκουσαν εἶναι νομίζω, τὸ δ' ἔργον εὔχομαι καὶ τῆς σῆς ἄξιον σπουδῆς καὶ τῆς ἐμῆς προθυμίας γενέσθαι· τοῖς δὲ παραδείγμασι ποικιλωτέροις, ὥσπερ ἠξίωσας, ἐχρησάμην.



1 Male, Xyl. notante, interpres Saguntius hunc librum Trajano inscriptum perhibet. Librum Plut. suum agnoscit in principio lib. de cap. ex host. utilitate. Vol. VII. p. 269.

2 Fuit Sardibus natus, ut ex hoc ipso libro sub finem non obscure liquebit. Xyl. Locus Hom. est ex Iliad. IX, 55. sq.

3 Petav. simpl. τρεπομένους.

4 Vulgatam omnes libri exhibent. R. autem legendum censet aut ἀπομύττουσιν, emungentibus, aut προβύουσιν, ellychnium promoventibus vel protrudentibus. W. judice sententia flagitat προανάπτουσιν.

5 Iliad. IX, 443.

II. Πρῶτον μὲν ἔν ὑποκείσθω πολιτείᾳ, καθάπερ ἔδαφος βέβαιον καὶ ἰσχυρὸν, ἡ προαίρεσις ἀρχὴν ἔχουσα, κρίσιν [1] καὶ λόγον, ἀλλὰ μὴ πτοίαν ὑπὸ δόξης κενῆς, ἢ φιλονεικίας τινὸς, ἢ πράξεων ἑτέρων ἀπορίας. ὥσπερ γὰρ οἷς ὀδέν ἐστιν οἴκοι χρηστὸν, ἐν ἀγορᾷ διατρίβουσι, κἂν μὴ δέωνται, τὸν πλεῖστον χρόνον· ὅτως ἔνιοι, τῷ μηδὲν ἔχειν ἴδιον πράττειν ἄξιον σπουδῆς, ἐμβάλλουσιν ἑαυτοὺς εἰς δημόσια πράγματα τῇ πολιτείᾳ διαγωγῇ χρώμενοι. πολλοὶ δὲ ἀπὸ τῆς [2] τύχης ἁψάμενοι τῶν κοινῶν καὶ ἀναπλησθέντες, ὀκέτι [3] ῥᾳδίως ἀπελθεῖν δύνανται, ταὐτὸ τοῖς ἐμβᾶσιν εἰς πλοῖον αἰώρας χάριν, εἶτ' ἀποσπασθεῖσιν εἰς πέλαγος, πεπονθότες, ἔξω βλέπουσι ναυτιῶντες καὶ ταραττόμενοι, μένειν δὲ καὶ χρῆσθαι τοῖς παροῦσιν ἀνάγκην ἔχοντες, Λευκᾶς [4] καθύπερθε γαλάνας εὐπρόσωποι σφᾶς παρήϊσαν ἔρωτες ναΐας κληΐδος χαράξει πόντου δαιμονίαν ἐς ὕβριν. οὗτοι καὶ μάλιστα διαβάλλουσι τὸ πρᾶγμα τῷ μετανοεῖν καὶ ἀχάλλειν, ὅταν ἢ δόξαν ἐλπίσαντες, ἀδοξίᾳ περιπέσωσιν,

1 ante κρίσιν Petav. praemittit καὶ.

2 abest τῆς a Petav.

3 R. judice, aut ὅταν ὀκέτι legendum, aut δυνάμενοι.

4 Verba sunt poëtae alicujus, Xyl. judice, Pindari, aut alius Lyrici: sed corrupta. E Ms. notat idem παρῆσαν pro παρήϊσαν, & cum Ald. & Bas. χαράζει habeant, supra ζ esse ibidem ξ, monet. Mavult tamen παρίεσαν, & totum locum in versione omittit, cum sensum nullum exprimere commodum potuerit. Bern. Martin. Var. Lect. 3, 12. versus hos Alcaeo tribuit, notante R. qui pro ἔρωτες leg. susp. ἑκόντες. Locum citat Schneid. in fragm. Pindar. p. 85., & quaerit, num pro χαράξει substituendum sit χαλάξει, an aliud verbum. In meo Bas. exemplari pro ἔρωτες ad marginem manu notatum est: forte ἐρῶντες. In edit. Argent. pro καθύπερθε legitur καθυπερθέμενοι. Mez. παρήϊξαν ἔρωτες ναΐας ἐκ κληΐδος χαραξιπόντα. —. Haud alienum erit, Kaltw. versionem subjungere: „*Sie fuhren zur Lust mit fröhlichem Gesichte auf dem weissen Spiegel des Meeres, aber da die Wogen plözlich sich empörten, sahen sie dem schrecklichsten Untergange entgegen.*"

σιν, ἢ φοβεροὶ προσδοκήσαντες ἑτέροις ἔσεσθαι διὰ δύναμιν, εἰς πράγματα κινδύνους ἔχοντα καὶ ταραχὰς ἄγωνται. ὁ δ' ὡς μάλιστα προσῆκον [1] ἑαυτῷ καὶ κάλλιστον ἔργον ἀπὸ γνώμης καὶ λογισμῷ [2] τὰ κοινὰ πράσσειν ἀρξάμενος, ὑπ' οὐδενὸς ἐκπλήττεται τούτων, οὐδ' ἀναστρέφεται [3] τὴν γνώμην. οὐδὲ γὰρ ἐπ' ἐργασίᾳ καὶ χρηματισμῷ προσιτέον τοῖς κοινοῖς, ὡς οἱ περὶ Στρατοκλέα καὶ Δρομοκλείδην ἐπὶ τὸ χρυσοῦν θέρος [4], (τὸ βῆμα μετὰ παιδιᾶς οὕτως ὀνομάζοντες) ἀλλήλους παρεκάλουν· οὔτε οἷον ἐπιλήπτους ὑπὸ πάθους ἄφνω γενομένους, ὡς Γάϊος Γράκχος ἐπὶ θερμοῖς τοῖς περὶ τὸν ἀδελφὸν ἀτυχήμασιν ἀπωτάτω τῶν κοινῶν τὸν βίον θέμενος, εἶτα ὕβρει τινῶν καὶ λοιδορίᾳ πρὸς αὐτὸν ἀναφλεχθεὶς ὑπ' ὀργῆς, ἐνέπεσε τοῖς κοινοῖς· καὶ ταχὺ μὲν ἐπλήσθη πραγμάτων καὶ δόξης, ζητῶν δὲ παύσασθαι, καὶ δεόμενος μεταβολῆς καὶ ἡσυχίας, οὐχ εὗρε καταθέσθαι τὴν δύναμιν αὐτοῦ διὰ μέγεθος, ἀλλὰ προαπώλετο. τούς τε πρὸς [5] ἅμιλλαν ἢ δόξαν ὥσπερ ὑποκριτὰς εἰς θέατρον ἀναπλάττοντας ἑαυτοὺς, ἀνάγκη μετανοεῖν, ἢ δουλεύοντας, ὧν ἄρχειν ἀξιοῦσιν, ἢ προσκρούοντας, οἷς ἀρέσκειν ἐθέλουσιν. ἀλλ' ὥσπερ εἰς φρέαρ, οἶμαι, τὴν πολιτείαν, τοὺς μὲν ἐμπίπτοντας αὐτομάτως καὶ παραλόγως ταράττεσθαι καὶ μετανοεῖν, τοὺς δὲ καταβαίνοντας ἐκ παρασκευῆς καὶ λογισμοῦ καθ' ἡσυχίαν, χρῆσθαί τε τοῖς πράγμασι μετρίως, καὶ πρὸς μηδὲν δυσκολαίνειν, ἅτε δὴ τὸ καλὸν αὐτὸ καὶ μηδὲν ἄλλο τῶν πράξεων ἔχοντας τέλος.

III.

1 Dedi sic e Mez. & R. mente, probante W. pro vulg. προσῆκεν.

2 Inserui καὶ ante λογισμῷ e R. mente, W. probata. Vulgo abest.

3 Jun. ἀνατρέπεται.

4 Salmas. δέρος. De Stratocle & Dromoclide cf. Vol. VI. Demetr. vit. c. 11, 13, 34.

5 Pro τε R. susp. ἄν. A Petav. abest πρός.

III. Οὕτω δὴ τὴν προαίρεσιν ἀπερείσαντας ἐν ἑαυτοῖς καὶ ποιήσαντας [1] ἄτρεπτον καὶ δυσμετάθετον, τρέπεσθαι χρὴ πρὸς κατανόησιν τοῦ ἤθους τῶν πολιτῶν, ὃ μάλιστα συγκραθὲν ἐκ πάντων ἐπιφαίνεται καὶ ἰσχύει. τὸ μὲν γὰρ εὐθὺς αὐτὸν ἐπιχειρεῖν ἠθοποιεῖν καὶ μεθαρμόττειν τοῦ δήμου τὴν φύσιν, οὐ ῥᾴδιον οὐδ' ἀσφαλές, ἀλλὰ καὶ χρόνου δεόμενον πολλοῦ καὶ μεγάλης δυνάμεως. δεῖ δέ, ὥσπερ οἶνος ἐν ἀρχῇ μὲν ὑπὸ τῶν ἠθῶν κρατεῖται τοῦ πίνοντος, ἡσυχῇ δὲ διαθάλπων καὶ κατακεραννύμενος αὐτὸς ἠθοποιεῖ τὸν πίνοντα καὶ μεθίστησιν, οὕτω τὸν πολιτικόν, ἕως ἂν ἰσχὺν ἀγωγὸν ἐκ δόξης καὶ πίστεως κατασκευάσηται, τοῖς ὑποκειμένοις ἤθεσιν εὐάρμοστον εἶναι, κατανοεῖν [2] καὶ στοχάζεσθαι τούτων ἐπιστάμενον, οἷς χαίρειν ὁ δῆμος καὶ ὑφ' ὧν ἄγεσθαι πέφυκεν. οἷον ὁ Ἀθηναίων εὐκίνητός ἐστι πρὸς ὀργήν, εὐμετάθετος πρὸς ἔλεον, μᾶλλον ὀξέως ὑπονοεῖν ἢ διδάσκεσθαι καθ' ἡσυχίαν βουλόμενος· ὥσπερ τῶν ἀνδρῶν τοῖς ἀδόξοις καὶ ταπεινοῖς βοηθεῖν προθυμότερος [3], οὕτως τῶν λόγων τοὺς παιγνιώδεις καὶ γελοίους ἀσπάζεται καὶ προτιμᾷ· τοῖς μὲν ἐπαινοῦσιν αὐτὸν μάλιστα χαίρει, τοῖς δὲ σκώπτουσιν ἥκιστα δυσχεραίνει· φοβερός ἐστιν ἄχρι τῶν ἀρχόντων, εἶτα φιλάνθρωπος ἄχρι τῶν πολεμίων. ἕτερον ἦθος τοῦ Καρχηδονίων δήμου, πικρόν, σκυθρωπόν, ὑπήκοον τοῖς ἄρχουσι, βαρὺ τοῖς ὑπηκόοις, ἀγεννέστατον ἐν φόβοις, ἀγριώτατον ἐν ὀργαῖς, ἐπίμονον τοῖς γνωσθεῖσι, πρὸς παιδιὰν καὶ χάριν ἀνήδυντον καὶ σκληρόν· οὐκ ἂν οὗτοι, Κλέωνος ἀξιοῦντος αὐτούς, ἐπεὶ τέθυκε, καὶ ξένους ἑστιᾶν μέλλει, τὴν ἐκκλησίαν ὑπερθέσθαι, γελάσαντες ἂν καὶ κροτήσαντες ἀνέστησαν·

οὐκ

1 Turn. V. Bong. ποιησομένους, unde efficiendum esset ποιησαμένους.

2 abest κατανοεῖν a Petav. & Schott. Suspicatur W. factum ex κατὰ νοῦν, glossemate vocis εὐάρμοστον.

3 R. mavult προθυμότατος.

ἐκ Ἀλκιβιάδῃ, ὄρτυγος ἐν τῷ λέγειν διαφυγόντος ἐκ τȢ ἱματίȢ, φιλοτίμως συνθηρεύσαντες ἀπέδωκαν [1]. ἀλλὰ καὶ ἀπέκτειναν ἄν, ὡς ὑβρίζοντας καὶ τρυφῶντας· ὅπȢ καὶ Ἄννωνα λέοντι χρώμενον σκευοφόρῳ παρὰ τὰς ϛρατείας, αἰτιασάμενοι τυραννικὰ φρονεῖν, ἐξήλασαν. οἶμαι δ' ἂν ἔγωγε μηδὲ ΘηβαίȢς ἀποχέσθαι γραμμάτων πολεμίων κυρίȢς γενομένȢς, ὡς Ἀθηναῖοι ΦιλίππȢ γραμματοφόρȢς λαβόντες ἐπιϛολὴν ἐπιγεγραμμένην Ὀλυμπιάδι κομίζοντας, ȢκἜλυσαν, Ȣδ' ἀπεκάλυψαν ἀπόῤῥητον ἀνδρὸς ἀποδήμȢ πρὸς γυναῖκα φιλοφροσύνην· Ȣδέ γ' αὖ πάλιν ἈθηναίȢς, ἘπαμεινώνδȢ πρὸς τὴν κατηγορίαν ἀπολογεῖσθαι μὴ θέλοντος [2], ἀλλ' ἀναϛάντος ἐκ τȢ θεάτρȢ, καὶ διὰ τῆς ἐκκλησίας εἰς τὸ γυμνάσιον ἀπιόντος, εὐκόλως ἐνεγκεῖν τὴν ὑπεροψίαν καὶ τὸ φρόνημα τȢ ἀνδρός· πολλȢ δ' ἂν ἔτι καὶ Σπαρτιάτας δεῆσαι τὴν ΣτρατοκλέȢς ὕβριν ὑπομεῖναι καὶ βωμολοχίαν, πείσαντος μὲν αὐτȢς εὐαγγέλια θύειν, ὡς νενικηκότας, ἐπεὶ δὲ, τῆς ἥττης ἀληθῶς ἀπαγγελθείσης, ἠγανάκτȢν, ἐρωτῶντος τὸν δῆμον, τί ἠδίκηται, τρεῖς ἡμέρας δι' αὐτὸν ἡδέως γεγονώς. οἱ μὲν Ȣν αὐλικοὶ κόλακες, ὥσπερ ὀρνιθοθῆραι, μιμέμενοι τῇ φωνῇ καὶ συνεξομοιȢντες ἑαυτȢς ὑποδύονται μάλιϛα καὶ προσάγȢσι δι' ἀπάτης τοῖς βασιλεῦσι· τῷ δὲ πολιτικῷ μιμεῖσθαι μὲν Ȣ προσήκει τȢ δήμȢ τὸν τρόπον, ἐπίϛασθαι δὲ καὶ χρῆσθαι πρὸς ἕκαϛον, οἷς ἁλώσιμός ἐϛιν· ἡ γὰρ ἄγνοια τῶν ἠθῶν ἀϛοχίας φέρει καὶ διαπτώσεις Ȣχ ἥττονας ἐν ταῖς πολιτείαις, ἢ ταῖς φιλίαις τῶν βασιλέων.

IV. Τὸ μὲν Ȣν τῶν πολιτῶν ἦθος ἰσχύοντα δεῖ καὶ πιϛευόμενον ἤδη πειρᾶσθαι ῥυθμίζειν ἀτρέμα πρὸς τὸ βέλτιον ὑπάγοντα καὶ πρᾴως μεταχειριζόμενον· ἐργώδης γὰρ ἡ μετάθεσις τῶν πολλῶν· αὐτὸς δ', ὥσπερ ἐν θεάτρῳ λοιπὸν ἀναπεπταμένῳ βιωσόμενος, ἐξάσκει καὶ κατα-

κόσμει

1 R. mavult ἀπέδωκαν ἄν.

2 Petav. μέλλοντος.

κόσμει τὸν τρόπον· εἰ δὲ μὴ ῥᾴδιον, ἀπαλλάξαι παντάπασι τῆς ψυχῆς τὴν κακίαν, ὅσα γεν ἐπανθεῖ μάλιςα καὶ προσπίπ]ει τῶν ἁμαρτημάτων, ἀφαιρῶν καὶ κολέων [1]. ἀκέεις γὰρ, ὅτι [2] Θεμιςοκλῆς ἅπτεσθαι τῆς πολιτείας διανοέμενος, ἀπέςησε τῶν πότων καὶ τῶν κώμων ἑαυτὸν, ἀγρυπνῶν δὲ καὶ νήφων καὶ πεφροντικὼς, λέγει [3] πρὸς τὲς συνήθεις, ὡς ἐκ ἐᾷ καθεύδειν αὐτὸν τὸ Μιλτιάδε τρόπαιον· Περικλῆς δὲ καὶ περὶ τὸ σῶμα καὶ τὴν δίαιταν ἐξήλλαξεν ἑαυτὸν ἠρέμα βαδίζειν [4], καὶ πρᾴως διαλέγεσθαι, καὶ τὸ πρόσωπον ἀεὶ συνεςηκὸς ἐπιδεικνύναι, καὶ τὴν χεῖρα συνέχειν ἐντὸς τῆς περιβολῆς, καὶ μίαν ὁδὸν πορεύεσθαι τὴν ἐπὶ τὸ βῆμα καὶ τὸ βελευτήριον. ἐ γὰρ εὐμεταχείριςον ἐδὲ ῥᾴδιον ἁλῶναι τὴν σωτήριον ἅλωσιν ὑπὸ τε τυχόντος ὄχλον [5], ἀλλ' ἀγαπητὸν, εἰ μήτ' ὄψει, μήτε φωνῇ πτυρόμενος [6], ὥσπερ θηρίον ὕποπ]ον καὶ ποικίλον, ἐνδέχοιτο τὴν ἐπιςασίαν. ἐ τοίνυν [7] ἐδὲ τέτων ἐπιμελητέον ἐςὶ παρέργως, ἦπε τῶν περὶ τὸν βίον καὶ τὸ ἦθος ἀμελητέον, ὅπως ᾖ ψόγε καθαρὰ καὶ διαβολῆς ἁπάσης. ἐ γὰρ ὧν λέγεσιν ἐν κοινῷ καὶ πράττεσιν οἱ πολιτευόμενοι μόνον εὐθύνας διδόασιν, ἀλλὰ καὶ δεῖπνον αὐτῶν πολυπραγμονεῖται, καὶ κοίτη, καὶ γάμος,

1 R. susp. post κολέων excidisse διατέλει, *persevera, perge.*

2 Petav. post ὅτι addit καὶ. Idem legitur in Ald. Bas. Argent.

3 R. mavult ἔλεγε.

4 R. susp. post βαδίζειν deesse συνεθίζων.

5 Ita R. legendum monuit pro vulg. ὄχλε, dedique cum W. ex Ald. Bas. Xyl. Argent. Petav. A. E. Mez. — *plebs nequit ab unoquoque homine triviali rectam in viam deduci.*

6 Ald. Bas. πυρόμενος; Xyl. corrigendum monuit in πτυρόμενος, Ms. consentiente. Est ita manu correctum in meo Argent. exemplari. Turn. V. Bong. πυρωμένη.

7 W. susp. εἰ τοίνυν, ex B. ὡς notans pro ἐ. Vulgo deinde ἦπε sic scriptum exhibetur, ut scribendum monet, non ἤπε, quod habet in textu & nota.

ρος, καὶ παιδιὰ, καὶ σπȣδὴ πᾶσα. τί γὰρ δεῖ [1] λέγειν Ἀλκιβιάδην, ὃν περὶ τὰ κοινὰ πάντων ἐνεργέςατον ὄντα καὶ ςρατηγὸν ἀήττητον, ἀπώλεσεν ἡ περὶ τὴν δίαιταν ἀναγωγία καὶ θρασύτης, καὶ τῶν ἄλλων ἀγαθῶν αὐτȣ̃ τὴν πόλιν ἀνόνητον ἐποίησε διὰ τὴν πολυτέλειαν καὶ τὴν ἀκολασίαν; ὅπȣ καὶ Κίμωνος ȣ̃τοι τὸν οἶνον, καὶ Ῥωμαῖοι Σκιπίωνος, ȣ̓δὲν ἄλλο ἔχοντες λέγειν, τὸν ὕπνον ᾐτιῶντο· Πομπήϊον δὲ Μαγνον ἐλοιδόρȣν οἱ ἐχθροὶ, παραφυλάξαντες ἑνὶ δακτύλῳ τὴν κεφαλὴν κνώμενον. ὡς γὰρ ἐν τῷ προσώπῳ φακὸς καὶ ἀκροχορδὼν δυσχεραίνεται μᾶλλον, ἢ ςίγματα καὶ κολοβότητες καὶ ȣ̓λαὶ τȣ̃ λοιπȣ̃ σώματος, ȣ̈τω τὰ μικρὰ φαίνεται μεγάλα τῶν ἁμαρτημάτων, ἐν ἡγεμονικοῖς καὶ πολιτικοῖς ὁρώμενα βίοις, διὰ δόξαν, ἣν οἱ πολλοὶ περὶ ἀρχῆς καὶ πολιτείας ἔχȣσιν, ὡς πράγματος μεγάλȣ καὶ καθαρεύειν ἀξίȣ πάσης ἀτοπίας καὶ πλημμελείας. εἰκότως ȣ̃ν Λιȣ̈ίος [2] Δρȣ̃σος, ὁ δημαγωγὸς, εὐδοκίμησεν, ὅτι, τῆς οἰκίας αὐτȣ̃ πολλὰ μέρη κάτοπτα τοῖς γειτνιῶσιν ἐχȣ́σης, καὶ τῶν τεχνιτῶν τινος ὑπισχνȣμένȣ ταῦτ' ἀποςρέψειν καὶ μεταθήσειν ἀπὸ πέντε μόνων ταλάντων· δέκα (ἔφη) λαβὼν, ὅλην μȣ ποίησον τὴν οἰκίαν καταφανῆ, ἵνα πάντες ὁρῶσιν οἱ πολῖται, πῶς διαιτῶμαι· καὶ γὰρ ἦν ἀνὴρ σώφρων καὶ κόσμιος. ἴσως δὲ ταύτης ȣ̓δὲν ἔδει τῆς καταφανείας αὐτῷ· διορῶσι γὰρ οἱ πολλοὶ καὶ τὰ πάνυ βαθέως περιαμπέχεσθαι δοκȣ̃ντα τῶν πολιτευομένων ἤθη καὶ βȣλεύματα, καὶ πράξεις καὶ βίȣς· ȣ̓χ ἧττον ἀπὸ τῶν ἰδίων ἢ τῶν δημοσίων ἐπιτηδευμάτων, τὸν μὲν φιλȣ̃ντες καὶ θαυμάζοντες, τὸν δὲ δυσχεραίνοντες καὶ καταφρονȣ̃ντες. τί ȣ̃ν

1 Petav. δὴ pro δεῖ.

2 Sic Xyl. nec non Paul. Leopard. Emend. 10, 17. legendum monuerunt, dedique cum W. idem e Mez. ſumente pro vulg. Ἰȣ́λιος. W. quidem Xyl. aliam ſcribendi rationem, nimirum Λίβιος, tribuit. Eſt haec fortaſſe in ejus editione; illa autem in adnotationibus legitur.

ὧν [1] δὴ ὀχὶ καὶ τοῖς ἀσελγῶς καὶ τεθρυμμένως ζῶσιν αἱ πόλεις χρῶνται; καὶ γὰρ αἱ κιττῶσαι λίθους, καὶ οἱ ναυτιῶντες ἁλμυρίδας καὶ τοιαῦτα βρώματα διώκουσι πολλάκις, εἶτ' ὀλίγον ὕστερον ἐξέπτυσαν καὶ ἀπεστράφησαν· οὕτω δὴ καὶ οἱ δῆμοι διὰ τρυφὴν καὶ ὕβριν, ἢ βελτιόνων ἀπορίᾳ δημαγωγῶν, χρῶνται τοῖς ἐπιτυχοῦσι, βδελυττόμενοι καὶ καταφρονοῦντες, εἶτα χαίρουσι τοιούτων εἰς αὐτοὺς λεγομένων, οἷα Πλάτων ὁ κωμικὸς τὸν δῆμον αὐτὸν λέγοντα ποιεῖ·

Λαβοῦ, λαβοῦ τῆς χειρὸς ὡς τάχιστά μου,
Μέλλω στρατηγὸν χειροτονεῖν Ἀγύῤῥιον [2].

καὶ πάλιν αἰτοῦντα λεκάνην καὶ πτερὸν, ὅπως ἐμέσῃ, λέγοντα·

Προσίσταταί μου πρὸς τὸ βῆμα μαντίλη [3],

καὶ

Βόσκει δυσώδη κεφαλὴν αἰσχίστην νόσον [4].

ὁ δὲ Ῥωμαίων δῆμος, ὑπισχνουμένου τι Κάρβωνος, καὶ προστιθέντος ὅρκον δή τινα καὶ ἀρὰν, ἀντώμοσεν ὁμοῦ μὴ πιστεύειν. ἐν δὲ Λακεδαίμονι τινὸς Δημοσθένους [5], ἀνδρὸς ἀκολάστου, γνώμην εἰπόντος ἁρμόζουσαν, ἀπέῤῥιψεν ὁ δῆμος, οἱ δ' Ἔφοροι κληρώσαντες ἕνα τῶν γερόντων, ἐκέλευσαν εἰπεῖν τὸν αὐτὸν λόγον ἐκεῖνον, ὥσπερ εἰς καθαρὸν ἀγγεῖον ἐκ ῥυπαροῦ μετακεράσαντες, ὅπως εὐπρόσδεκτος γένηται τοῖς πολλοῖς. οὕτω μεγάλην ἔχει ῥοπὴν ἐν πολιτείᾳ πίστις ἤθους, καὶ τοὐναντίον.

V.

1 Turn. V. Bong. τί δ' οὖν δή.

2 Petav. Ἀγύῤῥινον. De Agyrrhio Ariſtophan. in Plut. v. 176.

3 Quid vox μαντίλη valeat, non liquet. Ricardo videtur nomen neſcio cujus Demagogi Athenienſis fuiſſe, repugnante tamen vocis forma. Kaltw. ſuſp. adhibitam fuiſſe iſtam in contumeliam Agyrrhii.

4 Pro κεφαλὴν Mez. κραιπάλην; W. ſuſp. δυσῶδες κεφάλιον. Petav. νόσου.

5 Non arridet hoc nomen Xylandro. Suſp. leg. δημοτικοῦ.

V. Οὐ μὴν ἀμελητέον γε διὰ τοῦτο τῆς περὶ τὸν λόγον χάριτος καὶ δυνάμεως, ἐν ἀρετῇ θεμένους τὸ σύμπαν, ἀλλὰ τὴν ῥητορικὴν νομίσαντας [1] μὴ δημιουργὸν, ἀλλὰ συνεργὸν [2] εἶναι πειθοῦς, ἐπανορθωτέον τὸ τοῦ Μενάνδρου·

Τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος·

καὶ γὰρ ὁ τρόπος καὶ ὁ λόγος· εἰ μὴ νὴ Δία φήσει τις, ὡς τὸν κυβερνήτην ἄγειν τὸ πλοῖον, οὐ τὸ πηδάλιον, καὶ τὸν ἱππέα στρέφειν τὸν ἵππον, οὐ τὸν χαλινὸν, οὕτως πόλιν πείθειν, οὐ λόγῳ, ἀλλὰ τρόπῳ χρωμένην, ὥσπερ οἴακι καὶ χαλινῷ, τὴν πολιτικὴν ἀρετὴν, ὅπερ [3] εὐστροφώτατον ζῶον, ὥς φησι Πλάτων, οἷον ἐκ πρύμνης ἁπτομένην καὶ κατευθύνουσαν. ὅπου γὰρ οἱ μεγάλοι βασιλεῖς ἐκεῖνοι καὶ διογενεῖς, (ὡς Ὅμηρός φησιν) ἁλουργίσι καὶ σκήπτροις καὶ δορυφόροις καὶ θεῶν χρησμοῖς ἐξογκοῦσιν [4] ἑαυτοὺς, καὶ δουλέμενοι τῇ σεμνότητι τοὺς πολλοὺς, ὡς κρείττονες, ὅμως ἐβούλοντο μύθων τε [5] ῥητῆρες ἔμεναι, καὶ οὐκ ἠμέλουν τῆς τοῦ λέγειν χάριτος,

Οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν,
οὐδὲ Διὸς Βουλαίου [6] μόνου ἔχρῃζον, οὐδ' Ἄρεος Ἐνυαλίου

καὶ

1 Necesse duxi, hanc Mez. & R. correctionem recipere. Vulgo νομίσαντες. W. probabiliter fieri notat. Turn. V. Bong. νομίσαντες εἶναι μὴ —.

2 Vulgo ἀλλά τι συνεργὸν. Xyl. ex Ms. legit ἀλλά τοι. Idem e B. notatur. R. τι aut deleri voluit, aut cum τινὰ mutari. W. probat. Prius observavi.

3 Xyl. e scripto notat ὅθεν pro ὅπερ.

4 R. mavult ἐξογκοῦντες.

5 R. τε delendum monet. Pro seq. ἔμεναι cod. innominatus εἶναι, & pro λέγειν Petav. ἐλέγχειν.

6 Ald. Bas. βουλέου; Turn. V. Bong. βουλέωι βασιλέως; Petav. βουλαίου. Versus antecedens desumtus est ex Hom. Iliad. IX. 441.

καὶ Στρατιᾶς [1] Ἀθηνᾶς, ἀλλὰ καὶ τὴν Καλλιόπην παρεκάλουν, ἣ

— δὴ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ [2],

πραΰνουσα πειθοῖ καὶ καταιδοῦσα [3] τῶν δήμων τὸ αὔθαδες καὶ βίαιον. ἢ πῶ δυνατὸν [4], ἄνθρωπον ἰδιώτην ἐξ ἱματίου καὶ σχήματος δημοτικοῦ πόλιν ἄγειν βουλόμενον, ἐξισχῦσαι καὶ κρατῆσαι τῶν πολλῶν, εἰ μὴ λόγον ἔχει συμπείθοντα καὶ προσαγόμενον; οἱ μὲν οὖν τὰ πλοῖα κυβερνῶντες, ἑτέροις χρῶνται κελευσταῖς· ὁ δὲ πολιτικὸς ἐν ἑαυτῷ μὲν ὀφείλει τὸν κυβερνῶντα νοῦν ἔχειν, ἐν ἑαυτῷ δὲ τὸν ἐγκελευόμενον [5] λόγον, ὅπως μὴ δέηται φωνῆς ἀλλοτρίας, μηδ', ὥσπερ Ἰφικράτης, ὑπὸ τῶν περὶ Ἀριστοφῶντα καταῤῥητορευόμενος, λέγῃ· Βελτίων μὲν ὁ τῶν ἀντιδίκων ὑποκριτής, δρᾶμα δὲ τοὐμὸν ἄμεινον· μηδὲ πολλάκις δέηται τῶν Εὐριπιδείων ἐκείνων·

Εἴθ' ἦν ἄφωνον σπέρμα δυστήνων βροτῶν. καί·
Φεῦ [6], φεῦ τὸ μὴ τὰ πράγματ' ἀνθρώποις ἔχειν
Φωνήν, ἵν' ἦσαν μηδὲν οἱ δεινοὶ λέγειν.

ταῦτα [7] μὲν γὰρ ἴσως Ἀλκαμένει, καὶ Νησιώτῃ [8], καὶ

1 R mavult στρατίας, ut fuerit olim dictum στράτιος, στρατία, στράτιον, aut στρατίου potius, aut στρατίδος, vel στρατιαίας.

2 Hesiod. Theogon. 80.

3 Petav. κατειδοῦσα; R. mavult κατάδουσα. Vel idem, vel καταδέουσα susp. W.

4 Ita cum W. dedi ex Petav. Ald. Bas. consentientibus B. Xyl. Mez. & flagitante formulae usu, pro vulg. ἀδύνατον, quod Steph. habuit ex Schott. Leonic. Ancn.

5 Petav. ἐκκελευόμενον. Id. paulo infra βέλτιον pro βελτίων.

6 Semel tantum haec vocula exhibetur in Frft. & R. Iteravi e Petav. & edd. prioribus.

7 R. mavult ταύτῃ, hac ratione, via, vel porta.

8 R. ad haec: „Ex hoc loco colligo, Euripidam Alcamenis nomine fabulam edidisse, eumque Alcamenem non illum Spartae Regem, Telecli filium, sed aliquem hominem insulanum fuisse, qua de fabula nihil apud Fabricium reperio T. I. B. Gr. p 647.

καὶ Ἰκτίνῳ [1], καὶ πᾶσι τοῖς βαναύσοις καὶ χειρώναξι τὸ δύνασθαι λέγειν ἀπεμνυμένοις [2], δοτέον ἀποδιδράσκειν· ὥσπερ Ἀθήνησιν ἀρχιτεκτόνων ποτὲ δυεῖν ἐξεταζομένων πρὸς δημόσιον ἔργον, ὁ μὲν αἱμύλος καὶ κομψὸς εἰπεῖν, λόγον τινὰ διελθὼν περὶ τῆς κατασκευῆς μεμελετημένον, ἐκίνησε τὸν δῆμον· ὁ δὲ βελτίων τῇ τέχνῃ, λέγειν δ' ἀδύνατος, παρελθὼν εἰς μέσον· Ἄνδρες (εἶπεν [3]) Ἀθηναῖοι, ὡς οὗτος εἴρηκεν, ἐγὼ ποιήσω. τὴν γὰρ Ἐργάνην οὗτοι μόνον θεραπεύουσιν (ὥς φησι Σοφοκλῆς) οἱ παρ' ἄκμονι τυπάδι βαρείᾳ καὶ πληγαῖς ὑπακούουσαν ὕλην ἄψυχον δημιουργοῦντες. ὁ δὲ τῆς Πολιάδος Ἀθηνᾶς καὶ τῆς Βουλαίας Θέμιδος,

Ἥ τ' ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει [4],

προφήτης, ἑνὶ χρώμενος ὀργάνῳ τῷ λόγῳ, τὰ μὲν πλάττων καὶ συναρμόττων, τὰ δ' ἀντιστατοῦντα πρὸς τὸ ἔργον, [5] ὥσπερ ὄζους τινὰς ἐν ξύλῳ, καὶ διπλόας ἐν σιδήρῳ, μαλάσσων καὶ καταλεαίνων, κοσμεῖ τὴν πόλιν. διὰ τοῦτο ἡ κατὰ Περικλέα πολιτεία λόγῳ μὲν [6] (ὥς φησι Θουκυδίδης) δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχὴ διὰ τὴν τοῦ λόγου δύναμιν. ἐπεὶ καὶ Κίμων ἀγαθὸς ἦν, καὶ Ἐφιάλτης, καὶ Θουκυδί-

 δης·

p. 647. ubi Alcmenam quidem habet, at ea huc non pertinet. Post Alcamenis nomen videtur καὶ delendum esse." W. notat, Mez. corrigere Νησιοκλεῖ ex Plin. XXXIV, 8. & certe esse nomen proprium monet.

1 Sic Xyl. legendum conjecit, dedique cum W. accedentibus B. & Jannot. Vulgo Ἰκτίῳ.

2 Turn. V. Bong. ἀπωσαμένοις.

3 Petav. παρελθὼν εἶπεν· Ἄνδρες Ἀθ. caeteris omissis. Ab eod. abest mox sequens γάρ.

4 Hom. Odyss. II, 69.

5 R. notante, locum hunc e Platone sumtum esse demonstravit Ruhnken. ad Timaei Lexic. p. 203. Διπλόη in ferro est, cum in ipsa fusione bullas contrahit, quo molle, spongiosum & squamosum fit.

6 Addendum, W. judice, ἦν. Cf. Thucyd. II, 65.

δης· ἀλλ' ἐρωτηθεὶς οὗτος ὑπ' Ἀρχιδάμου, βασιλέως τῶν Σπαρτιατῶν, πότερον αὐτὸς, ἢ Περικλῆς, παλαίει βέλτιον· Οὐκ ἂν εἰδείη [1] τις· (εἶπεν) ὅταν γὰρ ἐγὼ καταβάλω παλαίων, ἐκεῖνος λέγων μὴ πεπτωκέναι, νικᾷ καὶ πείθει τοὺς θεωμένους. τοῦτο δ' οὐκ αὐτῷ μόνῳ ἐκείνῳ δόξαν, ἀλλὰ καὶ τῇ πόλει σωτηρίαν ἔφερε. πειθομένη γὰρ αὐτῷ τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἔσωζε, τῶν δ' ἐκτὸς ἀπείχετο. Νικίας δὲ τὴν αὐτὴν προαίρεσιν ἔχων, πειθοῦς δὲ τοιαύτης ἐνδεὴς ὢν, καὶ καθάπερ ἀμβλεῖ χαλινῷ τῷ λόγῳ πειρώμενος ἀποστρέφειν τὸν δῆμον, οὐ κατέσχεν [2], οὐδ' ἐκράτησεν, ἀλλ' ᾤχετο βίᾳ φερόμενος εἰς Σικελίαν καὶ συνεκτραχηλιζόμενος. τὸν μὲν οὖν λύκον οὔ φασι τῶν ὤτων κρατεῖν· δῆμον δὲ καὶ πόλιν ἐκ τῶν ὤτων ἄγειν δεῖ μάλιστα, μὴ, καθάπερ ἔνιοι τῶν ἀγυμνάστων περὶ λόγον [3] λαβὰς ἀμούσους καὶ ἀτέχνους ζητοῦντες ἐν τοῖς πολλοῖς, τῆς γαστρὸς ἕλκουσιν εὐωχοῦντες, ἢ τοῦ βαλαντίου διδόντες, ἢ πυῤῥίχας τινὰς ἢ μονομάχων θεάματα παρασκευάζοντες ἀεὶ δημαγωγοῦσι, μᾶλλον δὲ δημοκοποῦσι. δημαγωγία γὰρ ἡ διὰ λόγου [4] πειθομένων ἐστίν· αἱ δὲ τοιαῦται τιθασσεύσεις τῶν ὄχλων, οὐδὲν ἀλόγων ζώων ἄγρας καὶ βουκολήσεως διαφέρουσιν.

VI. Ὁ μέντοι λόγος ἔστω τοῦ πολιτικοῦ μήτε νεαρὸς καὶ θεατρικὸς, ὥσπερ πανηγυρίζοντος καὶ στεφανηπλοκοῦντος ἐξ ἁπαλῶν [5] καὶ ἀνθηρῶν ὀνομάτων· μήτ' αὖ πάλιν, ὡς ὁ Πυθέας τὸν Δημοσθένους ἔλεγεν, ἐλλυ-

χνίων

1 R. susp. οὐκ ἂν εἴπῃ τις.

2 Petav. οὐκ ἀπέσχεν.

3 Ita Xyl. legit, dedique e Petav. pro vulg. λόγων. R. maluit λόγοις. W. quoque recepit λόγον, nulla tamen subjecta adnotatione.

4 Turn. V. Bong. διὰ λόγων.

5 Petav. ἁπλῶν.

χνίων ὄζων [1] καὶ σοφιστικῆς περιεργίας ἐνθυμήμασι πικροῖς [2] καὶ περιόδοις πρὸς κανόνα καὶ διαβήτην ἀπηκριβωμέναις [3]. ἀλλ' ὥσπερ οἱ μουσικοὶ τὴν θίξιν ἀξιοῦσι τῶν χορδῶν ἠθικὴν καταφαίνεσθαι, μὴ κρουστικήν, οὕτω τῷ λόγῳ [4] τοῦ πολιτευομένου καὶ συμβουλεύοντος καὶ ἄρχοντος ἐπιφαινέσθω μὴ δεινότης, μηδὲ πανουργία, μηδ' εἰς ἔπαινον αὐτοῦ τιθέσθω τὸ ἑκτικῶς, ἢ τεχνικῶς, ἢ διαιρετικῶς [5], ἀλλ' ἤθους ἁπλάστου καὶ φρονήματος ἀληθινοῦ, καὶ παῤῥησίας πατρικῆς, καὶ προνοίας, καὶ συνέσεως κηδομένης ὁ λόγος ἔστω μεστὸς, ἐπὶ τῷ καλῷ τὸ κεχαρισμένον ἔχων καὶ ἀγωγὸν, ἔκ τε σεμνῶν ὀνομάτων καὶ νοημάτων ἰδίων [6] καὶ πιθανῶν. δέχεται δὲ ὁ πολιτικὸς λόγος δικανικοῦ [7] μᾶλλον καὶ γνωμολογίας, καὶ ἱστορίας, καὶ μύθους, καὶ μεταφορὰς, αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρόν· ὡς ὁ εἰπών· Μὴ ποιήσητε [8] ἑτερόφθαλμον τὴν Ἑλλάδα· καὶ Δημάδης,



1 Ita R. & Mez. legendum monuerunt, dedique, W. probante, pro vulg. ὄζειν.

2 Iterum R. voluit πικρὸς. Schott. & Mez. πυκνοῖς. W. judice, potuit rectius scriptum fuisse ab auctore ψυχροῖς vel γλίσχροις. Conf. Plut. Demosth. Vol. V. p. 267. not. 1. & p. 269. lin. 4. Ernesti (*Lexic. technologiae Graecorum rhetoricae* in v πικραίνειν, πικρὸς) tuetur usum vocis πικρὸς contra conjecturas & emendationes aliorum. Eo docente, πικρὰ ἐνθυμήματα sunt *sententiae acutulae*, eoque *molestae*, ex nimio studio quo excogitatae vel dispositae sunt in oratione.

3 Petav. ἀποκρινομέναις.

4 Petav. τοῦ λόγου.

5 R. monente, vid. Interpp. Petronii ad illud: *causas in divisione agere.*

6 R. susp. ἡδέων.

7 Ald. Bas. Petav. δικανικοὺς, quod Xyl. etiam e Ms. notavit. Idem correxit locum.

8 Spartanorum dictum, Erianthο Thebano Athenas, a Lysandro victas, delendas censente. Kaltw.

μάδης, τὰ ναυάγια, λέγων, πολιτεύεσθαι τῆς πόλεως· καὶ ὁ Ἀρχίλοχος·

Μηδὲ ὁ Ταντάλε λίθος τῆσδ' ὑπὲρ νήσε κρεμάσθω [1]· καὶ Περικλῆς τὴν λήμην τε Πειραιῶς ἀφελεῖν [2] κελεύων· καὶ Φωκίων ἐπὶ τῆς Λεωσθένες νίκης, καλὸν τὸ ςάδιον εἶναι, δεδιέναι δὲ τε πολέμε τὸν δολιχόν· καθόλε δὲ ὁ μὲν ὄγκος καὶ τὸ μέγεθος τῷ πολιτικῷ μᾶλλον ἁρμόττει· παράδειγμα δὲ οἵ τε Φιλιππικοὶ, καὶ τῶν Θεκυδίδε δημηγοριῶν [3], ἡ Σθενελαΐδα τε Ἐφόρε, καὶ Ἀρχιδάμε τε βασιλέως ἐν Πλαταιαῖς, καὶ Περικλέες ἡ μετὰ τὸν λοιμόν· ἐπὶ [4] δὲ τῶν Ἐφόρε καὶ Θεοπόμπε καὶ Ἀναξιμένες [5] ῥητορειῶν καὶ περιόδων, ἃς περαίνεσιν ἐξοπλίσαντες τὰ ςρατεύματα καὶ παρατάξαντες, ἔςιν εἰπεῖν·

Οὐδεὶς σιδήρε ταῦτα μωραίνει πέλας.

VII. Οὐ μὴν ἀλλὰ καὶ σκῶμμα καὶ γελοῖον ἔςιν ὅτε γίνεται πολιτικε λόγε μέρος, εἰ μὴ πρὸς ὕβριν ἢ βωμολοχίαν, ἀλλὰ χρησίμως ἐπιπλήττοντος ἢ διασύροντος λέγοιτο [6]. μάλιςα δ' εὐδοκιμεῖ τὰ τοιαῦτα περὶ τὰς ἀμείψεις καὶ τὰς ἀπαντήσεις. τὸ γὰρ ἐκ παρασκευῆς καὶ κατάρχοντα, γελωτοποιεντός ἐςι, καὶ δόξα κακοηθείας πρόσεςιν· ὡς προσῆν τοῖς Κικέρωνος σκώμμασι, καὶ τοῖς Κάτωνος τε πρεσβυτέρε, καὶ Εὐξιθέε, τε Ἀριςοτέλες συνήθες· ἔτοι γὰρ ἔσκωπτον πολλάκις ἀρχόμενοι. ἀμυναμένῳ δὲ συγγνώμην ἅμα καὶ χάριν ὁ καιρὸς

1 i. e. ab insula (Paro haud dubie, Archilochi patria) longe absint pericula. Kaltw.

2 Vid. Plut. Demosth. Vol. V. p. 257. not. 7. & Pericl. Vol. I. p. 390.

3 Vid. Thucyd. I. c. 86. II. c. 72. & 60. sqq.

4 Turn. V. Bong. Petav. ἔτι. Idem Xyl. e Ms. notat, nec probat.

5 De Anaximene Lampsaceno, rhetore & historico, vid. Fabr. B. Gr. T. II. p. 208.

6 R. monente aut γίνοιτο legendum, aut ἀλλ' ὑπὸ χρησ. ἐπ.

καιρὸς δίδωσι· καθάπερ Δημοσθένει [1] πρὸς τὸν αἰτίαν ἔχοντα κλέπτειν, χλευάζοντα δ' αὐτȣ̃ τὰς νυκτογραφίας· Οἶδα, ὅτι σε λυπῶ λύχνον καίων· καὶ πρὸς Δημάδην βοῶντα· Δημοσθένης ἐμὲ βȣ́λεται διορθȣ̃ν, ἡ ὗς τὴν Ἀθηνᾶν· Αὕτη μέντοι πέρυσιν ἡ Ἀθηνᾶ μοιχεύȣσα ἐλήφθη· χάριεν δὲ καὶ τὸ Ξεναινέτȣ πρὸς τȣ̀ς πολίτας λοιδορȣ̃ντας αὐτὸν, ὅτι ϛρατηγὸς ὢν πέφευγε· Μεθ' ὑμῶν γε, ὦ φίλαι κεφαλαί. τὸ δ' ἄγαν φυλακτέον ἐν τῷ γελοίῳ, καὶ τὸ λυπȣ̃ν ἀκαίρως τȣ̀ς ἀκȣ́οντας, ἢ τὸν λέγοντα ποιȣ̃ν ἀγεννῆ καὶ ταπεινὸν, ὥσπερ τὰ Δημοκράτȣς· ἀναβαίνων μὲν γὰρ εἰς τὴν ἐκκλησίαν, ἔφη, καθάπερ ἡ πόλις, μικρὸν ἰσχύειν καὶ μέγα φυσᾶν· ἐν δὲ τοῖς Χαιρωνικοῖς παρελθὼν εἰς τὸν δῆμον· Οὐκ ἂν ἐβȣλόμην κακῶς ȣ̔́τω πεπραχέναι τὴν πόλιν, ὥϛε κἀμȣ̃ συμβȣλεύοντος ὑμᾶς ἀκȣ́ειν· καὶ γὰρ καὶ τȣ̃το μικρȣ̃, κἀκεῖνο μανικȣ̃, πολιτικῷ δ' ȣ̓δ' ἕτερον ἁρμόττον [2]. Φωκίωνος δὲ καὶ τὴν βραχυλογίαν ἐθαύμαζον· ὁ γȣ̃ν Πολύευκτος ἀπεφαίνετο [3], ῥήτορα μέγιϛον εἶναι Δημοσθένην, δεινότατον δ' εἰπεῖν Φωκίωνα· πλεῖϛον γὰρ αὐτȣ̃ τὸν λόγον λέξει βραχυτάτῃ νȣ̃ν περιέχειν. καὶ ὁ Δημοσθένης τῶν ἄλλων καταφρονῶν, εἰώθει λέγειν, ἀνιϛαμένȣ Φωκίωνος· Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίϛαται.

VIII. Μάλιϛα μὲν ȣ̓̃ν ἐσκεμμένῳ πειρῶ καὶ μὴ διακένῳ τῷ λόγῳ χρῆσθαι πρὸς τȣ̀ς πολλȣ̀ς, μετ' ἀσφαλείας, εἰδὼς, ὅτι καὶ Περικλῆς ἐκεῖνος ηὔχετο πρὸ τȣ̃ δημηγορεῖν μηδὲ ῥῆμα μηδὲν ἀλλότριον τῶν πραγμάτων ἐπελθεῖν αὐτῷ. δεῖ δὲ ὅμως καὶ πρὸς τὰς ἀπαντήσεις τὸν λόγον εὔϛροφον ἔχειν καὶ γεγυμνασμένον· ὀξεῖς γὰρ οἱ καιροὶ, καὶ πολλὰ φέροντες ἐν ταῖς πολιτείαις αἰφνίδια. διὸ καὶ Δημοσθένης ἠλαττȣ̃το πολλῶν (ὥς φασι)



1 Plut. Demosth Vol. V. p. 274.
2 Cod. quidam innominatus ἁρμόζον.
3 Plut. Demosth. l. c. p. 272.

φασι) παρὰ τὸν καιρὸν ἀναδυόμενος καὶ κατοκνῶν· Ἀλκιβιάδην δὲ, ὁ [1] Θεόφραστος ἱστορεῖ, μὴ μόνον, ἃ δεῖ, λέγειν, ἀλλὰ καὶ ὡς δεῖ βουλόμενον, πολλάκις ἐν αὐτῷ τῷ λέγειν ζητοῦντα καὶ συντιθέντα τὰς λέξεις, ἐνίσχεσθαι καὶ διαπίπτειν. ὁ δ' ἀπὸ [2] τῶν πραγμάτων αὐτῶν ἀνιστάμενος καὶ ὑπὸ τῶν καιρῶν, ἐκπλήττει μάλιστα καὶ προσάγεται τοὺς πολλοὺς καὶ [3] μετατίθησιν. οἷον ὁ Βυζάντιος Λέων ἧκε δή ποτε τοῖς Ἀθηναίοις στασιάζουσι διαλεξόμενος· ὀφθεὶς δὲ μικρὸς καὶ γελασθείς· Τί δὲ, (εἶπεν) εἰ τὴν γυναῖκά μου ἐθεάσασθε [4] μόλις ἐξικνουμένην πρὸς τὸ γόνυ; πλείων οὖν ἐγένετο γέλως· Ἀλλ' ἡμᾶς, (ἔφη) μικροὺς οὕτως ὄντας, ὅταν διαφερώμεθα πρὸς ἀλλήλους, ἡ Βυζαντίων πόλις οὐ χωρεῖ. Πυθέας δὲ ὁ ῥήτωρ, ὅτε πρὸς τὰς Ἀλεξάνδρου τιμὰς ἀντέλεγεν, εἰπόντος τινός· Οὕτω σὺ νέος ὢν περὶ πραγμάτων τολμᾷς λέγειν τηλικούτων; Καὶ μὴν Ἀλέξανδρος (εἶπεν) ἐμοῦ νεώτερός ἐστιν, ὃν ψηφίζεσθε θεὸν εἶναι.

IX. Δεῖ δὲ καὶ φωνῆς εὐεξίᾳ καὶ πνεύματος ῥώμῃ πρὸς οὐ φαῦλον ἀλλὰ πάμμαχον ἀγῶνα τὸν τῆς πολιτείας ἠθληκότα κομίζειν τὸν λόγον, ὡς μὴ πολλάκις ἀπαγορεύοντα καὶ σβεννύμενον ὑπερβάλλοι τις αὐτὸν

Ἅρπαξ κεκράκτης [5], κυκλοβόρου φωνὴν ἔχων.

Κάτων δὲ, περὶ ὧν οὐκ ἤλπιζε πείσειν, τῷ προκατέχεσθαι χάρισι καὶ σπουδαῖς τὸν δῆμον ἢ τὴν βουλὴν, ἔλεγε τὴν ἡμέραν ὅλην ἀναστὰς, καὶ τὸν καιρὸν οὕτως ἐξέκρουε. περὶ μὲν οὖν τῆς τοῦ λόγου παρασκευῆς καὶ χρείας ἱκανὰ ταῦτα τῷ δυναμένῳ τὸ ἀκόλουθον προσεξευρίσκειν.

X.

1 abeſt ὁ a Petav.

2 R. mavult ὑπὸ — *ipſis a rebus juſſus ſurgere.*

3 abeſt καὶ a Petav.

4 Petav. θεάσασθαι. Leo Byzantius fuit diſcipulus Platonis, Demoſtheni aequalis.

5 Ald. Baſ. Petav. καὶ κράκτης. Xyl. Ms. καὶ κράτης. Idem ex Ariſtoph. Equit. v. 137. correxit. Cycloborus torrens fuit apud Athenas.

X. Εἰσβολαὶ δὲ καὶ ὁδοὶ δύο τῆς πολιτείας εἰσὶν, ἡ μὲν ταχεῖα καὶ λαμπρὰ πρὸς δόξαν, ἐ μὴν ἀκίνδυνος· ἡ δὲ πεζοτέρα καὶ βραδυτέρα, τὸ δ' ἀσφαλὲς ἔχεσα μᾶλλον. οἱ μὲν γὰρ εὐθὺς, ὥσπερ ἐξ ἄκρας πελαγίε, πράξεως ἐπιφανε͂ς καὶ μεγάλης, ἐχέσης δὲ τόλμαν, ἄραντες, ἀφῆκαν ἐπὶ τὴν πολιτείαν, ἡγέμενοι λέγειν ὀρθῶς τὸν Πίνδαρον [1], ὡς

Ἀρχομένε ἔργε πρόσωπον χρὴ θέμεν τηλαυγές.

καὶ γὰρ δέχονται προθυμότερον οἱ πολλοὶ κόρῳ τινὶ καὶ πλησμονῇ τῶν συνήθων τὸν ἀρχόμενον, ὥσπερ ἀγωνιστὴν θεαταὶ, καὶ τὸν φθόνον ἐκπλήττεσιν αἱ λαμπρὰν ἔχεσαι καὶ ταχεῖαν αὔξησιν ἀρχαὶ καὶ δυνάμεις. ἔτε γὰρ πῦρ, φησὶν ὁ Ἀρίστων, καπνὸν ποιεῖν, ἔτε δόξαν φθόνον, ἢν [2] εὐθὺς ἐκλάμψῃ καὶ ταχέως, ἀλλὰ τῶν κατὰ μικρὸν αὐξανομένων καὶ σχολαίως [3], ἄλλον ἀλλαχόθεν ἐπιλαμβάνεσθαι. διὸ πολλοὶ, πρὶν ἀνθῆσαι περὶ τὸ βῆμα, κατεμαράνθησαν. ὅπε δὲ, ὥσπερ ἐπὶ τε͂ Λάδα λέγεσιν,

Ὁ ψόφος ἦν ὕσπληγγος ἐν ἔασιν, ἔνθα καὶ ἐστεφανε͂το [4],

πρεσβεύων, ἢ θριαμβεύων, ἢ στρατηγῶν ἐπιφανῶς, ἔτε οἱ φθονε͂ντες, ἔτε οἱ καταφρονε͂ντες ὁμοίως ἐπὶ τέτων [5] ἰσχύεσιν· ἔτω παρῆλθεν εἰς δόξαν Ἄρατος, ἀρχὴν ποιησάμενος πολιτείας τὴν Νικοκλέες τε͂ τυράννε κατάλυσιν·



1 Olymp. VI, 4. 5.

2 Baſ. pro ἦν dat ἢ; Vulc. ἤ.

3 abſunt a Petav καὶ σχολαίως.

4 Xyl. judice, locus eſt mutilatus. *Ladas* inſigni velocitate celeber. In Corſini Indic. Olympionicarum duo hujus nominis memorantur. Alter, ex Aegio ortus, victor fuit Olymp. 125: alterius, Spartani, ætas incerta eſt. Verſus ipſe e vetuſto epigrammate Graeco (Anthol. II, 1. 9.) deſumtus eſt, & inde corrigendus ἔασι, καὶ στεφανε͂ται — tanta celeritate ſtadium confecit, ut, adhuc ſonante a laxatione carcerum funiculo, ipſe coronam adeptus dicatur.

5 Turn. V. Bong. ἐπὶ τοιέτων.

ὄντως Ἀλκιβιάδης [1], τὰ Μαντινικὰ συςήσας ἐπὶ Λακεδαιμονίους. Πομπήϊος δὲ καὶ θριαμβεύειν ἠξίου μήπω παριὼν εἰς σύγκλητον· οὐκ ἐῶντος δὲ Σύλλα· Πλείονες (ἔφη) τὸν ἥλιον ἀνατέλλοντα προσκυνοῦσιν, ἢ δυόμενον· καὶ Σύλλας ὑπεῖξε, τοῦτ' ἀκούσας. καὶ Σκιπίωνα [2] δὲ Κορνήλιον, οὐκ ἀφ' ἧς ἔτυχεν ἀρχῆς [3] ὁ Ῥωμαίων δῆμος ἀγορανομίαν μετερχόμενον, ἐξαίφνης ὕπατον ἀπέδειξε παρὰ τὸν νόμον, ἀλλὰ [4] θαυμάσας αὐτοῦ, μειρακίου μὲν ὄντος, τὴν ἐν Ἰβηρίᾳ μονομαχίαν καὶ νίκην, μικρὸν δὲ ὕςερον τὰ πρὸς Καρχηδόνι [5] χιλιαρχοῦντος ἔργα, περὶ ὧν καὶ Κάτων ὁ πρεσβύτερος [6] ἀνεφώνησεν·

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀίσσουσιν [7].

νῦν οὖν ὅτε τὰ πράγματα τῶν πόλεων οὐκ ἔχει πολέμων ἡγεμονίας, οὐδὲ τυραννίδων καταλύσεις, οὐδὲ συμμαχικὰς πράξεις, τίνα ἄν τις ἀρχὴν ἐπιφανοῦς λάβοι καὶ λαμπρᾶς πολιτείας; αἱ δίκαι γε [8] λείπονται αἱ δημόσιαι, καὶ πρεσβεῖαι πρὸς αὐτοκράτορα, ἀνδρὸς διαπύρου καὶ θάρσος ἅμα καὶ νοῦν ἔχοντος δεόμεναι. πολλὰ δέ ἐςι καὶ τῶν παρειμένων ἐν ταῖς πόλεσι καλῶν ἀναλαμβάνοντα, καὶ τῶν ἐξ ἔθους φαύλου παραδυομένων ἐπ' αἰσχύνῃ τινὶ τῆς πόλεως, ἢ βλάβῃ, μεθιςάντα πρὸς αὐτὸν ἐπιςρέφειν [9]. ἤδη δὲ καὶ δίκη μεγάλη καλῶς δικαθεῖσα, καὶ πίςις ἐν συνηγορίᾳ πρὸς ἀντίδικον ἰσχυρὸν

1 Thucyd. V, 45. sqq.

2 Petav. Σκηπίωνα, & ita saepius.

3 R. monente, ἀρχὴ hic loci videtur idem esse, atque αἰτία, vel ἀφορμὴ, aut πρόφασις, ut Latini quoque *principium* sic usurpant.

4 Petav. ἀλλὰ καὶ.

5 Turn. V. Bong. Καρχηδονίους.

6 Petav. Ald. Bas. Argent. πρεσβύτατος.

7 Odyss. X, 495.

8 R. praemissum articulum censet delendum, & γε in τε mutandum.

9 Nisi addendum, quod W. mavult, saltim subaudiendum τὴν πόλιν.

ρὸν ὑπὲρ ἀσθενοῦς, καὶ παῤῥησία πρὸς ἡγεμόνα μοχθηρὸν ὑπὲρ τοῦ δικαίου, κατέστησεν ἐνίους εἰς ἀρχὴν πολιτείας ἔνδοξον. οὐκ ὀλίγοι δὲ καὶ δι' ἔχθρας ηὐξήθησαν, ἐπιχειρήσαντες ἀνθρώποις ἐπίφθονον ἔχουσιν ἀξίωμα καὶ φοβερόν· εὐθὺς γὰρ ἡ τοῦ καταλυθέντος ἰσχὺς, τῷ κρατήσαντι μετὰ βελτίονος δόξης ὑπάρχει. τὸ μὲν γὰρ ἀνδρὶ χρηστῷ καὶ δι' ἀρετὴν πρωτεύοντι προσμάχεσθαι κατὰ φθόνον, ὡς Περικλεῖ Σιμμίας, Ἀλκμαίων δὲ Θεμιστοκλεῖ, Πομπηΐῳ δὲ Κλώδιος, Ἐπαμεινώνδᾳ δὲ Μενεκλείδης ὁ ῥήτωρ, οὔτε πρὸς δόξαν καλὸν, οὔτ' ἄλλως συμφέρον· ὅταν γὰρ ἐξαμαρτόντες οἱ πολλοὶ πρὸς ἄνδρα χρηστὸν, εἶτα (ὃ γίνεται) ταχέως [1] ἐπ' ὀργῇ μετανοήσωσι, πρὸς τοῦτο [2] τὴν ῥᾴστην ἀπολογίαν δικαιοτάτην νομίζουσιν, ἐπιτρίψαι τὸν ἀναπείσαντα καὶ καταρξάμενον. τὸ μέντοι φαῦλον ἄνθρωπον, ἀπονοίᾳ δὲ καὶ δεινότητι πεποιημένον ὑφ' αὐτῷ τὴν πόλιν, οἷος ἦν Κλέων Ἀθήνησι καὶ Κλειτοφῶν ἐπαναστάντα ταπεινῶσαι καὶ καθελεῖν, λαμπρὰν ποιεῖται τὴν πάροδον, ὥσπερ δράματος, τῆς πολιτείας. οὐκ ἀγνοῶ δὲ [3], ὅτι καὶ βουλήν τινες ἐπαχθῆ καὶ ὀλιγαρχικὴν κολούσαντες, ὥσπερ Ἐφιάλτης Ἀθήνησι, καὶ Φορμίων παρ' Ἠλείοις, δύναμιν ἅμα καὶ δόξαν ἔσχον· ἀλλὰ μέγας ἀρχομένῳ πολιτείας οὗτος ὁ κίνδυνός ἐστι. διὸ βελτίονα Σόλων ἔλαβεν ἀρχὴν, διεστώσης εἰς τρία μέρη τῆς πόλεως, τὸ τῶν Διακρίων λεγομένων, καὶ τὸ τῶν Πεδιέων, καὶ τὸ τῶν Παραλίων· οὐδενὶ γὰρ ἐμμίξας ἑαυτὸν, ἀλλὰ κοινὸς ὢν πᾶσι, καὶ πάντα λέγων καὶ πράττων πρὸς ὁμόνοιαν, ᾑρέθη νομοθέτης ἐπὶ τὰς διαλύσεις, καὶ κατέστησεν οὕτω τὴν ἀρχήν. ἡ μὲν οὖν ἐπιφανεστέρα πάροδος εἰς τὴν πολιτείαν τοσαύτας ἔχει καὶ τοιαύτας ἀρχάς.

XI.

1 R. susp. ταχέως ἔτι θερμῇ ἐπ' ὀργῇ.

2 absunt πρὸς τοῦτο ab Ald. Bas. Argent. Petav.

3 abest δὲ a Petav.

XI. Τὴν δ' ἀσφαλῆ καὶ σχολαίαν εἵλοντο πολλοὶ τῶν ἐνδόξων, Ἀρισείδης, Φωκίων, Παμμένης ὁ Θηβαῖος, Λεύκολλος ἐν Ῥώμῃ, Κάτων, Ἀγησίλαος ὁ Λακεδαιμόνιος· τέτων γὰρ ἕκασος (ὥσπερ οἱ κιττοὶ τοῖς ἰχύεσι τῶν δένδρων περιπλεκόμενοι συνεξανίσανται) προσδραμὼν ἀνδρὶ πρεσβυτέρῳ, ἔτι νέος, καὶ ἄδοξος ἐνδόξῳ, κατὰ μικρὸν αἰρόμενος ὑπὸ τῆς περὶ ἐκεῖνον δυνάμεως, καὶ συναυξανόμενος, ἤρεισε καὶ κατεῤῥίζωσεν ἑαυτὸν εἰς τὴν πολιτείαν. Ἀρισείδην μὲν γὰρ ηὔξησε Κλεισθένης, καὶ Φωκίωνα Χαβρίας, Λεύκολλον [1] δὲ Σύλλας, Κάτωνα δὲ Μάξιμος, Ἐπαμεινώνδαν δὲ Παμμένης [2], καὶ Λύσανδρος Ἀγησίλαον· ἀλλ' ἕτος μὲν φιλοτιμίας ἀκαίρε καὶ ζηλοτυπίας δόξαν ὑβρίσας [3], ἀπέῤῥιψε ταχὺ τὸν καθηγεμόνα τῶν πρακτέων· οἱ δ' ἄλλοι καλῶς καὶ πολιτικῶς καὶ ἄχρι τέλες ἐθεράπευσαν καὶ συνεπεκόσμησαν, ὥσπερ τὰ πρὸς ἥλιον ὑφιςάμενα σώματα, τὸ λαμπρῦνον αὐτὲς πάλιν ἀφ' ἑαυτῶν αὔξοντες καὶ συνεκφωτίζοντες. οἱ γῦν Σκιπίωνι βασκαίνοντες ὑποκριτὴν αὐτὸν ἀπεφαίνοντο τῶν πράξεων, ποιητὴν δὲ Λαίλιον τὸν ἑταῖρον· ὁ δὲ Λαίλιος ὑπ' ἐδενὸς ἐπήρθη τέτων, ἀλλ' ἀεὶ διετέλεσε τῇ Σκιπίωνος ἀρετῇ καὶ δόξῃ συμφιλοτιμέμενος. Ἀφράνιος [4] δὲ, Πομπηΐε φίλος, εἰ

1 Historiae hoc repugnare, Kaltw. monet, & pro Λεύκολλον, vel ipsius Plutarchi errore, vel librariorum culpa nominatum, reponi vult & vertit Πομπήϊον.

2 Diversum esse hunc Pammenem ab illo, cujus in Sympos. I, 2. c. 6. (Vol. XI. pag. 21.) mentio fit facta, R. statuit, cum ille Pammenes suppar Epaminondae fuerit. Kaltw. legi vult Ἐπαμεινώνδαν δὲ Παμμένη, & ita vertit.

3 R. susp. δόξῃ ἐξυβρίσας, *ex vana persuasione aemulationis ei insultans*; W. deesse quid ad integritatem notat, probans Mez. correctionem ὑπὸ φιλοτιμίας, sed praeterea legendum monens δόξας ὑβρίσθαι.

4 Ald. Bas. Argent. Ἀφρικανός. Xyl. correxit. Afranius, Pompeji bello Mithridatico legatus, ejusdem singulari studio Consula-

εἰ καὶ πάνυ ταπεινὸς ἦν, ὅμως ἐπίδοξος ὢν ὕπατος αἱρεθήσεσθαι, Πομπηΐου σπουδάζοντος ἑτέροις, ἀπέστη τῆς φιλοτιμίας, εἰπὼν, οὐκ ἂν οὕτω λαμπρὸν αὐτῷ γενέσθαι τὸ τυχεῖν ὑπατείας, ὡς ἀνιαρὸν ἅμα καὶ δυσχερὲς, εἰ Πομπηΐου μὴ θέλοντος μηδὲ συμπράττοντος· ἐνιαυτὸν ἓν ἀναχόμενος μόνον οὔτε τῆς ἀρχῆς ἀπέτυχε, καὶ τὴν φιλίαν διετήρησε. τοῖς δὲ οὕτω χειραγωγουμένοις ὑφ' ἑτέρων ἐπὶ δόξαν ἅμα συμβαίνει [1] ἑνὶ χαρίζεσθαι καὶ πολλοῖς, κἄν τι συμβαίνῃ δύσκολον, ἧττον ἀπεχθάνεσθαι· διὸ καὶ Φίλιππος Ἀλεξάνδρῳ παρῄνει κτᾶσθαι φίλους, ἕως ἔξεστι βασιλεύοντος ἑτέρου πρὸς χάριν ὁμιλοῦντα καὶ φιλοφρονούμενον.

XII. Αἱρεῖσθαι δὲ δεῖ τὸν ἀρχόμενον πολιτείας ἡγεμόνα, μὴ ἁπλῶς τὸν ἔνδοξον καὶ δυνατὸν, ἀλλὰ καὶ τὸν δι' ἀρετὴν τοιοῦτον. ὡς γὰρ οὐ πᾶν δένδρον ἐθέλει προσίεσθαι καὶ φέρειν περιπλεκομένην τὴν ἄμπελον, ἀλλ' ἔνια καταπνίγει καὶ διαφθείρει τὴν αὔξησιν αὐτῆς· οὕτως ἐν ταῖς πόλεσιν οἱ μὴ φιλόκαλοι, φιλότιμοι δὲ καὶ φίλαρχοι μόνον, οὐ προΐενται τοῖς νέοις πράξεων ἀφορμὰς, ἀλλ' ὥσπερ τροφὴν ἑαυτῶν τὴν δόξαν ἀφαιρουμένους, πιέζουσιν ὑπὸ φθόνου καὶ καταμαραίνουσιν· ὡς Μάριος ἐν Λιβύῃ, καὶ πάλιν ἐν Γαλατίᾳ, πολλὰ διὰ Σύλλα κατορθώσας, ἐπαύσατο χρώμενος, ἀχθεσθεὶς μὲν αὐτοῦ τῇ αὐξήσει, πρόφασιν δὲ τὴν σφραγῖδα ποιησάμενος, ἀπέῤῥιψεν· ὁ γὰρ Σύλλας, ὅτε τῷ Μαρίῳ στρατηγοῦντι συνῆν ταμιεύων ἐν Λιβύῃ, πεμφθεὶς ὑπ' αὐτοῦ πρὸς Βόκχον ἤγαγεν Ἰογόρθαν αἰχμάλωτον· οἷα δὲ νέος φιλότιμος,

sulatum in annum V. C. 694. est consecutus. Anno superiore iterum M. Pupius Piso, quem Pompejus & ipsum legatum Mithridatico bello habuerat, ad comitia praemissus a Pompejo, operaque & favore ejus usus consulatum obtinuit, ut is videatur esse, cui Afranius hic concessisse annum dicatur.

1 Turn. V. Bong. συμβαίνειν. Petav. post συμβαίνει indit ἐν, & pro καὶ post χαρίζεσθαι habet τε, & deinde συμβαίνει pro συμβαίνῃ. Ald. & Argent. συμβαίνειν ἐν ἑνὶ χαρίζεσθαί τε πολλοῖς.

τιμος, ἄρτι δόξης γεγευμένος, οὐκ ἤνεγκε μετρίως τὸ εὐτύχημα, γλυψάμενος δ' εἰκόνα τῆς πράξεως ἐν σφραγῖδι, τὸν Ἰογόρθαν αὐτῷ παραδιδόμενον, ἐφόρει· καὶ τοῦτ' ἐγκαλῶν Μάριος ἀπέῤῥιψεν αὐτόν· ὁ δὲ πρὸς Κάτλον [1] καὶ Μέτελλον ἄνδρας ἀγαθοὺς καὶ Μαρίῳ διαφόρους μεταστὰς, ταχὺ τὸν Μάριον ἐξήλασε καὶ κατέλυσε τῷ ἐμφυλίῳ πολέμῳ μικροῦ δεήσαντα τὴν Ῥώμην ἀνατρέψαι. Σύλλας μέντοι καὶ Πομπήϊον ἐκ νέου [2] μὲν ἦρεν ὑπεξανιστάμενος αὐτῷ, καὶ τὴν κεφαλὴν ἀποκαλυπτόμενος ἐπιόντι, καὶ τοῖς ἄλλοις νέοις πράξεων ἡγεμονικῶν μεταδιδοὺς ἀφορμὰς, ἐνίους δὲ καὶ παροξύνων ἄκοντας, ἐνέπλησε φιλοτιμίας καὶ ζήλου τὰ στρατεύματα· καὶ πάντων ἐκράτησε, βουλόμενος εἶναι μὴ μόνος, ἀλλὰ πρῶτος καὶ μέγιστος ἐν πολλοῖς καὶ μεγάλοις. τούτων οὖν ἔχεσθαι δεῖ τῶν ἀνδρῶν, καὶ τούτοις ἐμφύεσθαι, μὴ, καθάπερ ὁ Αἰσώπου βασιλίσκος, ἐπὶ τῶν ὤμων τοῦ ἀετοῦ κομισθεὶς, αἰφνίδιον ἐξέπτη καὶ προέφθασεν, οὕτως τὴν ἐκείνων δόξαν ὑφαρπάζοντας αὐτοὺς, ἀλλὰ παρ' ἐκείνων ἅμα μετ' εὐνοίας καὶ φιλίας λαμβάνοντας· ὡς οὐδ' ἄρξαι [3] καλῶς τοὺς μὴ πρότερον ὀρθῶς δουλεύσαντας, (ἦ φησιν ὁ Πλάτων) δυναμένους.

XIII. Ἕπεται δὲ τούτοις ἡ περὶ φίλων κρίσις, μήτε τὴν Θεμιστοκλέους ἐπαινοῦσα, μήτε τὴν Κλέωνος, διάνοιαν. ὁ μὲν γὰρ Κλέων, ὅτε πρῶτον ἔγνω τῆς πολιτείας ἅπτεσθαι, τοὺς φίλους συναγαγὼν εἰς ταὐτὸ, διελύσατο τὴν φιλίαν πρὸς αὐτοὺς, ὡς πολλὰ τῆς ὀρθῆς καὶ δικαίας προαιρέσεως μαλάσσουσαν ἐν τῇ πολιτείᾳ καὶ παράγουσαν [4]. ἄμεινον δ' ἂν ἐποίησε τὴν φιλοπλουτίαν ἐκβαλὼν τῆς ψυχῆς καὶ τὴν φιλονεικίαν,

καὶ

1 Cod. innominatus Κάτουλλον. Ita Ald. & Argent. exhibent. Baf. Κάτουλον.

2 Pro ἐκ νέου cod. innominatus ἐκείνου.

3 a Petav. absunt ὡς οὐδ' ἄρξαι usque ad δουλεύσαντας.

4 Turn. V. Bong. προάγουσαν.

καὶ φθόνε καὶ κακοηθείας καθήρας αὐτόν· ἐ γὰρ ἀφίλων αἱ πόλεις ἀνδρῶν καὶ ἀνεταίρων, ἀλλὰ χρηςῶν καὶ σωφρόνων δέονται· νυνὶ δὲ τὲς μὲν φίλες ἀπήλασεν,

Ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωζομένων
ἐλιχμῶντο
Περὶ αὐτὸν,

ὡς οἱ κωμικοὶ λέγεσι [1]. καὶ τραχὺς ὢν πρὸς τὲς ἐπιεικεῖς καὶ βαρὺς, αὖθις ὑπέβαλε τοῖς πολλοῖς πρὸς χάριν ἑαυτὸν

Γεροντογωγῶν, καὶ ἀναμισθαρνεῖν διδὲς [2],

καὶ τὸ φαυλότατον καὶ τὸ νοσὲν μάλιςα τε δήμε προσεταιριζόμενος ἐπὶ [3] τὲς ἀρίςες. ὁ δὲ Θεμιςοκλῆς πάλιν πρὸς τὸν ἀποφηνάμενον, ὡς ἄρξει καλῶς ἴσον ἅπασι παρέχων ἑαυτόν· Μηδέποτε (εἶπεν) εἰς τοιῦτον ἐγὼ καθίσαιμι θρόνον, ἐν ᾧ πλέον ἐχ ἕξεσιν οἱ φίλοι παρ' ἐμοὶ τῶν μὴ φίλων· ἐδὲ ἕτος ὀρθῶς τῇ φιλίᾳ κατεπαγγελλόμενος τὴν πολιτείαν [4], καὶ τὰ κοινὰ καὶ δημόσια ταῖς ἰδίαις χάρισι καὶ σπεδαῖς ὑφιέμενος· καίτοιγε πρὸς Σιμωνίδην ἀξιῦντά τι τῶν μὴ δικαίων· Οὔτε ποιητὴς (ἔφη) σπεδαῖός ἐςιν ᾄδων παρὰ μέλος, ἔτ' ἄρχων ἐπιεικὴς, παρὰ τὸν νόμον χαριζόμενος. δεινὸν γὰρ ὡς ἀληθῶς καὶ σχέτλιον, εἰ ναύτας μὲν ἐκλέγεται κυβερνήτης, καὶ κυβερνήτην ναύκληρος,

Εὖ μὲν ἐνὶ πρύμνῃ οἰήϊον, εὖ δὲ κεραίην
Εἰδότας ἐντείναθαι ἐπορνυμένε ἀνέμοιο.

καί τις ἀρχιτέκτων ὑπεργὲς καὶ χειροτέχνας, οἳ μὴ διαφθερεῦσιν αὐτῷ τὸ ἔργον, ἀλλ' ἄριςα συνεκπονήσεσιν.

1 Ariſtoph. εἰρήνη, v. 756. Pro οἰμωζομένων Xyl. Ms. βιαζομένων, vulgatam autem ſuperne notatam habet.

2 Ariſtoph. Equit. 1099. ubi pro ἀναμισθαρνεῖν eſt ἀναπαιδεύειν.

3 Petav. ὑπό.

4 *qui ſuam regendae civitatis rationem utilitati votisque amicorum conſecraret, condiceret atque devoveret.* R.

σιν· ὁ δὲ πολιτικὸς, ἀριστοτέχνας [1] τις ὢν κατὰ Πίνδαρον, καὶ δημιουργὸς εὐνομίας καὶ δίκης, οὐκ εὐθὺς αἱρήσεται φίλους ὁμοιοπαθεῖς, καὶ ὑπηρέτας, καὶ συνενθουσιῶντας αὐτῷ πρὸς τὸ καλὸν, ἀλλὰ ἄλλους πρὸς ἄλλην ἀεὶ χρείαν κάμπτοντας [2] αὐτὸν ἀδίκως καὶ βιαίως· οὐδὲν γὰρ [3] ὀφθήσεται διαφέρων οἰκοδόμου τινὸς ἢ τέκτονος ἀπειρίᾳ καὶ πλημμελείᾳ γωνίαις χρωμένου καὶ κανόσι καὶ στάθμαις, ὑφ᾽ ὧν διαστρέφεσθαι τὸ ἔργον ἔμελλεν· ὄργανα γὰρ οἱ φίλοι ζῶντα καὶ φρονοῦντα τῶν πολιτικῶν ἀνδρῶν εἰσι, καὶ οὐ δεῖ συνολισθαίνειν αὐτοῖς παραβαίνουσιν, ἀλλὰ προσέχειν, ὅπως μηδ᾽ ἀγνοούντων αὐτῶν ἐξαμαρτάνωσι. τοῦτο γὰρ καὶ Σόλωνα κατῄσχυνε καὶ διέβαλε πρὸς τοὺς πολίτας· ἐπεὶ γὰρ ἐν νῷ λαβὼν τὰ ὀφλήματα κουφίσαι, καὶ τὴν σεισάχθειαν (τοῦτο δ᾽ ἦν ὑποκόρισμα χρεῶν ἀποκοπῆς) εἰσενεγκεῖν, ἐκοινώσατο τοῖς φίλοις· οἱ δ᾽ ἔργον ἀδικώτατον ἔπραξαν· ἐδανείσαντο γὰρ ὑποφθάσαντες ἀργύριον πολὺ, καὶ μετ᾽ ὀλίγον χρόνον εἰς φῶς τοῦ νόμου προαχθέντος [4], οἱ μὲν ἐφάνησαν οἰκίας τε λαμπρὰς καὶ γῆν συνεωνημένοι πολλὴν ἐξ ὧν ἐδανείσαντο χρημάτων· ὁ δὲ Σόλων αἰτίαν ἔσχε συναδικεῖν ἠδικημένος. Ἀγησίλαος δὲ περὶ τὰς τῶν φίλων σπουδὰς αὐτὸς αὐτοῦ γινόμενος ἀσθενέστατος καὶ ταπεινότατος, ὥσπερ ὁ Εὐριπίδου Πήγασος,

Ἔπτηξ᾽ ὑπείκων μᾶλλον ἢ μᾶλλον θέλοι [5],

καὶ

1 Hoc Pindari vocabulum saepius in Plut. legitur. Cf. Vol. X. p. 221. not. 5.

2 Sic e W. mente recepi. Vulgo ἄλλου κ᾽ ἄλλου — κάμπτοντες. Petav. ἀλλαὶ ἄλλου; Turn. V. Bong. ἄλλον ἄλλον.

3 Petav. οὐδὲν γε.

4 Sic Ald. Bas. Argent. Xyl. Petav. dedique cum W. pro vulg. παραχθέντος. De re ipsa conf. Vol. I. pag. 216. sq.

5 Est Euripidis e Bellerophonte, tragoedia deperdita. Posterius μᾶλλον Musgr. T. III. p. 556. delendum censet. Grotius Excerpt. Trag. p. 381. in αὐτὸς mutavit. Ita R. quoque legi voluit μᾶλλον, ἢ κ᾽ αὐτὸς θέλοι, *magis, quam ipse vellet.* Aliam esse rationem Lennepii ad Phalar. p. 52. notat W. — Pro θέλοι Turn. V. Bong. ἐθέλοι.

καὶ ταῖς ἀτυχίαις προθυμότερον βοηθῶν τȣ̃ δέοντος ἐδόκει συνεξομοιȣ̃σθαι ταῖς ἀδικίαις· καὶ γάρ τοι Φοιβίδαν κρινόμενον ἔσωσεν ἐπὶ τῷ τὴν Καδμείαν καταλαβεῖν ἄνευ προστάγματος, Φήσας τὰ τοιαῦτα δεῖν αὐτοματίζειν· καὶ ΣΦοδρίαν ἐπ' ἔργῳ παρανόμῳ καὶ δεινῷ Φεύγοντα δίκην, (ἐνέβαλε γὰρ εἰς τὴν Ἀττικὴν Φίλων ὄντων καὶ συμμάχων) ἀΦεθῆναι διεπράξατο, δεήσεσιν ἐρωτικαῖς τȣ̃ παιδὸς μαλαχθείς· καὶ πρὸς τινὰ δυνάςην [1] ἐπιςόλιον αὐτȣ̃ τοιȣ̃τον Φέρεται· Νικίαν, εἰ μὲν ἐκ ἀδικεῖ, ἄΦες· εἰ δ' ἀδικεῖ, ἐμοὶ ἄΦες· πάντως δ' ἄΦες. ἀλλὰ Φωκίων ... τῷ γαμβρῷ Χαρίλλῳ, δίκην ἔχοντι [2] περὶ τῶν Ἁ...λείων, συνεισῆλθεν· Ἀλλ' ἐγώ σε (Φήσας) ἐπὶ πᾶσι τοῖς δικαίοις ἐποιησάμην κηδεςήν· ᾤχετο ἀπιών. καὶ Τιμολέων ὁ Κορίνθιος τὸν ἀδελΦὸν ἐπεὶ διδάσκων καὶ δεόμενος ἐκ ἀπέςησε τῆς τυραννίδος, συνέπραξε τοῖς ἀνελȣ̃σι. δεῖ γὰρ ἐκ ἄχρι τȣ̃ βωμȣ̃ [3] Φίλον εἶναι τῷ μὴ συνεπιορκεῖν, ὥς ποτε Περικλῆς εἶπεν, ἀλλ' ἄχρι παντὸς νόμȣ καὶ δικαίȣ καὶ συμΦέροντος, ὃ παροΦθὲν εἰς [4] μεγάλην βλάβην ἀναΦέρει καὶ κοινὴν, ὡς ἀνέΦερε [5] τὸ μὴ δȣ̃ναι δίκην ΣΦοδρίαν μηδὲ Φοιβίδαν· ἅτοι γὰρ ἐχ ἥκιςα τὴν Σπάρτην ἐνέβαλον εἰς τὸν Λευκτρικὸν πόλεμον. ἐπεὶ τοῖς γε μετρίοις ἁμαρτήμασι τῶν Φίλων ἐπεμβαίνειν βαρὺν [6] ὁ πολιτικὸς ἐκ ἀναγκάζει λόγος, ἀλλὰ καὶ δίδωσιν, εἰς ἀσΦαλὲς θεμένȣς τὰ μέγιςα τῶν κοινῶν, ἐκ περιȣσίας βοηθεῖν τοῖς Φίλοις, καὶ παρ-

1 fuit ille Idrieus, Cariae regulus. Vid. Palmer. Exercit. p. 226. R. cf. Agefilai Vita Vol. IV. p. 91. nec non Vol. VIII. p. 177.

2 Vol. V. p. 23. Phocionis gener appellatur *Charicles*.

3 Subaudi μόνον. R.

4 Pro εἰς Turn. V. Bong. εἴς τι.

5 Dedi fic e R. mente pro vulg. ἀνεΦέρετο, quod facillime ex geminato fequenti το ortum fuit.

6 Turn. V. Bong. βαρύ.

παρίϛαϑαι καὶ συνεκπονεῖν ὑπὲρ αὐτῶν. εἰσὶ δὲ καὶ χάριτες ἀνεπίφθονοι, συλλαβέϑαι πρὸς ἀρχὴν τῷ Φίλῳ, μᾶλλον δ' [1] ἐγχειρίσαι τινὰ διοίκησιν ἔνδοξον, ἢ πρεσβείαν Φιλάνθρωπον, οἷον ἡγεμόνος τιμὰς ἔχουσαν [2], ἢ πρὸς πόλιν ὑπὲρ Φιλίας καὶ ὁμονοίας ἔντευξιν· ἂν δ' ᾖ τις ἐργώδης, ἐπιφανὴς δὲ καὶ μεγάλη πρᾶξις, αὐτὸν ἐπὶ ταύτῃ τάξαντα πρῶτον, εἶτα προσελέϑαι τὸν Φίλον, ὡς ὁ Διομήδης·

Εἰ μὲν δὴ ἕταρόν γε κελεύετ' ἐμαυτὸν ἑλέϑαι,
Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ ϑείοιο λαϑοίμην [3];

κἀκεῖνος αὖ πάλιν ἀνταποδίδωσιν οἰκείως τὸν ἔπαινον·

Ἵπποι δ' οἵδε, γεραιέ, νεήλυδες, ὃς ἐρεείνεις,
Θρηΐκιοι, τὸν δέ σφιν ἄνακτ' ἀγαϑὸς Διομήδης
Ἔκτανε, παρ' δ' ἑτάρους δυοκαίδεκα πάντας ἀρίϛους.

αὕτη γὰρ ἡ πρὸς τοὺς Φίλους ὕφεσις οὐχ ἧττον ἐπικοσμεῖ τῶν ἐπαινουμένων τοὺς ἐπαινοῦντας· ἡ δ' αὐϑάδεια (Φησὶν ὁ Πλάτων) ἐρημίᾳ σύνοικος. ἔτι τοίνυν ταῖς καλαῖς καὶ Φιλανϑρώποις χάρισι δεῖ τοὺς Φίλους συνεισποιεῖν, καὶ κελεύειν τοὺς εὖ παϑόντας ἐκείνους ἐπαινεῖν καὶ ἀγαπᾷν, ὡς αἰτίους ἅμα καὶ συμβούλους γεγενημένους· τὰς δὲ Φαύλας καὶ ἀτόπους ἀξιώσεις ἀποτρίβεϑαι, μὴ πικρῶς, ἀλλὰ πρᾴως, διδάσκοντα καὶ παραμυϑούμενον, ὡς οὐκ ἄξιαι τῆς ἐκείνων ἀρετῆς εἰσι καὶ δόξης. ἄριϛα δ' ἀνϑρώπων ὁ [4] Ἐπαμεινώνδας, ἀρνησάμενος δεηϑέντι τῷ Πελοπίδᾳ τὸν κάπηλον ἐκ τῆς εἱρκτῆς ἀφεῖναι, καὶ μετ' ὀλίγον τῆς ἐρωμένης δεηϑείσης ἀφείς· Τοιαύτας (ἔφη) χάριτας, ὦ Πελοπίδα, λαμβάνειν ἑταιριδίοις, οὐ ϛρατηγοῖς, πρέπον ἐϛίν. ὁ δὲ Κάτων βαρέως καὶ αὐϑαδῶς,

1 Petav τῷ Φίλῳ μᾶλλον, ἀλλ' ἐγχ.

2 *legationem, qua id agitur, ut praesidi* provinciae advenienti, vel abeunti, excipiendo, aut deducendo, *honor exhibeatur.* R.

3 Iliad. X. 242. & deinde v. 558. sq.

4 abest ὁ a Petav.

θαδῶς, ἐπεὶ Κάτλος, ὁ τιμητὴς, Φίλος ὢν ἐν τοῖς μάλιςα καὶ συνήθης, ἐζητεῖτό τινα τῶν κρινομένων ὑπ' αὐτῦ ταμιεύοντος· Αἰσχρόν ἐςιν, (ἔφη) σὲ, τὸν ὀφείλοντα τὰς νέες ἡμᾶς σωφρονίζειν, ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι. τῷ γὰρ ἔργῳ τὴν χάριν ἐξῆν ἀπειπάμενον, ἀφελεῖν τῦ λόγυ τὴν τραχύτητα καὶ πικρίαν, ὡς μηδὲ τῇ πράξει τὸ λυπηρὸν ἑκεσίως, ἀλλ' ἀναγκαίως, ἐπιφέροντα διὰ τὸν νόμον καὶ τὸ δίκαιον. εἰσὶ δὲ καὶ πρὸς χρηματισμὸν ἐκ ἀγεννεῖς ἐν πολιτείᾳ τοῖς δεομένοις τῶν φίλων αἱ συλλήψεις· οἷον ὁ Θεμιςοκλῆς, μετὰ τὴν μάχην ἰδὼν νεκρὸν, ςρεπ]ὰ χρυσᾶ καὶ μανιάκην περικείμενον, αὐτὸς μὲν παρῆλθεν, ἐπιςραφεὶς δὲ πρὸς τὸν [1] φίλον· Ἀνελῦ ταῦτα· (εἶπεν) ὐ γὰρ καὶ σὺ Θεμιςοκλῆς γέγονας. δίδωσι γὰρ καὶ τῦτο πολλάκις τῷ πολιτικῷ τὰ πράγματα πρὸς τὰς φίλυς. ὐ γὰρ δὴ Μενεμάχοι πάντες εἰσί· τῷ μὲν ἐγχείρισον συνηγορίαν ἔμμισθον ὑπὲρ τῦ δικαίυ, τῷ δὲ σύςησον πλέσιον ἐπιμελείας καὶ προςασίας δεόμενον· ἄλλῳ δ' εἰς ἐργολαβίαν τινὰ σύμπραξον, ἢ μίσθωσιν ὠφελείας ἔχυσαν. Ἐπαμεινώνδας δὲ καὶ πλυσίῳ τινὶ προσελθόντα φίλον αἰτεῖν ἐκέλευσεν ἓν [2] τάλαντον, ὡς αὐτῦ δῦναι κελεύσαντος [3]. ἐπεὶ δὲ ὁ αἰτηθεὶς ἐλθὼν ἐπυνθάνετο τὴν αἰτίαν· Ὅτι χρηςὸς (εἶπεν) ὗτος ὢν πένης [4] ἐςί· σὺ δὲ πλυτεῖς πολλὰ τῆς πόλεως νενοσφισμένος; καὶ τὸν Ἀγησίλαον ὁ Ξενοφῶν ἀγάλλεσθαί φησι πλυτίζοντα τὰς φίλυς, αὐτὸν ὄντα κρείττονα χρημάτων.

XIV. Ἐπεὶ δὲ πάσαις κορυδαλίσι, κατὰ Σιμωνίδην, χρὴ λόφον ἐγγενέσθαι, καὶ πᾶσα πολιτεία φέρει τινὰς ἔχθρας καὶ διαφορὰς, ὐχ ἥκιςα προσήκει καὶ περ



1 abest τὸν a Petav.
2 R. delendum censet ἓν. Idem susp. W.
3 Turn & Bong. κελεύοντος.
4 a Petav. absunt ὢν πένης.

περὶ τέτων ἐσκέφθαι τὸν πολιτικόν. οἱ μὲν ἔν πολλοὶ τὸν Θεμισοκλέα καὶ τὸν Ἀρισείδην ἐπαινῦσιν, ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀποτιθεμένες, ὁσάκις ἐπὶ πρεσβείαν ἢ σρατηγίαν ἐξίοιεν, εἶτα πάλιν ἀναλαμβάνοντας. ἐνίοις δὲ καὶ τὸ Κρητίνε τε Μάγνητος ὑπερφυῶς ἀρέσκει· Ἑρμείᾳ γὰρ ἀντιπολιτευόμενος, ἀνδρὶ ἐ δυνατῷ, φιλοτίμῳ δὲ καὶ λαμπρῷ τὴν ψυχὴν, ἐπεὶ κατέχεν ὁ Μιθριδατικὸς πόλεμος, τὴν πόλιν ὁρῶν κινδυνεύεσαν, ἐκέλευσε τὸν Ἑρμείαν τὴν ἀρχὴν παραλαβόντα [1] χρῆσθαι τοῖς πράγμασιν, αὐτε μετασάντος· εἰ δὲ βέλεται σρατηγεῖν ἐκεῖνον, αὐτὸν ἐκποδὼν ἀπελθεῖν, μὴ φιλοτιμέμενοι πρὸς ἀλλήλες ἀπολέσειαν τὴν πόλιν· ἤρεσεν ἡ πρόκλησις τῷ Ἑρμείᾳ, καὶ φήσας, ἑαυτε πολεμικώτερον εἶναι τὸν Κρητίναν, ὑπεξῆλθε μετὰ παίδων καὶ γυναικός· ὁ δὲ Κρητίνας ἐκεῖνόν τε πρέπεμψε, τῶν ἰδίων χρημάτων ἐπιδὲς, ὅσα φεύγεσιν ἦν ἢ πολιορκεμένοις χρησιμώτερα· καὶ τὴν πόλιν ἄρισα σρατηγήσας, παρ' ἐδὲν ἐλθέσαν ἀπολέσθαι, περιεποίησεν ἀνελπίσως. εἰ γὰρ εὐγενὲς καὶ φρονήματος μεγάλε τὸ ἀναφωνῆσαι·

Φιλῶ τέκνα, ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ·

πῶς ἐκ ἐκεῖνο [2] προχειρότερον εἰπεῖν ἑκάσῳ· Μισῶ τὸν δεῖνα, καὶ βέλομαι ποιῆσαι κακῶς, ἀλλὰ πατρίδα ἐμὴν μᾶλλον φιλῶ· τὸ [3] γὰρ μὴ θέλειν διαλυθῆναι πρὸς ἐχθρὸν, ὧν ἕνεκα δεῖ φίλον προέσθαι, δεινῶς ἄγριον καὶ θηριῶδες. ἐ μὴν ἀλλὰ βέλτιον οἱ περὶ Φωκίωνα καὶ Κάτωνα, μηδὲ ὅλως ἔχθραν τινὰ [4] πρὸς πολιτικὰς τιθέμενοι διαφορὰς, ἀλλὰ δεινοὶ καὶ ἀπαραίτητοι μόνον ἐν τοῖς δημοσίοις ἀγῶσιν ὄντες μὴ προέσθαι τὸ συμφέρον, ἐν δὲ τοῖς ἰδίοις ἀμηνίτως καὶ φιλανθρώπως χρώμενοι τοῖς ἐκεῖ

1 Turn. V. Bong. παραλαμβάνοντα.

2 Ita R. dandum cenfuit, dedique probantibus Mez. & W. pro vulg. ἐκείνοις.

3 Dedi fic cum W. e Baf. Turn. & Bong. pro vulg. τῷ.

4 R. fufp. τινὶ, non tamen vulgatam reprobans.

ἐκεῖ διαφερομένοις. δεῖ γὰρ ἐχθρὸν μηδένα νομίζειν πολίτην, ἂν μή τις, οἷος Ἀριςίων [1], ἢ Νάβις, ἢ Κατιλίνας, νόσημα καὶ ἀπόςημα πόλεως ἐγγένηται· τὰς δ᾽ ἄλλως ἀπᾴδοντας, ὥσπερ ἁρμονικὸν ἐπιτείνοντα καὶ χαλῶντα πρᾴως εἰς τὸ ἐμμελὲς ἄγειν, μὴ τοῖς ἁμαρτάνεσι σὺν ὀργῇ καὶ πρὸς ὕβριν ἐπιφυόμενον, ἀλλ᾽ ὡς Ὅμηρος [2], ἠθικώτερον·

Ὦ πέπον, ἦτ᾽ ἐφάμην σὲ περὶ φρένας ἔμμεναι ἄλλων,

καί·

Οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τᾶδε νοῆσαι.

ἂν δέ τι χρηςὸν εἴπωσιν ἢ πράξωσι, μὴ τιμαῖς ἀχθόμενον αὐτῶν, μηδὲ λόγων εὐφήμων ἐπὶ καλοῖς [3] φειδόμενον· ἄτω γὰρ ὅ τε ψόγος, ὅπε δεῖ, πίςιν ἕξει, καὶ πρὸς τὴν κακίαν διαβαλᾶμεν αὐτὰς, αὔξοντες τὴν ἀρετὴν, καὶ ταῦτα παραβάλλοντες ἐκείνοις ὡς ἄξια καὶ πρέποντα μᾶλλον. ἐγὼ δὲ καὶ μαρτυρεῖν ἀξιῶ τὰ δίκαια [4] τοῖς διαφόροις τὸν πολιτικὸν ἄνδρα, καὶ βοηθεῖν κρινομένοις πρὸς τὰς συκοφάντας, καὶ ταῖς διαβολαῖς ἀπιςεῖν, ἂν ὦσιν ἀλλότριαι τῆς προαιρέσεως αὐτῶν· ὥσπερ ὁ Νέρων ἐκεῖνος ὀλίγον ἔμπροσθεν ἢ κτεῖναι τὸν Θρασέαν μάλιςα μισῶν καὶ φοβάμενος, ὅμως ἐγκαλᾶντός τινος, ὡς κακῶς κεκριμένα [5] καὶ ἀδίκως· Ἐβελόμην ἂν, (ἔφη) Θρασέαν ἄτως ἐμὲ φιλεῖν, ὡς δικαςὴς ἄριςός ἐςιν. ἀ χεῖρον δὲ καὶ πρὸς ἐπίπληξιν ἑτέρων φύσει πονηρῶν [6] μᾶλλον ἁμαρτανόντων, ἐχθρᾶ μνηθέντα κομψοτέρα τὸ ἦθος εἰπεῖν, ἀλλ᾽ ἐκεῖνος ἀκ ἂν τᾶτο εἶπεν, ἀδ᾽ ἐποίησεν.



1 cf. Appiani Hist. belli Mithrid. c. 28 — 39. Nabis fuit Spartae tyrannus, crudelitate insignis.

2 Iliad. XVII. 171; & VII, 358.

3 R. mavult ἐπὶ καλοῖς ἔργοις φειδόμ.

4 Post δίκαια Petav. addit καὶ.

5 R. mavult κεκρικότος. De Thrasea Paeto cf. Tacit. Ann. L. 16. c. 21. sq.

6 R. mavult πονηρᾶ.

σευ. ὑπομνηςέον δὲ καὶ πατέρων ἀγαθῶν ἐνίȢς, ὅταν ἐξαμαρτάνωσιν. Ὅμηρος [1].

Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο ΤυδεύϚ.

καὶ πρὸς Σκιπίωνα τὸν Ἀφρικανὸν Ἄππιος ἐν ἀρχαιρεσίαις διαγωνιζόμενος· Ἠλίκον ἄν, (εἶπεν) ὦ Παῦλε, ςενάξειας ὑπὸ γῆς, αἰθόμενος, ὅτι σȢ τὸν υἱὸν, ἐπὶ τιμητικὴν ἀρχὴν καταβαίνοντα Φιλόνεικος [2] ὁ τελώνης δορυφορεῖ. τὰ γὰρ τοιαῦτα νȢθετεῖ τȢς ἁμαρτάνοντας ἅμα, καὶ κοσμεῖ τȢς νȢθετȢντας· πολιτικῶς δὲ καὶ ὁ Νέςωρ, ὁ τȢ ΣοφοκλέȢς, ἀποκρίνεται λοιδορȢμενος ὑπὸ τȢ Αἴαντος·

Οὐ μέμφομαί σε· δρῶν γὰρ εὖ, κακῶς λέγεις [3].

καὶ Κάτων, διενεχθεὶς πρὸς τὸν Πομπήϊον, ἐν οἷς ἐβιάζετο τὴν πόλιν μετὰ Καίσαρος, ἐπεὶ κατέςησαν εἰς πόλεμον, ἐκέλευσε Πομπηΐῳ παραδȢναι τὴν ἡγεμονίαν, ἐπειπὼν, ὅτι τῶν αὐτῶν ἐςι, καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. ὁ γὰρ μεμιγμένος ἐπαίνῳ ψόγος ὀκ ἔχων ὕβριν, ἀλλὰ παῤῥησίαν, ȢδὲὉ θυμὸν, ἀλλὰ δηγμὸν ἐμποιῶν καὶ μετάνοιαν [4], εὐμενὴς φαίνεται καὶ θεραπευτικός· αἱ δὲ λοιδορίαι τοῖς πολιτικοῖς ἥκιςα πρέπȢσιν. ὅρα δὲ τὰ πρὸς Αἰσχίνην ὑπὸ ΔημοσθένȢς εἰρημένα, καὶ τὰ πρὸς τȢτον ὑπ' ΑἰσχίνȢ, καὶ πάλιν ἃ πρὸς Δημάδην γέγραφεν Ὑπερίδης, εἰ [5] Σόλων ἂν εἶπεν, ἢ Περικλῆς, ἢ ΛυκȢ̃ργος ὁ Λακεδαιμόνιος, ἢ Πιττακὸς ὁ Λέσβιος· καίτοι γε καὶ Δημοσθένης ἐν τῷ δικανικῷ τὸ λοίδορον ἔχει μόνῳ [6], οἱ δὲ Φιλιππικοὶ καθαρεύȢσι καὶ σκώμματος καὶ βωμολοχίας ἁπάσης· τὰ γὰρ τοιαῦτα τῶν ἀκȢόντων μᾶλλον αἰσχύνει τȢς λέγοντας,

1 R. delendum cenſet Ὅμηρος. Verſus eſt ex Iliad. V. 800.

2 R. ſcribi vult Φιλόνικος, a νίκη, cum a νεῖκος nullum formetur nomen proprium.

3 Plut. Opp. Vol. X. p. 103.

4 Petav. δηγμὸν καὶ μετάνοιαν ἐμποιῶν.

5 Pro εἰ Turn. V. Bong. ἤ.

6 Turn. V. Bong. μόνον.

τας, ἔτι καὶ [1] σύγχυσιν ἀπεργάζεται τῶν πραγμάτων, καὶ [2] διαταράττει τὰ βουλευτήρια καὶ τὰς ἐκκλησίας. ὅθεν ἄριστα ὁ Φωκίων ὑπεικστὰς τῷ λοιδοροῦντι, καὶ παυσάμενος τοῦ λέγειν, ἐπεὶ μόλις ἐσιώπησεν ὁ ἄνθρωπος, αὖθις παρελθών· Οὐκοῦν (ἔφη) περὶ μὲν τῶν ἱππέων καὶ τῶν ὁπλιτῶν ἀκηκόατε, λείπεται δέ μοι περὶ τῶν ψιλῶν καὶ πελταστῶν διελθεῖν. ἀλλ᾽ ἐπεὶ πολλοῖς δυσκάθεκτόν ἐστι τὸ πρᾶγμα, καὶ πολλάκις ἐκ ἀχρήστως οἱ λοιδοροῦντες ἐπιστομίζονται ταῖς ἀπαντήσεσιν, ἔστω βραχεῖα τῇ λέξει, καὶ μὴ θυμὸν ἐμφαίνουσα μηδ᾽ ἀκροχολίαν, ἀλλὰ πρᾳότητα μετὰ παιδιᾶς καὶ χάριτος ἀμωσγέπως δάκνουσαν [3]. αἱ δ᾽ ἀντεπιστρέφουσαι μάλιστα τοιαῦται. καθάπερ γὰρ τῶν βελῶν ὅσα πρὸς τὸν βαλόντα [4] φέρεται πάλιν, ῥώμῃ τινὶ δοκεῖ καὶ στερεότητι τοῦ πληγέντος ἀνακρουόμενα τοῦτο πάσχειν· οὕτω τὸ λεχθὲν ὑπὸ ῥώμης καὶ συνέσεως τοῦ λοιδορηθέντος, ἐπὶ τοὺς λοιδορήσαντας ἀναστρέφειν ἔοικεν. ὡς τὸ Ἐπαμεινώνδου πρὸς Καλλίστρατον, ὀνειδίζοντα Θηβαίοις καὶ Ἀργείοις τὴν Οἰδίποδος πατροκτονίαν, καὶ τὴν Ὀρέστου μητροκτονίαν· ὅτι· Τοὺς ταῦτα ποιήσαντας ἡμῶν ἐκβαλόντων, ὑμεῖς ἐδέξασθε· καὶ τὸ Ἀνταλκίδου τοῦ Σπαρτιάτου πρὸς τὸν Ἀθηναῖον τὸν φήσαντα· Πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν· Ἀλλ᾽ ἡμεῖς γε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα οὐδέποτε. χαριέντως δὲ [5] καὶ ὁ Φωκίων, τοῦ Δημοσθένους κεκραγότος. Ἀθηναῖοί σε ἀποκτενοῦσιν· Ἄν γε μανῶσιν· (ἔφη) σὲ δὲ, ἂν σωφρονῶσι. καὶ Κράσσος, ὁ ῥήτωρ, Δομιτίου πρὸς αὐτὸν εἰπόντος· Ου σὺ μυραίνης ἐν κολυμβήθρᾳ σοι τρεφομένης [6], εἶτ᾽ ἀποθανούσης, ἔκλαυσας; ἀντηρώτησεν·



1 W. judice, vel delendum ἔτι, vel legendum ἔτι δέ.
2 abest hoc καὶ a Petav.
3 Petav. δάκνουσα.
4 Turn. V. Bong. βάλλοντα.
5 abest δὲ a Petav. Pro Δημοσθένους dant δήμου Ald. Bas. Arg. Δημάδου Turn. Bong. & Petav.
6 Pro σοὶ τρεφομ. Petav. συστρεφομένης.

σεν· Οὐ σὺ τρεῖς γυναῖκας θάψας ἐκ ἐδάκρυσας; ταῦτα μὲν ἐν ἔχει χρείαν τινὰ καὶ πρὸς τὸν ἄλλον βίον.

XV. Πολιτείας δὲ οἱ μὲν εἰς ἅπαν ἐνδύονται μέρος, ὥσπερ ὁ Κάτων, ἐδεμιᾶς ἀξιἕντες εἰς δύναμιν ἀπολείπεσθαι φροντίδος ἐδ' ἐπιμελείας τὸν ἀγαθὸν πολίτην. καὶ τὸν Ἐπαμεινώνδαν ἐπαινἕσιν, ὅτι φθόνῳ καὶ πρὸς ὕβριν ἀποδειχθεὶς τελέαρχος ὑπὸ τῶν Θηβαίων, ἐκ ἠμέλησεν, ἀλλ' εἰπὼν, ὡς ἐ μόνον ἀρχὴ ἄνδρα δείκνυσιν, ἀλλὰ καὶ ἀρχὴν ἀνὴρ, εἰς μέγα καὶ σεμνὸν ἀξίωμα προήγαγε τὴν τελεαρχίαν [1], ἐδὲν ἐσαν πρότερον, ἀλλ' ἢ περὶ τὰς σενωπὰς ἐκβολῆς κοπρίων καὶ ῥευμάτων ἀποτροπῆς ἐπιμέλειάν τινα. κἀγὼ δ' ἀμέλει παρέχω γέλωτα τοῖς παρεπιδημἕσιν, ὁρώμενος ἐν δημοσίῳ περὶ τὰ τοιαῦτα πολλάκις· ἀλλὰ βοηθεῖ μοι τὸ τἕ Ἀντισθένες μνημονευόμενον. θαυμάσαντος γάρ τινος, εἰ δι' ἀγορᾶς αὐτὸς φέρει τάριχον· Ἐμαυτῷ γε, εἶπεν. ἐγὼ δ' ανάπαλιν πρὸς τὰς ἐγκαλἕντας, εἰ κεράμῳ [2] παρέστηκα διαμετρεμένῳ, καὶ φυράμασι καὶ λίθοις παρακομιζομένοις· Οὐκ ἐμαυτῷ γε, φημὶ, ταῦτ' οἰκονομεῖν [3], ἀλλὰ τῇ πατρίδι. εἰς γὰρ ἄλλα πολλὰ μικρὸς ἄν τις εἴη καὶ γλίσχρος αὐτῷ διοικῶν, καὶ δι' αὐτὸν πραγματευόμενος· εἰ δὲ δημοσίᾳ καὶ διὰ τὴν πόλιν, ἐκ ἀγεννὴς, ἀλλὰ μεῖζον τὸ μέχρι μικρῶν ἐπιμελὲς καὶ πρόθυμον. ἕτεροι δὲ σεμνότερον οἴονται καὶ μεγαλοπρεπέστερον εἶναι τὸ τἕ Περικλέες· ὧν καὶ Κριτόλαός ἐστιν ὁ Περιπατητικὸς, ἀξιῶν, ὥσπερ ἡ Σαλαμινία ναῦς Ἀθήνησι καὶ ἡ Πάραλος ἐκ ἐπὶ πᾶν ἔργον, ἀλλ' ἐπὶ τὰς ἀναγκαίας καὶ μεγάλας κατε-

1 Petav. τελεσιαρχίαν.

2 Xyl. hinc fufp. Plutarchum praefuiſſe liquoribus dimetiendis, & farinae, paſtae, aliarumque rerum ad annonam pertinentium procurationi. Kaltw. non probat ob ſeq λίθοις.

3 Vulgo οἰκοδομεῖν. Xyl. e Ms. notat οἰκοδομῶν, ſed legi mavult οἰκονομεῖν aut οἰκονομῶν. Conſentit W. cum Mez. Hinc οἰκονομεῖν recipere non dubitavi.

κατεσπῶντο πράξεις, ὅτως ἑαυτῷ πρὸς τὰ κυριώτατα καὶ μέγιςα χρῆσθαι, ὡς ὁ τοῦ κόσμου βασιλεὺς,

— Τῶν ἄγαν γὰρ ἅπτεται

Θεὸς, τὰ μικρὰ δ' εἰς τύχην ἀνεὶς ἐᾷ,

κατὰ τὸν Εὐριπίδην. ὀδὲ γὰρ τοῦ Θεαγένους [1] τὸ φιλότιμον ἄγαν καὶ φιλόνεικον ἐπαινοῦμεν, ὃς ὀ μόνον τὴν περίοδον νενικηκὼς, ἀλλὰ καὶ πολλὰς ἀγῶνας, ὀ παγκρατίῳ μόνον, ἀλλὰ καὶ πυγμῇ καὶ δολιχῷ, τέλος ἥρωα δειπνῶν ἐπιταφίου τινὸς, ὥσπερ εἰώθει, προτεθείσης ἅπασι τῆς μερίδος, ἀναπηδήσας, διεπαγκρατίασεν, ὡς ὀδένα νικᾷν δέον αὐτοῦ παρόντος· ὅθεν ἤθροισε χιλίους καὶ διακοσίους ςεφάνους, ὧν συρφετὸν ἄν τις ἡγήσαιτο τοὺς πλείςους. ὀδὲν ἂν [2] τούτου διαφέρουσιν οἱ πρὸς πᾶσαν ἀποδυόμενοι πολιτικὴν πρᾶξιν, ἀλλὰ ποιοῦσι μεμπτοὺς ἑαυτοὺς τοῖς πολλοῖς, ἐπαχθεῖς τε γίνονται καὶ κατορθοῦντες [3] ἐπίφθονοι, κᾂν σφαλῶσιν, ἐπίχαρτοι, καὶ τὸ θαυμαζόμενον αὐτῶν ἐν ἀρχῇ τῆς ἐπιμελείας εἰς χλευασμὸν ὑπονοςεῖ καὶ γέλωτα. τοιοῦτον·

Μητίοχος μὲν ςρατηγεῖ, Μητίοχος δὲ τὰς ὁδὸς,
Μητίοχος δ' ἄρτους ἐποπτᾷ [4], Μητίοχος δὲ τὰ ἄλφιτα,
Μητίοχος δὲ πάντα ποιεῖται [5], Μητίοχος δ' οἰμώξεται.

τῶν Περικλέους [6] ἔτος εἷς ἦν ἑταίρων, τῇ δι' ἐκεῖνον, ὡς



1 Dio Chrysostom. P. I. pag. 617. ed. Reisk. Pausan. L. VI. c. 11.

2 abest ἂν a Petav.

3 R. susp. ἐπαχθεῖς τε γὰρ γίνονται καὶ κατορθοῦντες, καὶ ἐπίφθονοι — *nam graves & invidiae obnoxii fiunt, etiamsi rem bene gesserint.*

4 R. mavult ἐποπτεῖ.

5 Ald. Bas. Petav. κεῖται, pro quo Xyl. e margine scripti notat & probat γίνεται. Idem Turn. V. Bong. habent. R. aut ποιεῖ legendum censet, aut ἑαυτοῦ ποιεῖται.

6 Haec verba τῶν Περικλέους — ὡς ἔοικε absunt a Petav.

ὡς ἔοικε, δυνάμει χρώμενος ἐπιφθόνως καὶ κατακόρως. δεῖ δὲ, ὥς φασιν, ἐρῶντι τῷ δήμῳ τὸν πολιτικὸν προσφέρεσθαι, καὶ μὴ παρόντος ἑαυτοῦ πόθον ἐναπολείπειν· ὃ καὶ Σκιπίων ὁ Ἀφρικανὸς ἐποίει, πολὺν χρόνον ἐν ἀγρῷ διαιτώμενος, ἅμα καὶ τοῦ φθόνου τὸ βάρος ἀφαιρῶν, καὶ διδοὺς ἀναπνοὴν τοῖς πιέζεσθαι δοκοῦσιν ὑπὸ τῆς ἐκείνου δόξης. Τιμησίας [1] δὲ, ὁ Κλαζομένιος, τὰ μὲν ἄλλα ἦν περὶ τὴν πόλιν ἀνὴρ ἀγαθὸς, τῷ δὲ πάντα πράσσειν δι' ἑαυτοῦ φθονούμενος ἠγνόει καὶ μισούμενος, ἕως αὐτῷ συνέβη τι τοιοῦτον· ἔτυχον ἐν ὁδῷ παῖδες ἐκ λάκκου τινὸς ἀστράγαλον ἐκκόπτοντες, ἐκείνου παριόντος [2]. ὧν οἱ μὲν ἔφασκον μένειν [3]. ὁ δὲ πατάξας· Οὕτως (εἶπεν) ἐκκόψαιμι Τιμησίου τὸν ἐγκέφαλον, ὡς οὗτος ἐκκέκοπται [4]. τοῦτο ὁ Τιμησίας ἀκούσας, καὶ συνεὶς τὸν διήκοντα διὰ πάντων αὐτοῦ φθόνον, ἀναστρέψας ἔφρασε τὸ πρᾶγμα τῇ γυναικὶ, καὶ κελεύσας ἕπεσθαι συνεσκευασμένην εὐθὺς ἀπὸ τῶν θυρῶν ᾤχετο ἀπιὼν ἐκ τῆς πόλεως. ἔοικε δὲ καὶ [5] Θεμιστοκλῆς, τοιούτου τινὸς ἀπαντῶντος αὐτῷ παρὰ τῶν Ἀθηναίων, εἰπεῖν· Τί, ὦ μακάριοι, κοπιοῦτε πολλάκις εὖ πάσχοντες; αὐτῶν δὲ τούτων τὰ μὲν ὀρθῶς, τὰ δ' οὐκ εὖ λέλεκται. τῇ μὲν γὰρ εὐνοίᾳ καὶ κηδεμονίᾳ δεῖ μηδενὸς ἀφεστάναι τῶν κοινῶν, ἀλλὰ πᾶσι προσέχειν καὶ γινώσκειν ἕκαστα, μηδὲ, ὥσπερ ἐν πλοίῳ, σκεῦος ἱερὸν ἀποκεῖσθαι τὰς ἐσχάτας περιμένοντα χρείας τῆς πόλεως καὶ τύχας· ἀλλ' ὡς οἱ κυβερνῆ-

1 Cf. Aelian. V. H. XII, 9. Videtur hic, R. monente, ille Timesius Herodoti esse, quem I, 168. conditorem Abderorum appellat.

2 Petav. παρόντος.

3 scil. τὸν ἀστράγαλον — *tenaciter inhaerere glebae talum*, neque excedere velle. R.

4 Restitui sic, R. jubente, ex Ald. Bas. Argent. & Petav. pro vulg. ἐγκέκοπται.

5 Restitui δὲ καὶ ex Ald. Bas. Arg. Petav. Xyl. cum W. In rell. absunt. B. γὰρ καὶ.

βερνῆται τὰ μὲν ταῖς χερσὶ δι' αὐτῶν πράττουσι, τὰ δ' ὀργάνοις ἑτέροις δι' ἑτέρων ἄπωθεν καθήμενοι περιάγουσι καὶ στρέφουσι, χρῶνται δὲ καὶ ναύταις καὶ πρωρεῦσι καὶ κελευσταῖς, καὶ τούτων ἐνίους ἀνακαλούμενοι πολλάκις εἰς πρύμναν ἐγχειρίζουσι τὸ πηδάλιον· οὕτω τῷ πολιτικῷ προσήκει, παραχωρεῖν μὲν ἑτέροις [1] ἄρχειν καὶ προκαλεῖσθαι [2] πρὸς τὸ βῆμα μετ' εὐνοίας καὶ φιλανθρωπίας, κινεῖν δὲ μὴ πάντα τῆς πόλεως τοῖς αὐτοῦ λόγοις καὶ ψηφίσμασιν ἢ πράξεσιν, ἀλλ' ἔχοντα πιστοὺς καὶ ἀγαθοὺς ἄνδρας, ἕκαστον ἑκάστῃ χρείᾳ κατὰ τὸ οἰκεῖον προσαρμόττειν· ὡς Περικλῆς Μενίππῳ μὲν ἐχρῆτο πρὸς τὰς στρατηγίας, δι' Ἐφιάλτου δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐταπείνωσε, διὰ δὲ Χαρίνου τὸ κατὰ Μεγαρέων ἐκύρωσε ψήφισμα, Λάμπωνα δὲ Θουρίων [3] οἰκιστὴν ἐξέπεμψεν. οὐ γὰρ μόνον τῆς δυνάμεως εἰς πολλοὺς διανέμεσθαι δοκούσης ἧττον ἐνοχλεῖ τὸν φθόνον [4] τὸ μέγεθος, ἀλλὰ καὶ τὰ τῶν χρειῶν ἐπιτελεῖται μᾶλλον. ὡς γὰρ ὁ τῆς χειρὸς εἰς τοὺς δακτύλους μερισμὸς οὐκ ἀσθενῆ πεποίηκεν, ἀλλὰ τεχνικὴν καὶ ὀργανικὴν αὐτῆς τὴν χρῆσιν, οὕτως ὁ πραγμάτων ἑτέροις ἐν πολιτείᾳ μεταδιδοὺς, ἐνεργοτέραν ποιεῖ τῇ κοινωνίᾳ τὴν πρᾶξιν· ὁ δ' ἀπληστίᾳ δόξης ἢ δυνάμεως πᾶσαν ἑαυτῷ τὴν πόλιν ἀνατιθεὶς, καὶ πρὸς ὃ μὴ πέφυκε μηδ' ἤσκηται, προσάγων αὑτὸν, ὡς Κλέων πρὸς τὸ στρατηγεῖν, Φιλοποίμην δὲ πρὸς τὸ ναυαρχεῖν, Ἀννίβας δὲ πρὸς τὸ δημηγορεῖν, οὐκ ἔχει παραίτησιν ἁμαρτάνων· ἀλλὰ προσακούει τὸ τοῦ Εὐριπίδου·

Τέκτων γὰρ ὢν ἔπραττες οὐ ξυλουργικά.

λέγειν

1 Dedi sic pro ἑταίροις, quod sola e Frst. in R. transiit. Notatur idem e Petav.

2 B. προσκαλεῖσθαι, quod W. rectius suspicatur. Pro seq. εὐνοίας Petav. εὐμενείας; pro κινεῖν idem ἡμῖν.

3 Vid. ad h. l. Taylori Vita Lysiae p. 107 — 109. Vol. VI. Orat. Graec. R. nec non Diodor. XII. c. 10.

4 R. legi vult τοῦ φθόνου. Turn. V. Bong. Pet. τῶν φθόνων.

λέγειν ἀπίθανος ὢν ἐπρέσβευες, ἢ ῥᾴθυμος ὢν ᾠκονόμεις [1], ψήφων ἄπειρος ἐταμίευες, ἢ γέρων καὶ ἀσθενὴς ἐστρατήγεις. Περικλῆς δὲ καὶ πρὸς Κίμωνα διενείματο τὴν δύναμιν, αὐτὸν μὲν ἄρχειν ἐν ἄστει, τὸν δὲ, πληρώσαντα τὰς ναῦς τοῖς βαρβάροις πολεμεῖν· ἦν γὰρ ὁ μὲν πρὸς πολιτείαν, ὁ δὲ πρὸς πόλεμον εὐφυέστερος. ἐπαινοῦσι δὲ καὶ τὸν Ἀναφλύστιον Εὔβουλον, ὅτι πίστιν ἔχων ἐν τοῖς μάλιστα καὶ δύναμιν, οὐδὲν τῶν Ἑλληνικῶν ἔπραξεν, οὐδ' ἐπὶ στρατηγίαν ἦλθεν, ἀλλ' ἐπὶ τὰ χρήματα τάξας ἑαυτὸν, ηὔξησε τὰς κοινὰς προσόδους, καὶ μεγάλα τὴν πόλιν ἀπὸ τούτων [2] ὠφέλησεν. Ἰφικράτης δὲ καὶ μελέτας λόγων ποιούμενος ἐν οἴκῳ, πολλῶν παρόντων, ἐχλευάζετο· καὶ γὰρ εἰ λογεὺς ἀγαθὸς, ἀλλὰ μὴ φαῦλος, ἦν, ἔδει τὴν ἐν τοῖς ὅπλοις δόξαν ἀγαπῶντα, τῆς σχολῆς ἐξίστασθαι τοῖς σοφισταῖς.

XVI. Ἐπεὶ δὲ παντὶ δήμῳ τὸ κακόηθες καὶ φιλαίτιον ἔνεστι πρὸς τοὺς πολιτευομένους, καὶ πολλὰ τῶν χρησίμων, ἂν μὴ στάσιν ἔχῃ μηδ' ἀντιλογίαν, ὑπονοοῦσι πράττεσθαι συνωμοτικῶς, καὶ τοῦτο διαβάλλει μάλιστα τὰς ἑταιρείας καὶ φιλίας· ἀληθινὴν μὲν ἔχθραν ἢ διαφορὰν οὐδεμίαν ἑαυτοῖς ὑπολειπτέον, ὡς ὁ τῶν Χίων δημαγωγὸς, Ὀνομάδημος, οὐκ εἴα τῇ στάσει κρατήσας, πάντας ἐκβάλλειν τοὺς ὑπεναντίους· Ὅπως (ἔφη) μὴ πρὸς τοὺς φίλους ἀρξώμεθα [3] διαφέρεσθαι, τῶν ἐχθρῶν παντάπασιν ἀπαλλαγέντες. τοῦτο μὲν γὰρ εὔηθες· ἀλλ' ὅταν ὑπόπτως ἔχωσιν οἱ πολλοὶ πρός τι πρᾶγμα καὶ μέγα καὶ σωτήριον, οὐ δεῖ πάντας, ὥσπερ ἀπὸ συντάξεως ἥκοντας, τὴν αὐτὴν λέγειν γνώμην, ἀλλὰ καὶ δύο καὶ τρεῖς διαστάντας ἀντιλέγειν ἠρέμα τῷ φίλῳ, εἶτα ὥσπερ ἐξελεγχομένους μετατίθεσθαι· συνεφέλκονται γὰρ οὕτω τὸν δῆμον, ὑπὸ τοῦ συμφέροντος ἄγεσθαι δόξαντες.

ἐν

1 Petav. ἐν οἰκονομίαις.
2 absunt a Petav. ἀπὸ τούτων.
3 Aelian. V. H. XIV, 25. Plut. Opp. Vol. VII. p. 284.

ἐν μέντοι τοῖς ἐλάττοσι καὶ πρὸς μέγα μηδὲν διήκουσιν, οὐ χεῖρόν ἐστι καὶ ἀληθῶς ἐᾶν διαφέρεσθαι τοὺς φίλους, ἕκαστον ἰδίῳ λογισμῷ χρώμενον· ὅπως περὶ τὰ κυριώτατα καὶ μέγιστα φαίνωνται πρὸς τὸ βέλτιστον οὐκ ἐκ παρασκευῆς ὁμοφρονοῦντες.

XVII. Φύσει μὲν οὖν ἄρχων ἀεὶ πόλεως ὁ πολιτικὸς, ὥσπερ ἡγεμὼν ἐν μελίτταις· καὶ τοῦτο χρὴ διανοούμενον, ἔχειν τὰ δημόσια διὰ χειρός· ἃς δ' ὀνομάζουσιν ἐξουσίας καὶ χειροτονοῦσιν ἀρχὰς, μήτ' ἄγαν διώκειν καὶ πολλάκις· (οὐ γὰρ σεμνὸν, οὐδὲ δημοτικὸν, ἡ φιλαρχία) μήτ' ἀπωθεῖσθαι [1], τοῦ δήμου κατὰ νόμον διδόντος καὶ καλοῦντος· ἀλλὰ κἂν ταπεινότεραι τῆς δόξης ὦσι, δέχεσθαι καὶ συμφιλοτιμεῖσθαι (δίκαιον γὰρ, ὑπὸ τῶν μειζόνων κοσμουμένους ἀρχῶν, ἀντικοσμεῖν τὰς ἐλάττονας·) καὶ τῶν μὲν βαρυτέρων (οἷον στρατηγίας Ἀθήνησι, καὶ πρυτανείας ἐν Ῥόδῳ, καὶ Βοιωταρχίας παρ' ἡμῖν) ὑφίεσθαί τι καὶ παρενδιδόναι μετριάζοντα· ταῖς δὲ μικροτέραις ἀξίωμα προστιθέναι καὶ ὄγκον· ὅπως μήτε περὶ ταύτας εὐκαταφρόνητοι, μήτ' ἐπίφθονοι περὶ ἐκείνας ὦμεν. εἰσιόντα δ' εἰς ἅπασαν ἀρχὴν, οὐ μόνον ἐκείνους δεῖ προχειρίζεσθαι τοὺς λογισμοὺς, οὓς ὁ Περικλῆς αὐτὸν ὑπεμίμνησκεν ἀναλαμβάνων τὴν χλαμύδα· Πρόσεχε, Περίκλεις· ἐλευθέρων ἄρχεις, Ἑλλήνων ἄρχεις, πολιτῶν Ἀθηναίων· ἀλλὰ κἀκεῖνο λέγειν πρὸς ἑαυτόν· Ἀρχόμενος ἄρχεις, ὑποτεταγμένης πόλεως ἀνθυπάτοις, ἐπιτρόποις Καίσαρος· οὐ ταῦτα λόγχης [2] πεδία, οὐδὲ αἱ παλαιαὶ Σάρδεις, οὐδὲ ἡ Λυδῶν ἐκεί-

[1] R. mavult μήτ' αὖ ἀπωθ.

[2] E. λόγχης παιδιά; R. fufp. οὐ ταῦτ' Ἀλόπης πεδία. W. judice, vulgata forte tuenda. Kaltw. interprete, & haec e poëta quodam defumta judicante, fenfus hic eft: „*Jezt unter der römifchen Herrfchaft hat der Gefchäftsmann in Sardis nicht mehr Gelegenheit, fich an die Spitze einer Armee zu ftellen, und gegen die Feinde des Vaterlandes zu kämpfen.*"

ἐκείνη δύναμις· εὐσταλεστέραν [1] δεῖ τὴν χλαμύδα ποιεῖν, καὶ βλέπειν ἀπὸ τοῦ στρατηγίου πρὸς τὸ βῆμα [2], καὶ τῷ στεφάνῳ μὴ πολὺ Φρόνημα πιστεύειν [3], ὁρῶντα τοὺς καλτίους ἐπάνω τῆς κεφαλῆς· ἀλλὰ μιμεῖσθαι τοὺς ὑποκριτὰς, πάθος μὲν ἴδιον καὶ ἦθος καὶ ἀξίωμα τῷ ἀγῶνι προστιθέντας, τοῦ δὲ ὑποβολέως ἀκούοντας, καὶ μὴ παρεκβαίνοντας τοὺς ῥυθμοὺς καὶ τὰ μέτρα τῆς διδομένης ἐξουσίας ὑπὸ τῶν κρατούντων. ἡ γὰρ ἔκπτωσις οὐ Φέρει συριγμὸν οὐδὲ χλευασμὸν, ἀλλὰ πολλοῖς μὲν ἐπέβη

Δεινὸς κολαστὴς πέλεκυς αὐχένος τομεὺς,

ὡς τοῖς περὶ Παρδάλαν τὸν ὑμέτερον [4], ἐκλαθομένοις τῶν ὅρων [5]. ὁ δέ τις ἐκριΦεὶς εἰς νῆσον γέγονε, κατὰ τὸν Σόλωνα,

Φολεγάνδριος [6], ἢ Σικινίτης,
Ἀντί γ' Ἀθηναίου πατρίδ' ἀμειψάμενος.

τὰ μὲν [7] γὰρ μικρὰ παιδία τῶν πατέρων ὁρῶντες ἐπιχειροῦντα τὰς κρηπῖδας ὑποδεῖσθαι καὶ τοὺς στεφάνους περιτίθεσθαι, μετὰ παιδιᾶς γελῶμεν· οἱ δ' ἄρχοντες ἐν ταῖς πόλεσιν ἀνοήτως τὰ τῶν προγόνων ἔργα καὶ Φρονήματα καὶ πράξεις ἀσυμμέτρους τοῖς παροῦσι καιροῖς καὶ πρά-

1 Turn. Bong. εὐτελεστέραν.

2 Kaltw. haec ita collocanda cenſet ἀπὸ τοῦ βήματος πρὸς τὸ στρατήγιον.

3 R. ſuſp. Φρόνημα προσάπτειν vel περιάπτειν, μηδὲ πιστεύειν ſcil. τῷ στεφάνῳ.

4 Petav. ἡμέτερον. Idem e Ms. notat Xyl. ſupra tamen υ adſcripto R. τὸν ὑμέτερον recte habere monet, cum Menemachum Sardianum alloquatur, & Pardalas quoque Sardianus fuerit.

5 Xyl. ſuſp. ὅρκων — *jurisjurandi oblitum*, quanquam ſic quoque accipi poſſe monet, eos finium ſuae poteſtatis oblitos, magiſtratuque abuſos, exitium ſibi attuliſſe.

6 Sic ſcribendum eſſe Xyl. monuit, non Φελεγάνδριος, uti eſt in Ald. Baſ. Arg. Pet. neque Φλεγάνδ. uti in Ms. ſuo legerat. Pholegandrus & Sicinus inſulae parvae maris Aegaei. Petav. Σικινήτης.

7 abeſt μὲν a Petav.

πράγμασιν ἔσας μιμεῖσθαι κελεύοντες, ἐξαίρεσι [1] τὰ πλήθη, γελοῖά τε ποιοῦντες, οὐκέτι γέλωτος ἄξια πάσχουσιν, ἂν μὴ πάνυ καταφρονηθῶσι. πολλὰ γάρ ἐστιν ἄλλα τῶν πρότερον Ἑλλήνων διεξιόντα τοῖς νῦν, ἠθοποιεῖν καὶ σωφρονίζειν· ὡς Ἀθήνησιν ὑπομιμνήσκοντα μὴ τῶν πολεμικῶν, ἀλλ' οἷόν ἐστι τὸ ψήφισμα τὸ τῆς ἀμνηστίας ἐπὶ τοῖς τριάκοντα [2]· καὶ τὸ ζημιῶσαι Φρύνιχον, τραγῳδίᾳ διδάξαντα τὴν Μιλήτου ἅλωσιν [3]. καὶ ὅτι Θήβας Κασάνδρου κτίζοντος, ἐστεφανηφόρησαν· τὸν δ' ἐν Ἄργει πυθόμενοι [4] σκυταλισμὸν, ἐν ᾧ πεντακοσίους καὶ χιλίους ἀνῃρήκεσαν ἐξ αὐτῶν οἱ Ἀργεῖοι, περιενεγκεῖν καθάρσιν περὶ τὴν ἐκκλησίαν ἐκέλευσαν· ἐν δὲ τοῖς Ἁρπαλείοις τὰς οἰκίας ἐρευνῶντες, μόνην τὴν τοῦ γεγαμηκότος νεωστὶ παρῆλθον [5]. ταῦτα γὰρ ἔξεστι καὶ νῦν ζηλοῦντας, ἐξομοιοῦσθαι τοῖς προγόνοις· τὸν δὲ Μαραθῶνα, καὶ τὸν Εὐρυμέδοντα, καὶ τὰς Πλαταιὰς, καὶ ὅσα τῶν παραδειγμάτων οἰδεῖν ποιεῖ καὶ φρυάττεσθαι διακενῆς τοὺς πολλοὺς, ἀπολιπόντας ἐν ταῖς σχολαῖς τῶν σοφιστῶν.

XVIII. Οὐ μόνον δὲ δεῖ παρέχειν αὑτόν τε καὶ τὴν πατρίδα πρὸς τοὺς ἡγεμόνας [6] ἀναίτιον, ἀλλὰ καὶ φίλον ἔχειν ἀεί τινα τῶν ἄνω δυνατωτάτων, ὥσπερ ἕρμα τῆς πολιτείας βέβαιον· τοιοῦτοι [7] γάρ εἰσι Ῥωμαῖοι, πρὸς τὰς πολιτικὰς σπουδὰς προθυμότατοι τοῖς φί-

1 R. fufp. κελεύοντες, αἳ ἐξαίρουσι. Pro feq. πλήθη Xyl. notat fcriptum male habere πάθη.

2 Xenoph. Hift. gr. II, 4. Cornel. Nep. Thrafyb.

3 Herodot. VI, 21. Aelian. V. H. 13, 17. Petav. omittit τὴν ante Μιλήτου.

4 Diodor. Sic. 15, 57. 58.

5 Cf. Demofth. Vit. opp. Plut. Vol. V. p. 292. fq.

6 Petav. ἡγεμένους.

7 Petav. αὐτοί.

φίλοις· καὶ καρπὸν ἐκ ἐκ φιλίας [1] ἡγεμονικῆς λαμβάνοντες, οἷον ἔλαβε Πολύβιος καὶ Παναίτιος, τῇ Σκιπίωνος εὐνοίᾳ πρὸς αὐτὲς μεγάλα τὰς πατρίδας ὠφελήσαντες, εἰς εὐδαιμονίαν ἐξενέγκαθαι καλόν. Ἄρειόν τε Καῖσαρ, ὅτε τὴν Ἀλεξάνδρειαν εἷλε, διὰ χειρὸς ἔχων, καὶ μόνῳ προσομιλῶν τῶν συνήθων, συνεισήλασεν [2], εἶτα τοῖς Ἀλεξανδρεῦσι τὰ ἔχατα προσδοκῶσι καὶ δεομένοις, ὁ Αὔγεσος ἔφη, διαλλάττεσθαι, διά τε τὸ μέγεθος τῆς πόλεως, καὶ διὰ τὸν οἰκιςὴν Ἀλέξανδρον, καὶ τρίτον (ἔφη) τῷ φίλῳ με τέτῳ χαριζόμενος. ἆρά γ' ἄξιον τῇ χάριτι ταύτῃ παραβαλεῖν τὰς πολυταλάντες ἐπιτροπὰς καὶ διοικήσεις τῶν ἐπαρχιῶν, ἃς διώκοντες οἱ πολλοὶ γηράσκεσι πρὸς ἀλλοτρίαις θύραις, τὰ οἴκοι προλιπόντες; ἢ τὸν Εὐριπίδην ἐπανορθωτέον, ᾄδοντα καὶ λέγοντα, ὡς, εἴπερ ἀγρυπνεῖν χρὴ, καὶ φοιτᾶν ἐπ' αὐλὴν ἑτέρε, καὶ ὑποβάλλειν ἑαυτὸν ἡγεμονικῇ συνηθείᾳ, πατρίδος πέρι κάλλισον [3] ἐπὶ ταῦτα χωρεῖν, τὰ δ' ἄλλα τὰς ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις φιλίας ἀσπάζεσθαι καὶ διώκειν.

XIX. Ποιῦντα μέντοι καὶ παρέχοντα τοῖς κρατῦσιν εὐπειθῆ τὴν πατρίδα, δεῖ μὴ προσεκταπεινῦν, μηδὲ, τῦ σκέλυς δεδεμένυ, προσυποβάλλειν καὶ τὸν τράχηλον, ὥσπερ ἔνιοι, καὶ μικρὰ καὶ μείζω φέροντες ἐπὶ τὰς ἡγεμόνας, ἐξονειδίζυσι τὴν δυλείαν, μᾶλλον δὲ ὅλως τὴν πολιτείαν ἀναιρῦσι, καταπλῆγα καὶ περιδεῆ καὶ πάν-

1 Locus non integer, Xyl. judice. Deleri vult ἐκ, & λαμβάνοντας legi pro λαμβάνοντες, & ἐξενέγκαθαι accipi pro *citare*, *proferre*. Jungit denique vertendo εἰς εὐδαιμονίαν cum ὠφελήσαντες. R. susp. λαμβάνοντα, deleto simul ἐκ, ut redeat ad αὐτὸν cap. init. & ad infin. ἐξενέγκ. W. autem: καὶ καρπὸν ἐκ φιλίας ἡγεμονικῆς λαμβάνοντας, οἷον —— εἰς δημοσίαν εὐδαιμονίαν ἐξενέγκ. καλόν.

2 Petav. συνήλασεν. Cf. Sueton. August. c. 89. Dio Cass. L. 51, c. 16.

3 absunt a Petav. περὶ κάλλισον.

πάντων ἄκυρον ποιοῦντες. ὥσπερ γὰρ οἱ χωρὶς ἰατροῦ μήτε δειπνεῖν μήτε λοῦσθαι συνεθισθέντες, οὐδ' ὅσον ἡ φύσις δίδωσι, χρῶνται τῷ ὑγιαίνειν· οὕτως οἱ παντὶ δόγματι καὶ συνεδρίῳ καὶ χάριτι καὶ διοικήσει προσάγοντες ἡγεμονικὴν κρίσιν, ἀναγκάζουσιν ἑαυτῶν μᾶλλον ἢ βούλονται δεσπότας εἶναι τοὺς ἡγουμένους. αἰτία δὲ τούτου μάλιστα πλεονεξία καὶ φιλονεικία τῶν πρώτων· ἢ γὰρ ἐν οἷς βλάπτουσι τοὺς ἐλάττονας ἐκβιάζονται φεύγειν [1] τὴν πόλιν, ἢ περὶ ὧν διαφέρονται πρὸς ἀλλήλους, οὐκ ἀξιοῦντες ἐν τοῖς πολίταις ἔχειν ἔλαττον, ἐπάγονται τοὺς κρείττονας· ἐκ τούτου δὲ καὶ βουλὴ καὶ δῆμος καὶ δικαστήρια καὶ ἀρχὴ πᾶσα τὴν ἐξουσίαν ἀπόλλυσι. δεῖ δὲ τοὺς μὲν ἰδιώτας ἰσότητι, τοὺς δὲ δυνατοὺς ἀνθυπείξει πραΰνοντα, κατέχειν ἐν τῇ πολιτείᾳ καὶ διαλύειν τὰ πράγματα [2], πολιτικήν τινα ποιούμενον αὐτῶν, ὥσπερ νοσημάτων ἀποῤῥήτων [3], ἰατρείαν, αὐτόν τε μᾶλλον ἡττᾶσθαι βουλόμενον ἐν τοῖς πολίταις, ἢ νικᾶν ὕβρει [4] καὶ καταλύσει τῶν οἴκοι δικαίων, τῶν τ' ἄλλων ἑκάστου δεόμενον καὶ διδάσκοντα τὴν φιλονεικίαν ὅσον ἐστὶ κακόν· νῦν δὲ ὅπως μὴ πολίταις καὶ φυλέταις οἴκοι καὶ γείτοσι καὶ συνάρχουσιν ἀνθυπείξωσι μετὰ τιμῆς καὶ χάριτος, ἐπὶ ῥητόρων θύρας καὶ πραγματικῶν χεῖρας ἐκφέρουσι σὺν πολλῇ βλάβῃ καὶ αἰσχύνῃ τὰς διαφοράς. οἱ μὲν γὰρ ἰατροὶ τῶν νοσημάτων ὅσα μὴ δύνανται παντάπασιν ἀνελεῖν, ἔξω τρέπουσιν εἰς τὴν ἐπιφάνειαν τοῦ σώματος· ὁ δὲ πολιτικός, ἂν μὴ δύνηται τὴν πόλιν ἀπράγμονα παντελῶς διαφυλάττειν,

1 R. susp. ἐκβιάζωνται τοῖς ἡγεμόσι προσφεύγειν. W. vulgatam ita vertendo exprimit: *in his quae cum damno inferiorum agunt, operam dant, ut civium judicium subterfugiant.*

2 κατέχειν — τὰ πράγματα absunt a Petav. qui deinde habet αὐτόν pro vulg. αὐτῶν.

3 Ald. Bas. Argent. Petav. ἀποῤῥήτον.

4 R. mavult ἐφ' ὕβρει.

λάττειν, ἐν αὐτῇ γε πειράσεται τὸ ταρασσόμενον αὐτῆς καὶ συςασιάζον [1] ἀποκρύπτων ἰᾶσθαι καὶ διοικεῖν, ὡς ἂν ἥκιςα τῶν ἐκτὸς ἰατρῶν καὶ φαρμάκων δέοιτο. ἡ μὲν γὰρ προαίρεσις ἔςω τῦ πολιτικῦ τῆς ἀσφαλείας ἐχομένη, καὶ φεύγυσα τὸ ταρακτικὸν τῆς κενῆς δόξης καὶ μανικὸν, ὡς εἴρηται· τῇ μέντοι διαθέσει φρόνημα καὶ μένος πολυθαρσὲς ἐνέςω

Ἄτρομον [2], οἷόν τ' ἄνδρας ἐπέρχεται, οἳ περὶ πάτρης
Ἀνδράσι δυσμενέεσσι

καὶ πράγμασι δυσκόλοις καὶ καιροῖς ἀντερείδυσι καὶ διαμάχονται. δεῖ γὰρ ὐ ποιεῖν χειμῶνας αὐτὸν, ἀλλὰ μὴ προλιπεῖν, ἐπιπεσόντων, ὐδὲ κινεῖν τὴν πόλιν ἐπισφαλῶς, σφαλλομένῃ δὲ καὶ κινδυνευύσῃ βοηθεῖν, ὥσπερ ἄγκυραν ἱερὰν ἀράμενον ἐξ αὐτῦ τὴν παῤῥησίαν ἐπὶ τοῖς μεγίςοις· οἷα Περγαμηνὺς [3] ἐπὶ Νέρωνος κατέλαβε πράγματα, καὶ Ῥοδίυς ἔναγχος ἐπὶ Δομετιανῦ, καὶ Θεσσαλὺς πρότερον ἐπὶ τῦ Σεβαςῦ, Πετραῖον ζῶντα κατακαύσαντας.

Ἔνθ' ὐκ ἂν βρίζοντα ἴδοις [4],

ὐδὲ καταπτώσσοντα, τὸν ἀληθῶς πολιτικὸν, ὐδ' αἰτιώμενον ἑτέρυς, αὐτὸν δὲ τῶν δεινῶν ἔξω τιθέμενον, ἀλλὰ καὶ πρεσβεύοντα, καὶ πλέοντα, καὶ λέγοντα πρῶτον, ὐ μόνον·

Ἥκομεν οἱ κτείναντες, ἀπότρεπε λοιγὸν, Ἄπολλον·

ἀλλὰ

1 Petav. fimpl. ςασιάζον.

2 Iliad. XVII, 157.

3 R. ad haec: „Pergameni dura caufa fuerunt impliciti propterea, quod Acratum, Neronis libertum, ftatuas & picturas avehere vetuiffent, auctore Tacito Annal. XVI, 23. Rhodiis unaque caeteris Graecis, ob continuas feditiones ademtam libertatem a Vefpafiano fuiffe, novi; at de Rhodiorum, regnante Domitiano, tumultu nihil invenio, neque de Theffalorum motu & Petreii fupplicio, neque de Perfei & Pompeji erga fuos hoftes generofitate. De Sullae erga Praeneftinos immanitate loquuntur hiftoriae. V. Appian."

4 Iliad. IV, 223.

ἀλλὰ [1] κἂν τῆς ἁμαρτίας μὴ μετάσχῃ τοῖς πολλοῖς, τὰς κινδύνους ὑπὲρ αὐτῶν ἀναδεχόμενον. καὶ γὰρ καλὸν τοῦτο, καὶ πρὸς τῷ καλῷ πολλάκις ἑνὸς ἀνδρὸς ἀρετὴ καὶ Φρόνημα θαυμασθὲν ἠμαύρωσε τὴν πρὸς πάντας ὀργὴν, καὶ διεσκέδασε τὸ Φοβερὸν καὶ πικρὸν τῆς ἀπειλῆς· οἷα καὶ πρὸς Βοῦλιν ἔοικε καὶ Σπέρχιν [2] τὰς Σπαρτιάτας παθεῖν ὁ Πέρσης, καὶ πρὸς Σθένωνα [3] Πομπήϊος ἔπαθεν, ὅτε, Μαμερτίνους μέλλοντος αὐτοῦ κολάζειν διὰ την ἀπόστασιν, οὐκ, ἔφη, δίκαια πράξειν αὐτὸν ὁ Σθένων, εἰ πολλὰς ἀναιτίους ἀπολεῖ δι' ἕνα τὸν αἴτιον· ὁ γὰρ ἀποστήσας τὴν πόλιν, αὐτὸς εἶναι τὰς μὲν Φίλους πείσας, τὰς δ' ἐχθρὰς βιασάμενος· οὕτω ταῦτα διέθηκε τὸν Πομπήϊον, ὥστε καὶ τὴν πόλιν ἀφεῖναι, καὶ τῷ Σθένωνι χρήσασθαι Φιλανθρώπως. ὁ δὲ Σύλλα ξένος ὁμοίᾳ μὲν ἀρετῇ, πρὸς οὐχ ὅμοιον δὲ, χρησάμενος, εὐγενῶς ἐτελεύτησεν. ἐπεὶ γὰρ ἑλὼν Πραίνεστον [4] ὁ Σύλλας ἔμελλε τὰς ἄλλους ἅπαντας ἀποσφάττειν, ἕνα δ' ἐκεῖνον [5] ἠφίει διὰ τὴν ξενίαν, εἰπὼν, ὡς οὐ [6] βούλεται σωτηρίας χάριν εἰδέναι τῷ Φονεῖ τῆς πατρίδος, ἀνέμιξεν ἑαυτὸν καὶ συγκατεκόπη τοῖς πολίταις. τοιούτους μὲν οὖν καιροὺς ἀπεύχεσθαι χρὴ, καὶ τὰ βελτίονα προσδοκᾶν.

XX. Ἱερὸν δὲ χρῆμα καὶ μέγα πᾶσαν ἀρχὴν οὖσαν καὶ ἄρχοντα δεῖ μάλιστα τιμᾶν. τιμὴ δ' ἀρχῆς ὁμοφροσύνη καὶ Φιλία πρὸς συνάρχοντας πολλῷ μᾶλλον, ἢ στέφανοι καὶ χλαμὺς περιπόρφυρος. οἱ δὲ τὸ συστρατεύσασθαι καὶ συνεφηβεῦσαι Φιλίας ἀρχὴν τιθέμενοι, τὸ

M 2 δὲ

1 Delendum ἀλλὰ, R. judice, cum vix praecesserit.

2 B. Σπέρχιν; Herodot. Σπερθίην, qui rem ipsam pluribus refert L. VII, 134. sqq.

3 In Pompeji vit. (Vol. IV. p. 145.) vocatur *Sthenis*, & Vol. VIII. p. 159. *Sthennius*.

4 F. Ms. notat Xyl. Πραίνετον.

5 Ita cum W. dedi e Petav. Xyl. Salmas. pro vulg. ἐκείνων.

6 οὐ male abest a Petav.

δὲ συςρατηγεῖν καὶ συνάρχειν ἔχθρας αἴτιον λαμβάνοντες, ἓν τῶν τριῶν κακῶν ἐ διαπεφεύγασιν· ἢ γὰρ ἴσες ἡγέμενοι τὲς συνάρχοντας αὐτοὶ ςασιάζεσιν, ἢ κρείττονας φθονεσιν, ἢ ταπεινοτέρες καταφρονεσι. δεῖ δὲ καὶ θεραπεύειν τὸν κρείττονα, καὶ κοσμεῖν τὸν ἥττονα, καὶ τιμᾶν τὸν ὅμοιον, ἀσπάζεσθαι δὲ καὶ φιλεῖν ἅπαντας, ὡς ἐ διὰ τραπέζης ἢ κώθωνος ἐδὲ [1] ἐφ' ἑςίας, ἀλλὰ κοινῇ καὶ δημοσίᾳ ψήφῳ [2] φίλες γεγονότας, καὶ τρόπον τινὰ πατρῴαν τὴν ἀπὸ τῆς πατρίδος εὔνοιαν ἔχοντας. ὁ γεν Σκιπίων ἤκεσεν ἐν Ῥώμῃ [3] κακῶς, ὅτι φίλες ἑςιῶν ἐπὶ τῇ καθιερώσει τε Ἡρακλεἰε, τὸν συνάρχοντα Μόμμιον ἐ παρέλαβε· καὶ γὰρ, εἰ τἄλλα μὴ φίλες ἐνόμιζον ἑαυτὲς, ἐν τοῖς γε τοιέτοις ἠξίεν τιμᾶν καὶ φιλοφρονεῖσθαι διὰ τὴν ἀρχήν. ὅπε τοίνυν ἀνδρὶ τἄλλα θαυμασίῳ, τῷ Σκιπίωνι, μικρὸν ἔτω φιλανθρώπευμα παραλειφθὲν ὑπεροψίας ἤνεγκε δόξαν, ἦπε κολέων ἄν τις ἀξίωμα συνάρχοντος, ἢ πράξεσιν ἐχέσαις φιλοτιμίαν ἐπηρεάζων, ἢ πάντα συλλήβδην ἀνατιθεὶς ἅμα καὶ περιάγων ὑπ' αὐθαδείας εἰς ἑαυτὸν, ἐκείνε δ' ἀφαιρέμενος, ἐπιεικὴς ἂν φανείη καὶ μέτριος; μέμνημαι νέον ἐμαυτὸν ἔτι πρεσβευτὴν μεθ' ἑτέρε πεμφθέντα πρὸς ἀνθύπατον, ἀπολειφθέντος δέ πως ἐκείνε, μόνον ἐντυχόντα καὶ διαπραξάμενον· ὡς ἓν ἔμελλον ἐπανελθὼν ἀποπρεσβεύειν ἀναςὰς ὁ πατὴρ κατ' ἰδίαν [4] ἐκέλευσε μὴ λέγειν, ᾠχόμην, ἀλλ', ᾠχόμεθα· μηδὲ, εἶπον,

1 Vulgo ἐδέν. Hinc R. legendum monuit ἐδ' ἐφ' ἑςίας, vel ἐδὲ μὴν ἐφ' ἑςίας, *nec coram foco*, h. e. domi suae. Dedi ἐδὲ cum W. ex Ald. Baf. Xyl. Argent. Petav. adsentientibus A. B.

2 abeſt ψήφῳ a Petav.

3 abſunt ἐν Ῥώμῃ a Petav.

4 R. monet, dubium eſſe, quo pertineat κατ' ἰδίαν, utrum ad ἐκέλευε, *privatim me admonebat*, an ad λέγειν, *monebat, ut mihi caverem a rebus geſtis privatim ſolique mihi tribuendis.* Praefert tamen poſterius.

που, ἀλλ', εἴπομεν, καὶ τἄλλα συνεφαπτόμενον ἔτω καὶ κοινέμενον ἀπαγγέλλειν [1]. ἐ γὰρ μόνον ἐπιεικὲς τὸ τοιἕτον καὶ φιλάνθρωπόν ἐςιν, ἀλλὰ καὶ τὸ λυπἕν τὸν φθόνον [2] ἀφαιρεῖ τῆς δόξης. ὅθεν οἱ μεγάλοι καὶ δαίμονα καὶ τύχην τοῖς κατορθώμασι συνεπιγράφεσιν, ὡς Τιμολέων, ὁ τὰς ἐν Σικελίᾳ καταλύσας τυραννίδας, Αὐτοματίας ἱερὸν ἱδρύσατο· καὶ Πύθων ἐπὶ τῷ Κότυν ἀποκτεῖναι θαυμαζόμενος καὶ τιμώμενος ὑπὸ τῶν Ἀθηναίων· Ὁ θεὸς (ἔφη) ταῦτ' ἔπραξε, τὴν χεῖρα παρ' ἐμἕ χρησάμενος. Θεόπομπος δὲ, ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, πρὸς τὸν εἰπόντα, σώζεσθαι τὴν Σπάρτην διὰ τὲς βασιλεῖς ἀρχικὲς ὄντας· Μᾶλλον (ἔφη) διὰ τὲς πολλὲς πειθαρχικὲς ὄντας.

XXI. Γίνεται μὲν ἔν δι' ἀλλήλων ἀμφότερα ταῦτα. λέγεσι δὲ οἱ πλεῖςοι καὶ νομίζεσι, πολιτικῆς παιδείας ἔργον εἶναι τὸ καλῶς ἀρχομένες παρεχεῖν· καὶ γὰρ πλέον ἐςὶ τἕ ἄρχοντος ἐν ἑκάςῃ πόλει τὸ ἀρχόμενον· καὶ χρόνον ἕκαςος ἄρχει βραχὺν, ἄρχεται δὲ τὸν ἅπαντα χρόνον ἐν δημοκρατίᾳ πολιτευόμενος· ὥςε κάλλιςον εἶναι μάθημα καὶ χρησιμώτατον, τὸ πειθαρχεῖν τοῖς ἡγεμένοις, κἂν ὑποδεέςεροι δυνάμει καὶ δόξῃ τυγχάνωσιν ὄντες. ἄτοπον γὰρ ἐςι, τὸν μὲν ἐν τραγῳδίᾳ πρωταγωνιςὴν, Θεόδωρον, ἢ Πῶλον, ὄντα μισθωτῷ [3] τῷ τὰ τρίτα λέγοντι πολλάκις ἕπεσθαι καὶ προσδιαλέγεσθαι ταπεινῶς, ἂν ἐκεῖνος ἔχῃ τὸ διάδημα καὶ τὸ σκῆπτρον· ἐν δὲ πράξεσιν ἀληθιναῖς καὶ πολιτείᾳ τὸν πλέσιον καὶ ἔνδοξον ὀλιγωρεῖν καὶ καταφρονεῖν ἄρχοντος ἰδι-



1 absunt a Petav. καὶ τἄλλα — ἀπαγγέλλειν.

2 W. susp. τὸν λοιπὸν φθόνον.

3 Bas. μισθῷ. Xyl. e Ms. notavit μισθωτῷ. Dedi deinde ex ejusdem mente τὰ τρίτα λέγ. consentientibus Valesio ad Harpocrat. p. 293. R. & W. pro vulg. τὰ τρία λέγ. Simili modo apud Plutarchum dicitur ὁ δεύτερα λέγων. Petav. paulo post πρὸς τὸ διαλέγεσθαι ταπεινός.

ἰδιώτου καὶ πένητος, ἐνυβρίζοντα καὶ καθαιροῦντα [1] τῷ περὶ αὐτὸν ἀξιώματι τὸ τῆς πόλεως, ἀλλὰ μὴ μᾶλλον αὔξοντα καὶ προστιθέντα τὴν ἀπ' αὐτοῦ δόξαν καὶ δύναμιν τῇ ἀρχῇ· καθάπερ ἐν Σπάρτῃ τοῖς Ἐφόροις οἵ τε [2] βασιλεῖς ὑπεξανίσταντο, καὶ τῶν ἄλλων ὁ κληθεὶς οὐ βάδην ὑπήκουεν, ἀλλὰ δρόμῳ καὶ σπουδῇ δι' ἀγορᾶς θέοντες, ἐπεδείκνυντο τὴν εὐπείθειαν τοῖς πολίταις, ἀγαλλόμενοι τῷ τιμᾶν τοὺς ἄρχοντας· οὐχ ὥσπερ ἔνιοι τῶν ἀπειροκάλων καὶ σολοίκων, οἷον ἰσχύος ἑαυτῶν καλλωπιζόμενοι περιουσίᾳ, βραβευτὰς ἐν ἀγῶσι προπηλακίζουσι, καὶ χορηγοὺς ἐν Διονυσίοις λοιδοροῦσι, καὶ στρατηγῶν καὶ γυμνασιαρχῶν καταγελῶσιν, οὐκ εἰδότες οὐδὲ μανθάνοντες, ὅτι τοῦ τιμᾶσθαι τὸ τιμᾶν πολλάκις ἐστὶν ἐνδοξότερον. ἀνδρὶ γάρ, ἐν πόλει δυναμένῳ μέγα, μείζονα φέρει κόσμον ἄρχων δορυφορούμενος ὑπ' αὐτοῦ καὶ προπεμπόμενος, ἢ δορυφορῶν καὶ προπέμπων· μᾶλλον δὲ τοῦτο μὲν ἀηδίαν καὶ φθόνον, ἐκεῖνο δὲ τὴν ἀληθινὴν φέρει καὶ [3] τὴν ἀπ' εὐνοίας δόξαν· ὀφθεὶς δ' ἐπὶ θύραις ποτὲ καὶ πρότερος ἀσπασάμενος, καὶ λαβὼν ἐν περιπάτῳ μέσον οὐδὲν ἀφαιρούμενος ἑαυτοῦ, τῇ πόλει κόσμον περιτίθησι.

XXII. Δημοτικὸν δὲ καὶ βλασφημίαν ἐνεγκεῖν καὶ ὀργὴν ἄρχοντος, ἢ τὸ τοῦ Διομήδους ὑπειπόντα·

Τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται [4].

ἢ τὸ τοῦ Δημοσθένους, ὅτι νῦν οὐκ ἔστι Δημοσθένης μόνον, ἀλλὰ καὶ θεσμοθέτης, ἢ χορηγός, ἢ στεφανηφόρος. ἀναθετέον οὖν τὴν ἄμυναν εἰς τὸν χρόνον [5]· ἢ γὰρ ἐπέξιμεν ἀπαλλαγέντι τῆς ἀρχῆς, ἢ κερδανοῦμεν ἐν τῷ περιμένειν, τὸ παύσασθαι τῆς ὀργῆς.

XXIII.

1 R. mavult συγκαθαιροῦντα.
2 Petav. ὅτε οἱ βασ. & deinde ὑπήκουσαν.
3 abest καὶ a Petav. nec habet E. forte rectius, W. judice.
4 Iliad. IV, 415.
5 R. monente, excidisse videtur οἰκεῖον vel προσήκοντα, vel simile.

XXIII. Σπȣδῇ μέντοι καὶ προνοίᾳ περὶ τὰ κοινὰ καὶ Φροντίδι πρὸς ἅπασαν ἀρχὴν ἀεὶ διαμιλλητέον· ἂν μὲν ὦσι χαρίεντες, αὐτὸν ὑφηγȣ́μενον, ἃ δεῖ καὶ Φράζοντα καὶ διδόντα χρῆσθαι τοῖς βεβȣλευμένοις ὀρθῶς, καὶ τὸ κοινὸν εὐδοκιμεῖν ὠφελȣ͂ντα [1]. ἐὰν δ' ἐνῇ τις ἐκείνοις ὄκνος ἢ μέλλησις ἢ κακοήθεια πρὸς τὴν πρᾶξιν, ȣ̔́τω χρὴ παρεῖναι καὶ λέγειν αὐτὸν εἰς τȣ̀ς πολλȣ̀ς, καὶ μὴ παραμελεῖν, μηδὲ ὑφίεσθαι τῶν κοινῶν, ὡς ȣ̓ προσῆκον, ἄρχοντος ἑτέρȣ, πολυπραγμονεῖν καὶ παραδιοικεῖν. ὁ γὰρ νόμος ἀεὶ τῷ τὰ δίκαια πράσσοντι καὶ γινώσκοντι τὰ συμφέροντα τὴν πρώτην τάξιν ἐν τῇ πολιτείᾳ δίδωσιν. ἦν δέ τις, Φησὶν, ἐν τῷ στρατεύματι Ξενοφῶν [2], ȣ̓́τε στρατηγὸς, ȣ̓́τε λοχαγὸς, ἀλλὰ τῷ Φρονεῖν τὰ δέοντα καὶ τολμᾷν αὐτὸν εἰς τὸ ἄρχειν καταστήσας, διέσωσε τȣ̀ς Ἕλληνας. καὶ τῶν Φιλοποίμενος ἔργων ἐπιφανέστατόν ἐστι, τὸ, Ἄγιδος [3] Μεσσήνην καταλαβόντος, ȣ̓κ ἐθέλοντος δὲ τȣ͂ στρατηγȣ͂ τῶν Ἀχαιῶν βοηθεῖν, ἀλλ' ἀποδειλιῶντος, αὐτὸν ὁρμήσαντα μετὰ τῶν προθυμοτάτων ἄνευ δόγματος, ἐξελέσθαι τὴν πόλιν. ȣ̓ μὴν διὰ μικρὰ δεῖ καὶ τὰ τυχόντα καινοτομεῖν, ἀλλ' ἐπὶ τοῖς ἀναγκαίοις, ὡς ὁ [4] Φιλοποίμην· ἢ τοῖς καλοῖς, ὡς Ἐπαμεινώνδας, ἐπιβαλὼν τέτταρας μῆνας τῇ Βοιωταρχίᾳ παρὰ τὸν νόμον, ἐν οἷς εἰς τὴν Λακωνικὴν ἐνέβαλε, καὶ τὰ περὶ Μεσσήνην ἔπραξεν· ὅπως κᾂν ἀπαντᾷ τις ἐπὶ τȣ́τῳ [5] κατηγορία καὶ μέμψις,



1 R. legi vult ὠφελȣ͂ντας, *copiam ipsis facientem laudis & applausus ex eo ferendi, si rem communem commodis auxerint.*

2 R. mavult Ξενοφῶν Ἀθηναῖος, ὃς ȣ̓́τε στρ. & deinde λοχαγὸς ὢν, ἀλλά; aut Ξενοφῶν· ȣ̔͂τος ὢν ȣ̓́τε στρ. — cf. Expedit. Cyri L. III. c. 2.

3 Nisi librariorum est vitium, memoriae lapsu Plutarchus *Agidem* hic nominat, loco *Nabidis*. Corrigit ita Mez. Cf. Vit. Philopoemenis, Vol. II, p. 453. sq.

4 abest ὁ a Petav.

5 absunt a Petav. τις ἐπὶ τȣ́τῳ.

ψις, ἀπολογίαν τῆς κατηγορίας τὴν ἀνάγκην [1] ἔχωμεν, ἢ παραμυθίαν τοῦ κινδύνου, τὸ μέγεθος τῆς πράξεως καὶ τὸ κάλλος.

XXIV. Ἰάσονος, τοῦ Θεσσαλῶν μονάρχου, γνώμην ἀπομνημονεύουσιν, ἐφ' οἷς ἐβιάζετο καὶ παρηνώχλει τινὰς, ἀεὶ λεγομένην, ὡς ἀναγκαῖον, ἀδικεῖν τὰ μικρὰ τοὺς βουλομένους τὰ μεγάλα δικαιοπραγεῖν. τοῦτον μὲν οὖν ἄν τις εὐθὺς καταμάθοι τὸν λόγον, ὡς ἐστι δυναστευτικός. ἐκεῖνο δὲ πολιτικώτερον παράγγελμα, τὸ τὰ μικρὰ τοῖς πολλοῖς προΐεσθαι χαριζόμενον, ἐπὶ τῷ τοῖς μείζοσιν ἐνίστασθαι καὶ κωλύειν ἐξαμαρτάνοντας. ὁ γὰρ περὶ πάντα λίαν ἀκριβὴς καὶ σφοδρὸς, οὐδὲν ὑποχαρῶν οὐδὲ ὑπείκων, ἀλλὰ τραχὺς ἀεὶ καὶ ἀπαραίτητος, ἀντιφιλονεικεῖν τὸν δῆμον αὐτῷ καὶ προσδυσκολαίνειν ἐθίζει,

Μικρὸν δὲ ποδὸς χαλάσαι μεγάλῃ κύματος ἀλκῇ·

τὰ μὲν αὐτὸν ἐνδιδόντα καὶ συμπαίζοντα κεχαρισμένως, οἷον ἐν θυσίαις καὶ ἀγῶσι καὶ θεάτροις, τὰ δὲ ὥσπερ ἐν οἰκίᾳ νέων ἁμαρτήματα προσποιούμενον παρορᾷν καὶ παρακούειν, ὅπως ἡ τοῦ νουθετεῖν καὶ παῤῥησιάζεσθαι δύναμις, ὥσπερ φαρμάκου, μὴ κατακεχρημένη μηδὲ ἕωλος, ἀλλ' ἀκμὴν ἔχουσα καὶ πίστιν, ἐν τοῖς μείζοσι μᾶλλον καθάπτηται καὶ δάκνῃ τοὺς πολλούς. Ἀλέξανδρος μὲν γὰρ, ἀκούσας, τὴν ἀδελφὴν ἐγνωκέναι τινὰ τῶν καλῶν καὶ νέων, οὐκ ἠγανάκτησεν, εἰπὼν, ὅτι κἀκείνῃ τι δοτέον ἀπολαῦσαι τῆς βασιλείας· οὐκ ὀρθῶς τὰ τοιαῦτα συγχωρῶν, οὐδ' ἀξίως ἑαυτοῦ· δεῖ γὰρ τῆς ἀρχῆς τὴν κατάλυσιν καὶ ὕβριν, ἀπόλαυσιν μὴ νομίζειν. δήμῳ δὲ ὕβριν μὲν οὐδεμίαν εἰς πολίτας, οὐδὲ δήμευσιν ἀλλοτρίων, οὐδὲ κοινῶν διανέμησιν, ὁ πολιτικὸς ἐφήσει κατὰ δύναμιν, ἀλλὰ πείθων καὶ διδάσκων καὶ δεδιττόμενος, διαμαχεῖται ταῖς τοιαύταις ἐπιθυμίαις, οἵας οἱ

[1] Xyl. e marg. Ms. notat *αἰτίαν*, & probat, cum & *ἀνάγκην* & *κάλλος* complectatur.

οἱ περὶ Κλέωνα βόσκοντες καὶ αὔξοντες, πολὺν (ὥς φησιν ὁ Πλάτων) κηφῆνα τῇ πόλει κεκεντρωμένον ἐνεποίησαν [1]. ἐὰν δὲ ἑορτὴν πάτριον οἱ πολλοὶ καὶ θεῦ τιμὴν πρόφασιν λαβόντες ὁρμήσωσι πρός τινα θέαν, ἢ νέμησιν ἐλαφρὰν, ἢ χάριν τινὰ φιλάνθρωπον, ἢ φιλοτιμίαν, ἔσω πρὸς τὰ τοιαῦτα ἡ τῆς ἐλευθερίας ἅμα καὶ τῆς εὐπορίας ἀπόλαυσις αὐτοῖς. καὶ γὰρ τοῖς Περικλέυς πολιτεύμασι καὶ τοῖς Δημητρίυ [2] πολλὰ τοιαῦτα ἔνεσι· καὶ Κίμων ἐκόσμησε τὴν ἀγορὰν πλατάνων φυτείαις καὶ περιπάτοις· Κάτων δὲ, τὸν δῆμον ὑπὸ Καίσαρος ὁρῶν ἐν τοῖς περὶ Κατιλίναν διαταρασσόμενον, καὶ πρὸς μεταβολὴν τῆς πολιτείας ἐπισφαλῶς ἔχοντα, συνέπεισε τὴν βυλὴν ψηφίσαθαι νεμήσεις τοῖς πένησι, καὶ τῦτο δοθὲν ἔςησε τὸν θόρυβον, καὶ κατέπαυσε τὴν ἐπανάςασιν. ὡς γὰρ ἰατρὸς, ἀφελὼν πολὺ τῦ διεφθορότος αἵματος, ὀλίγον ἀβλαβῦς τροφῆς προσήνεγκεν, ὕτως ὁ πολιτικὸς ἀνὴρ, μέγα τι τῶν ἀδόξων ἢ βλαβερῶν παρελόμενος, ἐλαφρᾷ πάλιν χάριτι καὶ φιλανθρώπῳ τὸ δυσκολαῖνον καὶ μεμψιμοιρῦν παρηγόρησεν.

XXV. Οὐ χεῖρον δὲ καὶ μετάγειν ἐπ' ἄλλα χρειώδη τὸ σπυδαζόμενον, ὡς ἐποίησε Δημάδης, ὅτε τὰς προσόδυς εἶχεν ὑφ' ἑαυτῷ τῆς πόλεως· ὡρμημένων [3] γὰρ ἐκπέμπειν τριήρεις βοηθὺς τοῖς ἀφισαμένοις Ἀλεξάνδρυ, καὶ χρήματα κελευόντων παρέχειν ἐκεῖνον [4]. Ἔςιν ὑμῖν (ἔφη) χρήματα· παρεσκευασάμην γὰρ εἰς τὺς χόας [5], ὥσθ' ἕκαςον ὑμῶν λαβεῖν ἡμιμναῖον· εἰ δ' εἰς ταῦτα βύλεσθε μᾶλλον, αὐτοὶ καταχρῆσθε τοῖς ἰδίοις. καὶ τῦτον τὸν τρόπον, ὅπως μὴ ςεροῖντο τῆς διανομῆς, ἀφέν-

1 Petav. ἐποίησαν.

2 Demetrium Phalereum significat. R.

3 Ita R. legendum monuit, *Athenienfibus paratis* — dedique cum W. ex Ald. Baf. Xyl. B. E. Petav. pro vulg. ὡρμημένυ.

4 Petav. ἐκείνων, & deinde ἡμῖν.

5 B. τὰς χόας.

ἀφέντων τὸν ἀπόστολον, ἔλυσε τὸ πρὸς Ἀλέξανδρον ἔγκλημα τοῦ δήμου. πολλὰ γὰρ ἀπ' εὐθείας οὐκ ἔστιν ἐξῶσαι τῶν ἀλυσιτελῶν, ἀλλὰ δεῖ τινος ἀμωσγέπως καμπῆς καὶ περιαγωγῆς· οἵᾳ καὶ Φωκίων ἐχρῆτο, κελευόμενος εἰς Βοιωτίαν ἐμβαλεῖν παρὰ καιρόν· ἐκήρυξε γὰρ εὐθὺς ἀκολουθεῖν ἀφ' ἥβης τοὺς μέχρι ἐτῶν ἑξήκοντα· καὶ θορύβου τῶν πρεσβυτέρων γενομένου· Τί δεινόν; (εἶπεν) ἐγὼ γὰρ ὁ στρατηγὸς, ὀγδοήκοντα γεγονὼς ἔτη, μεθ' ὑμῶν ἔσομαι. τούτῳ δὴ τῷ τρόπῳ καὶ πρεσβείας διακοπτέον ἀκαίρους, συγκαταλέγοντα πολλοὺς τῶν ἀνεπιτηδείως ἐχόντων· καὶ κατασκευὰς ἀχρήστους, κελεύοντα συνεισφέρειν· καὶ δίκας ἀπρεπεῖς, ἀξιοῦντα συμπαρεῖναι καὶ συναποδημεῖν [1]· πρώτους δὲ τοὺς γράφοντας τὰ τοιαῦτα καὶ παροξύνοντας ἕλκειν δεῖ [2] καὶ παραλαμβάνειν· ἢ γὰρ ἀναδυόμενοι αὐτοὶ τὴν πρᾶξιν διαλύειν δόξουσιν, ἢ μεθέξουσι τῶν δυσχερῶν παρόντες.

XXVI. Ὅπου μέντοι μέγα δεῖ περανθῆναί τι καὶ χρήσιμον, ἀγῶνος δὲ πολλοῦ καὶ σπουδῆς δεόμενον, ἐνταῦθα πειρῶ τῶν φίλων αἱρεῖσθαι τοὺς κρατίστους, ἢ τῶν κρατίστων τοὺς πρᾳοτάτους· ἥκιστα γὰρ ἀντιπράξουσιν οὗτοι, καὶ μάλιστα συνεργήσουσι, τὸ φρονεῖν ἄνευ τοῦ φιλονεικεῖν ἔχοντες. οὐ μὴν ἀλλὰ καὶ τῆς ἑαυτοῦ φύσεως ἔμπειρον ὄντα δεῖ, πρὸς ὃ χείρων [3] ἑτέρου πέφυκας, αἱρεῖσθαι τοὺς μᾶλλον δυναμένους ἀντὶ τῶν ὁμοίων· ὡς ὁ Διομήδης ἐπὶ τὴν κατασκοπὴν μεθ' ἑαυτοῦ τὸν φρόνιμον [4] εἵλετο, τοὺς ἀνδρείους παρελθών. καὶ γὰρ αἱ πράξεις μᾶλλον ἰσορροποῦσι [5], καὶ τὸ φιλόνει-

1 W. quaerit, an συναποδικεῖν, an cum verf. Xyl. & Mez. post δίκας inferendum καὶ ἀποδημίας?

2 Petav. δή.

3 Dedi fic e R. mente pro vulg. χεῖρον.

4 Iliad. X. 243, fqq.

5 *rebus a se, sed diversa ratione diversaque per virtutes cuique proprias gestis, patriae commoda comparant aequalia.* R

λόνεικον ἐκ ἐγγίνεται πρὸς ἀλλήλες τοῖς ἀφ' ἑτέρων ἀρετῶν καὶ δυνάμεων φιλοτιμεμένοις. λάμβανε δὴ καὶ δίκης συνεργὸν [1] καὶ πρεσβείας κοινωνόν· ἂν λέγειν μὴ δυνατὸς ἦς, τὸν ῥητορικὸν, ὡς Πελοπίδας Ἐπαμεινώνδαν· κἂν ἀπίθανος πρὸς ὁμιλίαν πλήθες καὶ ὑψηλὸς, ὡς Καλλικρατίδας [2], τὸν εὔχαριν καὶ θεραπευτικόν· κἂν ἀσθενὴς τὸ σῶμα καὶ δύσεργος, τὸν φιλόπονον καὶ ῥωμαλέον, ὡς Νικίας Λάμαχον. ἔτω γὰρ ἦν [3] ὁ Γηρυόνης ζηλωτὸς, ἔχων σκέλη πολλὰ καὶ χεῖρας καὶ ὀφθαλμὲς, εἰ πάντα μία ψυχὴ διῴκει [4]. τοῖς δὲ πολιτικοῖς ἔξεςι, μὴ σώματα μηδὲ χρήματα μόνον, ἀλλὰ καὶ τύχας καὶ δυνάμεις καὶ ἀρετὰς, ἂν ὁμονοῶσιν, εἰς μίαν χρείαν συντιθέντας, μᾶλλον εὐδοκιμεῖν ἄλλε [5] περὶ τὴν αὐτὴν πρᾶξιν· ἐχ ὥσπερ οἱ Ἀργοναῦται τὸν Ἡρακλέα καταλιπόντες ἠναγκάζοντο διὰ τῆς γυναικωνίτιδος καταδόμενοι καὶ καταφαρμακευόμενοι, σώζειν ἑαυτὲς καὶ κλέπτειν τὸ νάκος. χρυσὸν μὲν εἰς ἔνια τῶν ἱερῶν εἰσιόντες ἔξω καταλείπεσι. σίδηρον δὲ, ὡς ἁπλῶς εἰπεῖν, εἰς ἐδὲν συνεισφέρεσιν· ἐπεὶ δὲ κοινόν ἐςιν ἱερὸν τὸ βῆμα Βελαίε τε Διὸς καὶ Πολιέως, καὶ Θέμιδος καὶ Δίκης, αὐτόθεν μὲν ἤδη φιλοπλετίαν καὶ φιλοχρηματίαν, ὥσπερ σίδηρον, καὶ μεςὸν ἰε νόσημα, τῆς ψυχῆς [6] ἀποδυσάμενος, εἰς ἀγορὰς καπήλων ἢ δανειςῶν ἀπόρῥιψον·

— Αὐ-

1 magis probabile videtur W. συνήγορον.

2 De Callicratida Diod. Sic. XIII, 76. R. Desiderari posse videtur nomen ejus, quem Callicratidas sibi adjunxit, ut membra sibi respondeant.

3 W. susp. γὰρ ἂν ἦν, addens, alioquin sequens εἰ mutandum esse in οἷς, quod tamen ne sic quidem placeat.

4 Secutus sum W. ita de suo dantem pro vulgari omnibusque libris communi διώκει. Petav. μιᾷ ψυχῇ.

5 W. judice, vitii quid subest, nec satisfacit ἐπ' ἄλλα, quod B. habet.

6 Kaltw. ita haec transponenda censet: σίδηρον μεςὸν ἰε καὶ νόσημα τῆς ψυχῆς.

— Αὐτὸς δ' ἀπὸ νόσφι τραπέσθαι [1],
τὸν ἀπὸ δημοσίων χρηματιζόμενον ἡγέμενος ἀφ' ἱερῶν κλέπτειν, ἀπὸ τάφων, ἀπὸ φίλων, ἐκ προδοσίας, ἀπὸ ψευδομαρτυρίας, σύμβȣλον ἄπιςον εἶναι, δικαςὴν ἐπίορκον, ἄρχοντα δωροδόκον, ȣ̓δεμιᾶς ἁπλῶς καθαρὸν ἀδικίας. ὅθεν ȣ̓ δεῖ πολλὰ περὶ τȣ́των λέγειν.

XXVII. Ἡ δὲ φιλοτιμία, καίπερ ȣ̓͂σα σοβαρωτέρα τῆς φιλοκερδείας, ȣ̓κ ἐλάττονας ἔχει κῆρας ἐν πολιτείᾳ. καὶ γὰρ τὸ τολμᾷν αὐτῇ πρόσεςι μᾶλλον· ἐμφύεται γὰρ ȣ̓κ ἀργαῖς ȣ̓δὲ ταπειναῖς, ἀλλ' ἐῤῥωμέναις μάλιςα καὶ νεανικαῖς προαιρέσεσι· καὶ τὸ παρὰ τῶν ὄχλων ῥόθιον πολλάκις συνεξαῖρον αὐτὴν καὶ συνεξωθȣ̃ν τοῖς ἐπαίνοις, ἀκατάσχετον ποιεῖ καὶ δυσμεταχείριςον. ὥσπερ ȣ̓͂ν ὁ Πλάτων ἀκȣςέον εἶναι τοῖς νέοις ἔλεγεν ἐκ παίδων εὐθὺς, ὡς ȣ̓́τε περικεῖσθαι χρυσὸν αὐτοῖς ἔξωθεν, ȣ̓́τε κεκτῆσθαι θέμις, οἰκεῖον ἐν τῇ ψυχῇ συμμεμιγμένον ἔχοντας, αἰνιττόμενος, οἶμαι, τὴν ἐκ γένȣς διατείνȣσαν εἰς τὰς φύσεις αὐτῶν ἀρετήν· ȣ̔́τω παραμυθώμεθα τὴν φιλοτιμίαν, λέγοντες ἐν ἑαυτοῖς χρυσὸν ἔχειν ἀδιάφθορον καὶ ἀκήρατον καὶ ἄχραντον ὑπὸ φθόνȣ καὶ μώμȣ τιμὴν, ἅμα λογισμῷ καὶ παραθεωρήσει [2] τῶν πεπραγμένων ἡμῖν καὶ πεπολιτευμένων αὐξανόμενον [3]. διὸ μὴ δεῖσθαι γραφομένων τιμῶν ἢ πλαττομένων ἢ χαλκοτυπȣμένων [4], ἐν αἷς καὶ τὸ εὐδοκιμȣ̃ν ἀλλότριόν ἐςιν. ἐπαινεῖται γὰρ ȣ̓χ ᾧ γέγονεν, ἀλλ' ὑφ' ȣ̔̃ γέγονεν, ὁ σαλπιγκτὴς καὶ ὁ δορυφόρος [5]. ὁ δὲ Κάτων, ἤδη ποτὲ [6] τῆς Ῥώμης ἀναπιμ-

1 Odyss. V, 350.

2 W. mavult ἀναθεωρήσει; Ald. Bas. Xyl. Argent. περιθεωρήσει.

3 R. mavult αὐξανομένην, ut redeat ad τιμήν.

4 Petav. χαλκῶν τυπȣμένων.

5 R. monente, sugillat Plut. obscure & in transitu morem suo tempore tralatitium, vel vilissimo cuique, tubicini aut satelliti, statuam ponendi.

6 R. mavult ἤδη τότε.

πιμπλαμένης ἀνδριάντων, οὐκ ἐῶν αὐτοῦ γενέσθαι· Μᾶλλον (ἔφη) βούλομαι πυνθάνεσθαί τινας, διὰ τί μου ἀνδριὰς οὐ κεῖται, ἢ διὰ τί κεῖται [1]. καὶ γὰρ φθόνον ἔχει τὰ τοιαῦτα, καὶ νομίζουσιν οἱ πολλοὶ τοῖς μὴ λαβοῦσιν αὐτοὶ χάριν ὀφείλειν, τοὺς δὲ λαβόντας αὐτοῖς [2] καὶ βαρεῖς εἶναι, οἷον ἐπὶ μισθῷ τὰς χρείας ἀπαιτοῦντες [3]. ὥσπερ οὖν ὁ παραπλεύσας τὴν Σύρτιν, εἶτ' ἀνατραπεὶς περὶ τὸν πορθμὸν, οὐθὲν μέγα πεποίηκεν οὐδὲ σεμνόν· οὕτως ὁ τὸ ταμεῖον φυλαξάμενος καὶ τὸ δημοσιώνιον, ἁλοὺς δὲ περὶ τὴν προεδρίαν ἢ τὸ πρυτανεῖον, ὑψηλῷ [4] προσέπταισεν ἀκρωτηρίῳ, βαπτίζεται δὲ ὁμοίως. ἄριστος μὲν οὖν ὁ μηδενὸς δεόμενος τῶν τοιούτων, ἀλλὰ φεύγων καὶ παραιτούμενος· ἂν δ' ᾖ μὴ ῥᾴδιον, δήμου τινὰ χάριν ἀπώσασθαι καὶ φιλοφροσύνην πρὸς τοῦτο ῥυέντος, ὥσπερ οὐκ ἀργυρίτην οὐδὲ δωρίτην [5] ἀγῶνα πολιτείας ἀγωνιζομένοις, ἀλλὰ ἱερὸν ὡς ἀληθῶς καὶ στεφανίτην, ἐπιγραφή τις ἀρκεῖ, καὶ πινάκιον, καὶ ψήφισμα, καὶ θαλλὸς, ὡς Ἐπιμενίδης ἔλαβεν ἐξ ἀκροπόλεως, καθήρας τὴν πόλιν. Ἀναξαγόρας δὲ τὰς διδομένας ἀφεὶς [6] τιμὰς, ᾐτήσατο, τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἂν τελευτήσῃ, τοὺς παῖδας ἀφιέναι παίζειν καὶ σχολάζειν ἀπὸ τῶν μαθημάτων. τοῖς δὲ τοὺς Μάγους ἀνελοῦσιν ἑπτὰ Πέρσαις, ἔδωκαν αὐτοῖς καὶ τοῖς ἀπ' αὐτῶν γενομένοις εἰς τοὔμπροσθεν τῆς κεφαλῆς τὴν τιάραν φορεῖν· τοῦτο γὰρ ἐποιήσαντο [7] σύμβολον, ὡς ἔοικε, χωροῦντες ἐπὶ τὴν πρᾶξιν. ἔχει δέ τι καὶ ἡ τοῦ Πιττακοῦ

τιμὴ

1 Verba ἢ διὰ τί κεῖται abſunt a Petav.

2 Subaudi χάριν ὀφείλειν e ſuperioribus.

3 W. ſuſp. ἀποτελοῦντες, vel οἷον ἐπὶ ταῖς χρείαις μισθὸν ἀπαιτοῦντες.

4 R. deſiderat μὲν poſt ὑψηλῷ. Dando deinde προσέπταισεν ſecutus ſum W. ita ex B. & E. ſumentem pro vulg. προσέπταικεν.

5 Verba οὐδὲ δωρίτην abſunt a Petav.

6 Petav. τῆς διδομένης ταφῆς.

7 Petav. ἐποίησαν τό.

τιμὴ πολιτικόν· ἧς γὰρ ἐκτήσατο χώρας τοῖς πολίταις, γῆν, ἣν [1] ἂν ἐθέλοι, λαβεῖν κελευσθεὶς, ἔλαβε τοσαύτην, ὅσην ἐπῆλθε τὸ ἀκόντιον, αὐτοῦ βαλόντος· ὁ δὲ Ῥωμαῖος Κόκλης [2], ἣν ἡμέρᾳ μιᾷ χωλὸς ὢν περιήροσεν. οὐ γὰρ μισθὸν εἶναι δεῖ τῆς πράξεως, ἀλλὰ σύμβολον, τὴν τιμὴν, ἵνα καὶ διαμένῃ πολὺν χρόνον, ὥσπερ ἐκεῖναι διέμειναν. Τῶν δὲ Δημητρίου τοῦ Φαληρέως τριακοσίων ἀνδριάντων οὐδεὶς ἔσχεν ἰὸν οὐδὲ πίνον, ἀλλὰ πάντες ἔτι ζῶντος προανῃρέθησαν· τοὺς δὲ Δημάδου κατεχώνευσαν εἰς ἀμίδας· καὶ πολλαὶ τοιαῦτα τιμαὶ πεπόνθασιν, οὐ μοχθηρίᾳ τοῦ λαβόντος μόνον, ἀλλὰ καὶ μεγέθει τοῦ δοθέντος δυσχερανθεῖσαι. διὸ κάλλισον καὶ βεβαιότατον εὐτέλεια τιμῆς φυλακτήριον· αἱ δὲ μεγάλαι καὶ ὑπέρογκοι καὶ βάρος ἔχουσαι, παραπλησίως τοῖς ἀσυμμέτροις ἀνδριᾶσι, ταχὺ περιτρέπονται.

XXVIII. Ὀνομάζω δὲ νῦν τιμὰς, ἃς οἱ πολλοὶ κατ' Ἐμπεδοκλέα

ἣ θέμις καλοῦσιν, ὅμως ἐπίφημι καὶ αὐτὸς [3].

ἐπεὶ τήν γε [4] ἀληθινὴν τιμὴν καὶ χάριν ἱδρυμένην ἐν εὐνοίᾳ καὶ διαθέσει [5] τῶν μεμνημένων οὐχ ὑπερόψεται πολι-

1 R. susp. ὅσην ἄν.

2 Ita Bas. habet, vertitque Xyl. & Mez. legi vult, dedique, Liv. de Horatio Coclite idem referente, L. II. c. 10. In Argent. fuit κόπλιος, manu autem correctum κόκλιος. Pro seq. ἣν W. susp. ὅσην.

3 W. rectius legi monet cum Mez. οὐ καλέουσιν pro καλοῦσιν. R. susp. ὀνομάζων δὲ νῦν τιμὰς, ἃς οἱ πολλοὶ οὐχ ἣ θέμις καλοῦσιν, ὅμως ἐπίφημι καὶ αὐτὸς, κατ' Ἐμπεδοκλέα, *quamvis honores eos in praesentia appellem, quos vulgus non recte sic appellat, largior tamen aliquid consuetudini, more Empedoclis*: addens, Empedoclem scilicet alicubi suorum carminum usum fuisse dictione: ὅμως ἐπίφημι καὶ αὐτὸς, *nihilominus consentiam ego quoque*, eamque Plutarchum suam hic fecisse.

4 Petav. omittit γε.

5 R. aliquando cogitarat εὐνοϊκῇ διαθέσει: at nunc e Polybio & aliis edoctus, recte habere vulgatam, monet, cum διατίθεσθαι πρός τινα sit *ipsi bene velle*, vel *favere*.

πολιτικὸς ἀνὴρ, ἐδέ γε δόξαν ἀτιμάσει, φεύγων τὸ τοῖς πέλας ἀνδάνειν, ὡς ἠξίε Δημόκριτος. ἐδὲ γὰρ κυνῶν ἀσπασμὸς, ἐδὲ ἵππων εὔνοια, θηραταῖς καὶ ἱπποτρόφοις ἀπόβλητον, ἀλλὰ καὶ χρήσιμον καὶ ἡδὺ, συντρόφοις καὶ συνήθεσι ζώοις τοιαύτην ἐνεργάσασθαι διάθεσιν πρὸς αὐτὸν, οἵαν ὁ Λυσιμάχε κύων ἐπεδείκνυτο, καὶ τῶν 'Αχιλλέως ἵππων ὁ ποιητὴς διηγεῖται περὶ τὸν Πάτροκλον [1]. οἶμαι δ' ἂν, καὶ τὰς μελίττας ἀπαλλάττειν βέλτιον, εἰ τὲς τρέφοντας καὶ θεραπεύοντας ἀσπάζεσθαι καὶ προσίεσθαι μᾶλλον ἢ κεντεῖν καὶ χαλεπαίνειν ἐβέλοντο· νυνὶ δὲ ταύτας μὲν καπνῷ κολάζεσιν· ἵππες δὲ ὑβριςὰς καὶ κύνας ἀποςάτας κλοιοῖς καὶ χαλινοῖς ἄγεσιν ἠναγκασμένες· ἄνθρωπον δ' ἀνθρώπῳ χειροήθη καὶ πρᾶον ἑκεσίως ἐδὲν, ἀλλ' ἡ πίςις εὐνοίας καὶ καλοκἀγαθίας δόξα καὶ δικαιοσύνης παρίςησιν. ᾗ καὶ [2] Δημοσθένης ὀρθῶς μέγιςον ἀποφαίνεται πρὸς τὲς τυράννες φυλακτήριον, ἀπιςίαν, ταῖς πόλεσι· τῦτο γὰρ μάλιςα τῆς ψυχῆς τὸ μέρος, ᾧ πιςεύομεν, ἀλώσιμόν ἐςιν. ὥσπερ ἦν τῆς Κασάνδρας ἀδοξέσης ἀνόνητος ἦν ἡ μαντικὴ τοῖς πολίταις·

> Ἄκραντα [3] γάρ με (φησὶν) ἔθηκε θεσπίζειν θεὸς,
> Καὶ πρὸς παθόντων, κἂν κακοῖσι κειμένων,
> Σοφὴ κέκλημαι, πρὶν παθεῖν δὲ μαίνομαι·

ὅτως ἡ πρὸς 'Αρχύταν [4] πίςις, καὶ πρὸς Βάττον εὔνοια τῶν πολιτῶν μεγάλα τὲς χρωμένες αὐτοῖς διὰ τὴν δόξαν ὠφέλησε. καὶ τῦτο μὲν πρῶτον καὶ μέγιςον ἔνεςι τῇ δόξῃ τῇ τῶν πολιτικῶν ἀγαθὸν, ἡ πάροδον ἐπὶ τὰς πρά-

1 Iliad. XIX, 405 sqq.

2 Sic R. legendum monuit — *quapropter etiam* — dedique cum W. ex Bas. Xyl. Mez. pro vulg. ἦν καί. Cf. Orat. Philipp. II, p. 71. edit. Reisk.

3 Ald. Bas. Arg. ἄκραντον. Xyl. correxit e Ms. et lege carminis.

4 Diog. Laërt. VIII, 79. Aelian. V. H. VII, 14.

5 Iliad. IV. 130. sq.

πράξεις διδȣ̃σα πίςις· δεύτερον δὲ, ὅτι πρὸς τὰς βασκάνȣς καὶ πονηρȣ̀ς ὅπλον ἡ παρὰ τῶν πολλῶν εὔνοια τοῖς ἀγαθοῖς ἐςιν.

— — — ὡς ὅτε μήτηρ

Παιδὸς ἐέργει μυῖαν, ὅθ' ἡδέϊ λέξεται ὕπνῳ [1],

ἀπερύκȣσα τὸν Φθόνον καὶ πρὸς τὰς δυνάμεις ἐπανισοῦσα τὸν ἀγεννῆ τοῖς εὐπατρίδαις, καὶ τὸν πένητα τοῖς πλȣσίοις, καὶ τὸν ἰδιώτην τοῖς ἄρχȣσι· καὶ ὅλως ὅταν ἀλήθεια καὶ ἀρετὴ προσγένηται, Φορὸν ἐςι πνεῦμα καὶ βέβαιον ἐπὶ τὴν πολιτείαν. σκόπει δὲ τὴν ἐναντίαν καταμανθάνων διάθεσιν ἐν τοῖς παραδείγμασι. τȣ̀ς μὲν γὰρ Διονυσίȣ παῖδας καὶ τὴν γυναῖκα καταπορνεύσαντες οἱ περὶ τὴν Ἰταλίαν ἀνεῖλον, εἶτα κατακαύσαντες [2] τὰ σώματα, τὴν τέφραν κατέσπειραν ἐκ πλοίου κατὰ τῆς θαλάττης. Μενάνδρȣ δέ τινος ἐν Βάκτροις ἐπιεικῶς βασιλεύσαντος, εἶτ' ἀποθανόντος ἐπὶ ςρατοπέδȣ, τὴν μὲν ἄλλην ἐποιήσαντο κηδείαν κατὰ τὸ κοινὸν αἱ πόλεις, περὶ δὲ τῶν λειψάνων αὐτȣ̃ καταςάντες εἰς ἀγῶνα, μόλις συνέβησαν, ὥςε νειμάμενοι μέρος ἴσον τῆς τέφρας ἀπελθεῖν, καὶ γενέσθαι μνημεῖα παρὰ πᾶσι τȣ̃ ἀνδρός. αὖθις Ἀκραγαντῖνοι μὲν, ἀπαλλαγέντες Φαλάριδος, ἐψηφίσαντο, μηδένα Φορεῖν ἱμάτιον γλαύκινον· οἱ γὰρ ὑπηρέται τȣ̃ τυράννου γλαυκίνοις ἐχρῶντο περιζώμασι. Πέρσαι δ', ὅτι γρυπὸς ἦν Κῦρος, ἔτι καὶ νῦν ἐρῶσι τῶν γρυπῶν, καὶ καλλίςȣς ὑπολαμβάνουσιν.

XXIX. Οὗτος [3] ἁπάντων ἐρώτων ἰσχυρότατος ἅμα καὶ θειότατός ἐςιν ὁ πόλεσι καὶ δήμοις πρὸς ἕνα δι' ἀρετὴν

1 Cf. Aelian. V. H. VI, 12. Strab. VI. p. 259. Plutarch. in *Timoleonte*, Vol. II. p. 132. Passus est illa Dionysius a Locrensibus. Errant R. et Ricard. qui haec ad Diodor. Sic. XIII, 12. referunt.

2 Petav. simpl. *καύσαντες*.

3 R. mavult *ὅτως*, *igitur*. Idem susp. W. cum eod. et Xyl. vers.

ἀρετὴν ἐγγινόμενος· αἱ δ' ἀπὸ θεάτρων ἢ νεμήσεων ἢ μονομάχων ψευδώνυμοι τιμαὶ καὶ ψευδομάρτυρες ἑταιρικαῖς ἐοίκασι κολακείαις ὄχλων, ἀεὶ τῷ διδόντι καὶ χαριζομένῳ προσμειδιώντων ἐφήμερόν τινα καὶ ἀβέβαιον δόξαν. εὖ μὲν ἦν ὁ πρῶτος εἰπὼν, καταλυθῆναι δῆμον [1] ὑπὸ τοῦ πρώτου δεκάσαντος, συνεῖδεν, ὅτι τὴν ἰσχὺν ἀποβάλλουσιν οἱ πολλοὶ, τοῦ λαμβάνειν ἥττονες γενόμενοι· δεῖ δὲ καὶ τοὺς δεκάζοντας οἴεσθαι καταλύειν ἑαυτοὺς, ὅταν ἀναλωμάτων μεγάλων ὠνούμενοι [2] τὴν δόξαν, ἰσχυροὺς ποιῶσι καὶ θρασεῖς τοὺς πολλοὺς, ὡς μέγα τι καὶ ἀφελέσθαι καὶ δοῦναι κυρίους ὄντας.

XXX. Οὐ μὴν διὰ τοῦτο μικρολογητέον ἐν τοῖς νενομισμένοις φιλοτιμήμασι, τῶν πραγμάτων εὐπορίαν παρεχόντων· ὡς μᾶλλον οἱ πολλοὶ μὴ μεταδιδόντα τῶν ἰδίων πλούσιον, ἢ πένητα τῶν δημοσίων κλέπτοντα, δι' ἔχθρας ἔχουσι, ὑπεροψίαν τοῦτο καὶ περιφρόνησιν αὐτῶν, ἐκεῖνο δ' ἀνάγκην ἡγούμενοι. γιγνέσθωσαν οὖν αἱ μεταδόσεις πρῶτον μὲν ἀντὶ μηδενός· οὕτω γὰρ ἐκπλήττουσι καὶ χειροῦνται μᾶλλον τοὺς λαμβάνοντας· ἔπειτα σὺν καιρῷ, πρόφασιν ἀστείαν καὶ καλὴν ἔχοντι, μετὰ τιμῆς θεοῦ πάντως [3] ἀγούσης πρὸς εὐσέβειαν· ἐγγίνεται γὰρ ἅμα τοῖς πολλοῖς ἰσχυρὰ διάθεσις καὶ δόξα τοῦ τὸ δαιμόνιον εἶναι μέγα καὶ σεμνὸν, ὅταν, οὓς αὐτοὶ τιμῶσι καὶ μεγάλους νομίζωσιν, οὕτως ἀφειδῶς καὶ προθύμως περὶ τὸ θεῖον ὁρῶσι φιλοτιμουμένους. ὥσπερ οὖν ὁ Πλάτων [4] ἀφεῖλε τῶν παιδευομένων νέων τὴν ἁρμονίαν τὴν Λύδιον καὶ τὴν Φρύγιον, τὴν μὲν, τὸ θρηνῶδες καὶ φιλοπενθὲς ἡμῶν ἐγείρουσαν τῆς ψυχῆς, τὴν δὲ,

1 W. legendum cenſet, ὁ εἰπὼν, πρῶτον καταλυθῆναι δῆμον υ. τ. π. δ. uti alibi apud Plut.

2 abſunt a Petav. δεῖ δὲ καὶ — ὠνούμενοι.

3 R. mavolt πάντας.

4 L. III. de Rep. Vol. VI. p. 286. ed. Bip.

δὲ, τὸ πρὸς ἡδονὰς ὀλισθηρὸν καὶ ἀκόλαστον αὔξουσιν· οὕτω σὺ τῶν Φιλοτιμιῶν ὅσαι τὸ Φονικὸν [1] καὶ θηριῶδες ἢ τὸ βωμολόχον καὶ ἀκόλαστον ἐρεθίζουσι καὶ τρέφουσι, μάλιστα μὲν ἐξέλαυνε τῆς πόλεως, εἰ δὲ μὴ, Φεῦγε, καὶ διαμάχου τοῖς πολλοῖς αἰτουμένοις τὰ τοιαῦτα θεάματα· χρηστὰς δὲ καὶ σώφρονας ἀεὶ ποιοῦ τῶν ἀναλωμάτων ὑποθέσεις, τὸ καλὸν ἢ τὸ ἀναγκαῖον ἐχούσας τέλος, ἢ τὸ γοῦν ἡδὺ καὶ κεχαρισμένον ἄνευ βλάβης καὶ ὕβρεως προσούσης.

XXXI. Ἂν δ᾽ ᾖ τὰ τῆς οὐσίας μέτρια, καὶ κέντρῳ καὶ διαστήματι περιγραφόμενα πρὸς τὴν χρείαν, οὔτ᾽ ἀγεννὲς οὔτε ταπεινὸν οὐδέν ἐστι, πενίαν ὁμολογοῦντα ταῖς τῶν ἐχόντων ἐξίστασθαι Φιλοτιμίαις, καὶ μὴ δανειζόμενον, οἰκτρὸν ἅμα καὶ καταγέλαστον εἶναι περὶ τὰς λειτουργίας· οὐ γὰρ λανθάνουσιν ἐξασθενοῦντες, ἢ Φίλοις ἐνοχλοῦντες, ἢ θωπεύοντες δανειστὰς, ὥστε μὴ δόξαν αὐτοῖς μηδ᾽ ἰσχὺν ἀλλὰ μᾶλλον αἰσχύνην καὶ καταΦρόνησιν, ἀπὸ τῶν τοιούτων ἀναλωμάτων ὑπάρχειν. διὸ χρήσιμον ἀεὶ πρὸς τὰ τοιαῦτα μεμνῆσθαι τοῦ Λαμάχου καὶ τοῦ Φωκίωνος· οὗτος μὲν γὰρ, ἀξιούντων αὐτὸν ἐν θυσίᾳ τῶν Ἀθηναίων ἐπιδοῦναι, καὶ κροτούντων πολλάκις· Αἰσχυνοίμην ἄν, (εἶπεν) ὑμῖν μὲν [2] ἐπιδιδοὺς, Καλλικλεῖ δὲ τούτῳ μὴ ἀποδιδούς· δείξας τὸν δανειστήν· Λάμαχος δ᾽ ἐν τοῖς τῆς στρατηγίας ἀεὶ προσέγραΦεν ἀπολογισμοῖς ἀργύριον εἰς κρηπῖδας αὐτῷ καὶ ἱμάτιον· Ἕρμωνι δὲ Θεσσαλοὶ, Φεύγοντι τὴν ἀρχὴν ὑπὸ πενίας, ἐψηΦίσαντο λάγυνον οἴνου κατὰ μῆνα διδόναι καὶ μέδιμνον ἀλΦίτων ἀΦ᾽ ἑκάστης τετράδος. οὕτως οὔτ᾽ ἀγεννές ἐστι πενίαν ὁμολογεῖν, οὔτε λείπονται πρὸς δύναμιν ἐν πόλεσι τῶν ἑστιώντων καὶ χορηγούντων οἱ πένητες, ἂν παρρησίαν

1 Petav. Φοινικόν.

2 abest μὲν a Petav. uti deinde τῆς ante στρατ. Paulo ante obvium κροτούντων, Kaltw. judice mutandum in καλούντων, coll. Phocion. Vit. c. 9. Vol. V. pag. 10. l. 4.

ῥησίαν ἀπ' ἀρετῆς καὶ πίςιν ἔχωσι. δεῖ δὴ [1] μάλιςα κρατεῖν ἑαυτῶν ἐν τοῖς τοιέτοις, καὶ μήτ' εἰς πεδία καταβαίνειν πεζὸν ἱππεῦσι μαχόμενον, μήτ' ἐπὶ ςάδια καὶ θυμέλας καὶ τραπέζας πένητα πλεσίοις ὑπὲρ δόξης καὶ δυναςείας διαγωνιζόμενον· ἀλλ' ἀπ' ἀρετῆς καὶ Φρονήματος ἀεὶ μετὰ λόγε πειρωμένοις [2] ἄγειν τὴν πόλιν, οἷς ἐ μόνον τὸ καλὸν καὶ τὸ σεμνὸν, ἀλλὰ καὶ τὸ κεχαρισμένον καὶ τὸ ἀγωγὸν, ἔνεςι,

Κροισείων αἱρετώτερον ςατήρων.

ἐ γὰρ αὐθάδης ἐδ' ἐπαχθὴς ὁ χρηςὸς, ἐδ' αὐθέκαςός ἐςιν ὁ σώφρων ἀνὴρ, καὶ [3]

Στείχει πολίταις ὄμμ' ἔχων ἰδεῖν πικρόν·

ἀλλὰ πρῶτον μὲν εὐπροσήγορος καὶ κοινὸς ὢν πελάσαι καὶ προσελθεῖν ἅπασιν, οἰκίαν τε παρέχων ἄκλειςον, ὡς λιμένα Φύξιμον ἀεὶ τοῖς χρήζεσι, καὶ τὸ κηδεμονικὸν καὶ Φιλάνθρωπον ἐ χρείαις ἐδὲ πράξεσι μόνον, ἀλλὰ καὶ τῷ συναλγεῖν πταίεσι, καὶ κατορθεσι συγχαίρειν, ἐπιδεικνύμενος· ἐδαμῆ δὲ λυπηρὸς, ἐδ' ἐνοχλῶν οἰκετῶν πλήθει περὶ λετρὸν, ἢ καταλήψεσι τόπων ἐν θεάτροις, ἐδὲ τοῖς εἰς τρυΦὴν καὶ πολυτέλειαν ἐπιΦθόνοις παράσημος [4]. ἀλλ' ἴσος καὶ ὁμαλὸς ἐσθῆτι καὶ διαίτῃ καὶ τροΦαῖς παίδων, καὶ θεραπείᾳ γυναικὸς, οἷον ὁμοδημεῖν καὶ συνανθρωπεῖν τοῖς πολλοῖς βελόμενος. ἔπειτα σύμβελον εὔνεν καὶ συνήγορον ἄμισθον καὶ διαλλακτὴν εὐμενῆ πρὸς γυναῖκας ἀνδρῶν, καὶ Φίλων πρὸς ἀλλήλες, παρέχων ἑαυτὸν, ἐ μικρὸν ἡμέρας μέρος ἐπὶ τε βήματος ἢ



1 Cod. innominatus δὲ pro δή; Petav. deinde ἑαυτόν.

2 R. susp. πειρᾶσθαι. W. cum Mez. legendum censet πειρώμενον.

3 abest καὶ a Petav.

4 R. mavult παρασήμοις.

τῦ λογείῳ [1] πολιτευόμενος, εἶτ' ἤδη παρὰ πάντα τὸν ἄλλον βίον [2]

Ἕλκων ἐφ' ἑαυτὸν [3], ὥσπερ Καικίας νέφη,

τὰς χρείας καὶ τὰς οἰκονομίας πανταχόθεν· ἀλλὰ δημοσιεύων ἀεὶ ταῖς φροντίσι, καὶ τὴν πολιτείαν, βίον καὶ πρᾶξιν, ἐκ ἀσχολίαν, ὥσπερ οἱ πολλοὶ, καὶ λειτεργίαν ἡγέμενος, πᾶσι τέτοις καὶ τοῖς τοιέτοις ἐπιστρέφει καὶ προσάγεται τὲς πολλὲς, νόθα καὶ κίβδηλα τὰ τῶν ἄλλων θωπεύματα καὶ δελεάσματα πρὸς τὴν τέτε κηδεμονίαν καὶ φρόνησιν ὁρῶντας. οἱ μὲν γὰρ Δημητρίε κόλακες ἐκ ἠξίεν βασιλεῖς τὲς ἄλλες προσαγορεύειν, ἀλλὰ τὸν μὲν Σέλευκον ἐλεφαντάρχην, τὸν δὲ Λυσίμαχον γαζοφύλακα, τὸν δὲ Πτολεμαῖον ναύαρχον ἐκάλεν, τὸν δ' Ἀγαθοκλέα νησιάρχην· οἱ δὲ πολλοὶ, κἂν ἐν ἀρχῇ τὸν ἀγαθὸν καὶ φρόνιμον ἀποῤῥίψωσιν, ὕστερον καταμανθάνοντες αὐτῦ τὴν ἀλήθειαν καὶ τὸ ἦθος, τῦτον ἡγῦνται μόνον πολιτικὸν καὶ δημοτικὸν καὶ ἄρχοντα, τῶν δ' ἄλλων, τὸν μὲν χορηγὸν, τὸν δὲ ἑστιάτορα, τὸν δὲ γυμνασίαρχον καὶ νομίζεσι καὶ καλῦσιν. εἶτα ὥσπερ ἐν τοῖς συμποσίοις, Καλλίε δαπανῶντος ἢ Ἀλκιβιάδε, Σωκρά-

1 Ita R. dandum monuit, dedique cum W. ex Petav. & A. Vulgo λογία. R. docente, parlatorium medio aevo appellabant, hodie burfam, locum, ubi cives colloquendi caufa conveniunt.

2 Vulgo πολιτευόμενος, ἢ τὰ μὴ παρὰ τῶν ἄλλων, εἶτ' ἤδη πάντα τὸν ἄλλον βίον. Salmaf. verba ἢ τὰ παρὰ τῶν ἄλλων uncis, ut delenda, inclufit, & adfcripfit: varia eft lectio pro ἤδη πάντα τὸν ἄλλον βίον. Salmaf. verba ἢ τὰ παρὰ τῶν ἄλλων uncis, ut delenda, inclufit, & adfcripfit: varia eft lectio pro ἤδη πάντα τὸν ἄλλον βίον. R. confentit, legendum monens πολιτευόμενος, εἶτα παρὰ πάντα τ. ἄ. β. Secutus fum W. ita dantem praeeuntibus Baf. & Xyl. In Baf. pro ἤδη extat μή.

3 W. cum Mez. legendum monet ἐφ' αὐτόν. Diftinguendo haec a reliqua oratione, ut verfum, fecutus fum W. Locutio proverbialis: *Caesias nubes attrahens*, Erafmo docente, ad eos fpectat, qui fibi ipfis multarum moleftiarum funt caufae.

κράτης ἀκέεται [1], καὶ πρὸς Σωκράτην πάντες ἀποβλέπεσιν, ἔτως ἐν ταῖς ὑγιαινέσαις πόλεσιν Ἰσμηνίας μὲν ἐπιδίδωσι, καὶ δειπνίζει Λίχας, καὶ χορηγεῖ Νικήρατος [2]. Ἐπαμεινώνδας δὲ καὶ Ἀριςείδης καὶ Λύσανδρος καὶ [3] ἄρχεσι καὶ πολιτεύονται καὶ ςρατηγᾶσι. πρὸς ἃ χρὴ βλέποντα μὴ ταπεινᾶσθαι, μηδ' ἐκπεπλῆχθαι τὴν ἐκ θεάτρων καὶ ὀπ]ανείων καὶ πολυανδρίων προσιςαμένην [4] τοῖς ὄχλοις δόξαν, ὡς ὀλίγον χρόνον ἐπιζῶσαν, καὶ τοῖς μονομάχοις καὶ ταῖς σκηναῖς ὁμᾶ συνδιαλυομένην, ἔντιμον δὲ μηδὲν, μηδὲ σεμνὸν, ἔχεσαν.

XXXII. Οἱ μὲν ἒν [5] ἔμπειροι θεραπείας καὶ τροφῆς μελιττῶν, τὸν μάλιςα βομβᾶντα τῶν σίμβλων καὶ θορύβε μεςὸν, τᾶτον εὐθηνεῖν καὶ ὑγιαίνειν νομίζεσιν· ᾧ δὲ τᾶ λογικᾶ καὶ πολιτικᾶ σμήνες ἐπιμέλειαν ἔχειν ὁ θεὸς ἔδωκεν, ἡσυχίᾳ μάλιςα καὶ πρᾳότητι δήμε τεκμαιρόμενος εὐδαιμονίαν, τὰ μὲν ἄλλα τᾶ Σόλωνος ἀποδέξεται, καὶ μιμήσεται κατὰ δύναμιν, ἀπορήσει δὲ καὶ θαυμάσει, τί παθὼν ἐκεῖνος ὁ ἀνὴρ ἔγραψεν, ἄτιμον εἶναι [6] τὸν ἐν ςάσει πόλεως μηδετέροις προσθέμενον. ὥτε γὰρ ἐν σώματι τῷ νοσᾶντι [7] γίνεται μεταβολῆς ἀρχὴ πρὸς τὸ ὑγιαί-



1 Cod. innominatus: Καλλίε διὰ παντὸς ἢ Ἀλκιβιάδε, Σωκράτες ἀκέεται. Intelliguntur Sympoſia Xenophontis & Platonis.

2 Ismenias Thebanus, divitiis clarus, Pelopidae amicus. Lichas Spartanus, de quo Xenoph. Memor. I, 2. 61. Niceratus, Niciae filius, opibus & humanitate clarus, a XXX tyrannis peremtus. Vid. Diod. Sic. XIV, 5.

3 R. hoc καὶ aut deleri vult, aut deeſſe nomen aliquod proprium clari ducis ſuſpicatur.

4 W. ad h. v. ita notat: „haud affirmem ſanum eſſe locum: niſi accipi poſſit *ſatietatem gloriae*, quod haec ſententia vix capit; ſuſpicer potius ſcriptum fuiſſe, προσγενομένην τοῖς ὀχλαγωγοῖς."

5 abeſt ἒν a cod. quodam innominato.

6 Vit. Solon. c. 20. Vol. I. opp. Plut.

7 Vulgo τὸ νοσᾶν. R. legi voluit aut ἐν σώματι νοσᾶντι, quod

ὑγιαίνειν ἀπὸ τῶν συννοσούντων μερῶν, ἀλλ' ὅταν ἡ παρὰ τοῖς ἐῤῥωμένοις ἰσχύουσα κρᾶσις ἐκστήσῃ τὸ παρὰ φύσιν· ἔν τε δήμῳ στασιάσαντι μὴ δεινὴν μηδ' ὀλέθριον στάσιν, ἀλλὰ παυσομένην ποτὲ [1] δεῖ τὸ ἀπαθὲς καὶ τὸ ὑγιαῖνον ἐγκεκρᾶσθαι πολὺ, καὶ παραμένειν καὶ συνοικεῖν· ἐπιῤῥεῖ γὰρ τούτῳ [2] τὸ οἰκεῖον ἐκ τῶν σωφρονούντων, καὶ δίεισι διὰ τοῦ νενοσηκότος· αἱ δὲ δι' ὅλων ἀνασταραχθεῖσαι πόλεις κομιδῇ διεφθάρησαν, ἂν μή τινος ἀνάγκης ἔξωθεν τυχοῦσαι καὶ κολάσεως, ὑπὸ κακῶν βίᾳ σωφρονήσωσιν. οὐ μὴν ἀναίσθητον, οὐδ' ἀνάλγητον ἐν στάσει καθῆσθαι προσήκει τὴν περὶ αὑτὸν ἀταραξίαν ὑμνοῦντα καὶ τὸν ἀπράγμονα βίον καὶ μακάριον, ἑτέροις [3] ἐπιτερπόμενον ἀγνωμονοῦσιν· ἀλλ' ἐνταῦθα δεῖ μάλιστα τὸν Θηραμένους [4] κόθορνον ὑποδούμενον, ἀμφοτέροις ὁμιλεῖν, καὶ μηδετέροις προστίθεσθαι· δόξεις γὰρ οὐχὶ τῷ μὴ συναδικεῖν ἀλλότριος, ἀλλὰ τῷ βοηθεῖν κοινὸς εἶναι πάντων· καὶ τὸ μὴ συνατυχεῖν [5] οὐχ ἕξει φθόνον, ἂν πᾶσι φαίνῃ συναλγῶν ὁμοίως. κράτιστον δὲ προνοεῖν, ὅπως μηδέποτε στασιάζωσι, καὶ τοῦτο τῆς πολιτικῆς ὥσπερ τέχνης, μέγιστον ἡγεῖσθαι καὶ κάλλιστον. ὅρα γὰρ, ὅτι τῶν [6] μεγίστων ἀγαθῶν ταῖς πόλεσιν, εἰρήνης, ἐλευθερίας, εὐετηρίας, εὐανδρίας, ὁμονοίας, πρὸς

μὲν

quod simul Mez. & Salmas. haud inepte, W. judice, voluerunt, aut ἐν σώματι τῷ νοσοῦντι (scil. μέρει) γίνεται. Posterius dedi cum W. ex Petav.

1 Dedi sic ex correctione Mez. Salmas. & R. probante W. pro vulg. παυομένην, τότε. Pro seq. δεῖ Petav. δὴ, omissis simul vocabulis τὸ ἀπαθὲς καὶ.

2 W. probat οὕτω e Mez.

3 Vulgo ἐν ἑτέροις. Delevi ἐν, R. jubente, cum Petav. Pro καὶ μακάριον W. susp. ὡς μακάριον.

4 De Theramene vid. Diodor. Bibl. XIV, 3. Xenoph. hist. gr. II, 2.

5 Petav. καὶ μὴ τὸ συντυχεῖν.

6 Pro ὅτι τῶν R. mavult ὄντων, *cum maxima bona sint libertas, pax &c.*

μὲν εἰρήνην ἐδὲν οἱ δῆμοι τῶν πολιτικῶν [1] ἔν γε τῷ παρόντι χρόνῳ δέονται· πέφευγε γὰρ ἐξ ἡμῶν καὶ ἠφάνισαι πᾶς μὲν Ἕλλην, πᾶς δὲ βάρβαρος πόλεμος· ἐλευθερίας δὲ, ὅσον οἱ κρατῦντες νέμεσι τοῖς δήμοις, μέτεςι, καὶ τὸ πλέον ἴσως ἐκ ἄμεινον. εὐφορίαν [2] δὲ γῆς ἄφθονον εὐμενῆ τε κρᾶσιν ὡρῶν [3], καὶ τίκτειν γυναῖκας ἐοικότα τέκνα γονεῦσι [4], σωτηρίαν τοῖς γεννωμένοις, εὐχόμενος ὅγε σώφρων αἰτήσεται παρὰ θεῶν τοῖς αὑτῦ πολίταις. λείπεται δὴ τῷ πολιτικῷ μόνον ἐκ τῶν ὑποκειμένων ἔργων, ὃ μηδενὸς ἔλαττόν ἐςι τῶν ἀγαθῶν, ὁμόνοιαν ἐμποιεῖν καὶ φιλίαν πρὸς ἀλλήλες ἀεὶ τοῖς συνοικῦσιν, ἔριδας δὲ καὶ διχοφροσύνας καὶ δυσμένειαν ἐξαίρειν ἅπασαν, ὥσπερ [5] ἐν φίλων διαφοραῖς, τὸ μᾶλλον [6] οἰόμενον ἀδικεῖσθαι μέρος ἐξομιλῦντα πρότερον καὶ συναδικεῖσθαι δοκῦντα καὶ συναγανακτεῖν, εἶτα ὕτως ἐπιχειρῦντα πραΰνειν, καὶ διδάσκειν, ὅτι τῶν βιάζεσθαι καὶ νικᾶν ἐριζόντων οἱ παρέντες [7], ἐκ ἐπιεικείᾳ καὶ ἤθει μόνον, ἀλλὰ καὶ φρονήματι καὶ μεγέθει ψυχῆς διαφέρεσι, καὶ μικρὸν ὑφιέμενοι νικῶσιν ἐν τοῖς καλλίςοις καὶ μεγίςοις· ἔπειτα καὶ καθ' ἕνα καὶ κοινῇ διδάσκοντα καὶ φράζοντα τὴν τῶν Ἑλληνικῶν πραγμάτων ἀσθένειαν, ἧς ἐναπολαῦσαι [8] ἄμεινόν ἐςι τοῖς εὖ φρονῦσι, καὶ μεθ' ἡσυχίας καὶ ὁμονοίας καταβιῶναι, μηθὲν ἐν μέσῳ τῆς



1 Bong. τῶν πολεμικῶν.

2 Sic dando fecutus fum W. ita fumentem ex B. Vulgo εὐπορίαν.

3 Reftitui fic ex Ald. Baf. Arg. confentientibus A. B. E. Xyl. Salmas. R. cum W. Vulgo ὅρων.

4 Hefiod. Op. & d. v. 233. R. ante σωτηρίαν inferi vult καὶ.

5 R. fufp πρῶτον μὲν ἐν φ. ob infequens ἔπειτα.

6 Ald. Baf. Arg. τὸν μᾶλλον. Xyl. e Ms. correxit τὸ μ.

7 Dedi fic cum W. e correctione Xyl. Mez. & Salmas. pro vulg. παρόντες. Praeter receptam vocem Xyl. quoque commendavit παριέντες, R. παρείκοντες. Ad prius accedit παριόντες, quod e Bong. V. Anon. notatur.

8 R. monente, aut legendum ἧς ἀπολαῦσαι, aut ᾗ ἐναπολ.

τύχης ἆθλον ὑπολελοιπυίας. τίς γὰρ ἡγεμονία, τίς δόξα τοῖς περιγενομένοις; ποία δύναμις, ἣν μικρὸν ἀνθυπάτου διάταγμα κατέλυσεν, ἢ μετέστησεν εἰς ἄλλο [1]; οὐθὲν, οὐδ᾽ ἂν παραμένῃ, σπουδῆς ἄξιον ἔχουσαν [2]. ἐπεὶ δὲ, ὥσπερ ἐμπρησμὸς οὐ πολλάκις ἐκ τόπων ἱερῶν ἄρχεται καὶ δημοσίων, ἀλλὰ λύχνος τις ἐν οἰκίᾳ παραμεληθεὶς, ἢ συρφετὸς διακαεὶς, ἀνῆκε φλόγα πολλὴν, καὶ δημοσίαν φθορὰν ἀπεργάζεται· οὕτως οὐκ ἀεὶ στάσιν πόλεως αἱ περὶ τὰ κοινὰ φιλονεικίαι διακαίουσιν, ἀλλὰ πολλάκις ἐκ πραγμάτων καὶ προσκρουσμάτων ἰδίων εἰς δημόσιον αἱ διαφοραὶ προελθοῦσαι συνετάραξαν ἅπασαν τὴν πόλιν· οὐδενὸς ἧττον τῷ πολιτικῷ προσήκει, ταῦτ᾽ ἰᾶσθαι καὶ προκαταλαμβάνειν, ὅπως τὰ μὲν οὐδὲ ὅλως ἔσται, τὰ δὲ παύσεται ταχέως, τὰ δ᾽ οὐ λήψεται μέγεθος, οὐδὲ ἅψεται τῶν δημοσίων, ἀλλ᾽ ἐν αὐτοῖς μενεῖ τοῖς διαφερομένοις, αὐτόν τε προσέχοντα καὶ φράζοντα τοῖς ἄλλοις, ὡς ἴδια κοινῶν καὶ μικρὰ [3] μεγάλων αἴτια καθίσταται, παροφθέντα, καὶ μὴ τυχόντα θεραπείας ἐν ἀρχῇ μηδὲ παρηγορίας. οἷον ἐν Δελφοῖς ὁ μέγιστος λέγεται γενέσθαι νεωτερισμὸς ὑπὸ Κράτητος, οὗ μέλλων θυγατέρα γαμεῖν Ὀργίλαος ὁ Φάλιδος, εἶτα τοῦ κρατῆρος αὐτομάτως ἐπὶ ταῖς σπονδαῖς μέσου ῥαγέντος, οἰωνισάμενος, καὶ καταλιπὼν τὴν νύμφην, ἀπῆλθε μετὰ τοῦ πατρός· ὁ δὲ Κράτης ὀλίγον ὕστερον θύουσιν αὐτοῖς ὑποβαλὼν χρυσίον τι τῶν ἱερῶν, κατεκρήμνισε τὸν Ὀργίλαον καὶ τὸν ἀδελφὸν ἀκρίτους, καὶ πάλιν τῶν φίλων τινὰς καὶ οἰκείων [4], ἱκετεύοντας ἐν τῷ ἱερῷ τῆς Προ-

1 R. corrigi vult εἰς ἄλλον, *in alium quendam transtulit.* Consentit W. simul legendum monens οὐ κατέλυσεν.

2 Petav. παραμένει & ἔχουσα.

3 Vulgo abest καὶ ante μικρά. Inserui e R. mente, cum infra quoque ἴδια & μικρὰ sic junguntur. Petav. deinde καθίσανται

4 Vulgo abest καὶ ante οἰκείων. Dedi id, R. jubente, cum W. ex Petav. B. E. consentientibus.

Προνοίας [1], ἀνεῖλε· πολλῶν δὲ τοιέτων γενομένων, ἀποκτείναντες οἱ Δελφοὶ [2] τὸν Κράτητα καὶ τὲς ϛασιάσαντας [3], ἐκ τῶν χρημάτων, ἐναγικῶν προσαγορευθέντων, τὲς κάτω ναὲς ἀνῳκοδόμησαν [4]. ἐν δὲ Συρακέσαις δυοῖν νεανίσκων συνήθων, ὁ μὲν τὸν ἐρώμενον τε͂ ἑταίρε λαβὼν φυλάσσειν, διέφθειρεν ἀποδημε͂ντος· ὁ δ' ἐκείνῳ πάλιν ὥσπερ ἀνταποδιδὲς ὕβριν, ἐμοίχευσε τὴν γυναῖκα· τῶν δὲ πρεσβυτέρων τις εἰς βελὴν παρελθὼν, ἐκέλευσεν ἀμφοτέρες ἐλαύνειν, πρὶν ἀπολέσαι [5] καὶ ἀναπλησθῆναι τὴν πόλιν ἀπ' αὐτῶν τῆς ἔχθρας· ἐ μὴν ἔπεισεν, ἀλλὰ καὶ [6] ἐκ τέτε ϛασιάσαντες, ἐπὶ συμφοραῖς μεγάλαις τὴν ἀρίϛην πολιτείαν ἀνέτρεψαν. ἔχεις δὲ δήπε καὶ αὐτὸς οἰκεῖα παραδείγματα, τὴν Παρδάλε πρὸς Τυῤῥηνὸν ἔχθραν, ὡς ὀλίγε ἐδέησεν ἀνελεῖν τὰς Σάρδεις, ἐξ αἰτιῶν μικρῶν καὶ ἰδίων εἰς ἀπόϛασιν [7] καὶ πόλεμον ἐμβαλε͂σα. διὸ χρὴ μὴ καταφρονεῖν τῶν πολιτικῶν [8], ὥσπερ ἐν σώματι, προσκρεσμάτων διαδρομὰς ὀξείας ἐχόντων· ἀλλ' ἐπιλαμβάνεσθαι καὶ πιέζειν καὶ βοηθεῖν· προσοχῇ γὰρ (ὥς φησιν ὁ

N 5

1 Pausan. X, 8. hujus templi Delphici, Minervae Pronoeae consecrati, mentionem facit. Kaltw. tamen & ibi & apud Nostrum leg. susp. Προναίας, coll. Spanhemii Comment. in Callimachum, p. 620. Idem sentit W. coll. Wesseling. ad Diod. Sic. T. I. p. 415.

2 Ald. Bas. Arg. οἱ ἀδελφοί. Xyl. correxit, e Ms. quoque ἀδελφοὶ notans.

3 W. susp. ϛασιώτας, eoque tendere ei videtur A. E. ϛασιάντας.

4 Sic Xyl. e Ms. legendum monuit, & R. probavit, dedique cum W. idem ex E. sumente. Vulgo ἐνῳκοδόμησαν.

5 R. mavult ἀπολέσθαι, *pessum iret*.

6 abest καὶ a Petav.

7 R. susp. εἰς ϛάσιν, cum *defectio* ab imperio Romano aliena videatur. A Petav. abest εἰς.

8 Turn. V. Bong. Petav. item E. Coll. Muret. Schott Anon. τὸν πολιτικόν.

ὁ Κάτων) καὶ τὸ μέγα γίνεται μικρὸν, καὶ τὸ μικρὸν εἰς τὸ μηθὲν ἄγεται. μηχανὴ δ' ἐπὶ ταῦτα πειθοῦς οὐκ ἔστι μείζων, ἢ τὸ παρέχειν ἑαυτὸν ἐν ταῖς ἰδίαις διαφοραῖς ἥμερον διαλλακτὴν, ἀμήνιτον ἐπὶ τῶν πρώτων αἰτιῶν μένοντα, καὶ μηδενὶ προστιθέντα φιλονεικίαν μηδ' ὀργὴν, μηδ' ἄλλο πάθος ἐμποιοῦν τραχύτητα καὶ πικρίαν τοῖς ἀναγκαίοις ἀμφισβητήμασι. τῶν μὲν γὰρ ἐν ταῖς παλαίστραις διαμαχομένων ἐπισφαίροις περιδέουσι τὰς χεῖρας, ὅπως εἰς ἀνήκεστον ἡ ἅμιλλα μηθὲν ἐκπίπτῃ, μαλακὴν ἔχουσα τὴν πληγὴν καὶ ἄλυπον. ἐν δὲ ταῖς κρίσεσι καὶ ταῖς δίκαις πρὸς τοὺς πολίτας, ἄμεινόν ἐστι, καθαραῖς καὶ ψιλαῖς ταῖς αἰτίαις χρώμενον ἀγωνίζεσθαι, καὶ μὴ, καθάπερ βέλη, τὰ πράγματα χαράσσοντα καὶ φαρμάσσοντα ταῖς βλασφημίαις, καὶ ταῖς κακοηθείαις, καὶ ταῖς ἀπειλαῖς, ἀνήκεστα καὶ μεγάλα καὶ δημόσια ποιεῖν. ὁ γὰρ οὕτω προσφερόμενος τοῖς καθ' αὑτὸν, ὑπηκόους ἕξει καὶ τοὺς ἄλλους· αἱ δὲ περὶ τὰ δημόσια φιλοτιμίαι [1], τῶν ἰδίων ὑφαιρουμένων ἀπεχθειῶν, εὐτελεῖς γίνονται, καὶ δυσχερὲς οὐδὲν οὐδ' ἀνήκεστον ἐπιφέρουσιν.

1 W. notat ex B. φιλονεικία, e Pol. & Jannot. φιλονεικίαι.

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ
## ΜΟΝΑΡΧΙΑΣ ΚΑΙ ΔΗΜΟΚΡΑΤΙΑΣ
## ΚΑΙ ΟΛΙΓΑΡΧΙΑΣ [1].

Εἰς τȣτο δὴ [2] τὸ δικαςήριον καὶ αὐτὸς εἰσάγων τὴν γενομένην μοι πρὸς ὑμᾶς διάλεξιν ἐχθὲς, ὤμην, τῆς πολιτικῆς ἀρετῆς ὕπαρ, ȣκ ὄναρ [3], ἀκȣ̃σαι λεγȣ́σης.

Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς [4].

προτρεπόμενος καὶ διαίρων [5] ἐπὶ πολιτείαν βέβληται λόγος· εἰ Ἀττικῷ μὲν [6] ἤδη τὴν ὀφειλομένην ἐποικοδομȣ̃ντες τῇ προτροπῇ διδασκαλίαν, ὀφείλεται δὲ τῷ παραδεδεγμένῳ τὴν ἐπὶ τὸ πράττειν τὰ κοινὰ προτροπὴν καὶ ὁρμὴν, ἑξῆς [7] ἀκȣ̃σαι καὶ λαβεῖν παραγγέλματα

1 Libellus, W. docente, & initio & fine mutilus. Cum in Lampriae opp. Plut. catalogo non notetur, Kaltw. susp. non esse Plutarchi.

2 pro δὴ Petav. exhibet δεῖ.

3 Sic R. cum Xyl. legi voluit pro vulg. ἢ ὄναρ, dedique cum W. Alluditur ad Odyss. XIX, 547.

4 Pindaricum versum esse susp. Kaltw.

5 Ald. Bas. διαιρῶν. Hinc Xyl. notat, pro διαιρῶν legendum esse διαιρῶν, aut aliquid aliud. Transiit διαιρῶν in rell. edit. R. maluit διεγείρων aut saltim διαίρων. Posterius etiam Salmas. suaserat. Dedi cum W. simul legendum monente ὁ προτρεπόμενος.

6 W. judice, εἰ Ἀττικῷ μὲν monstrum lectionis transformandum in ἐκ᾽ ίνωμεν. Vitiose sic impressum esse videtur pro ἐκτείνωμεν. In iisdem vocabulis verbum latere susp. Kaltw. Pro ἐποικοδομȣ̃ντες R. legendum conjecit ἀπεδώκαμεν.

7 Sic R. uno vocabulo legendum monuit pro ἐξ ἧς. Consentit Mez. Dedi cum W.

ματα πολιτείας, οἷς χρώμενος, ὡς ἀνυςόν ἐςιν ἀνθρώπῳ, δημωφελὴς ἔςαι, μετ' ἀσφαλείας ἅμα καὶ τιμῆς δικαίας εὖ τιθέμενος τὸ οἰκεῖον. ὃ δὲ πρᾶργε μέν [1] ἐςιν εἰς τὰ μέλλοντα, τοῖς δὲ προλελεγμένοις ἕπεται, σκεπτέον, ἥτις [2] ἀρίςη πολιτεία. καθάπερ γὰρ ἀνθρώπε βίοι πλέονες, ἔςι καὶ δήμε πολιτεία [3] βίος· ὥςε λαβεῖν [4] τὴν ἀρίςην ἀναγκαῖον· ἢ γὰρ ἐκ πασῶν αἱρήσεται ταύτην ὁ πολιτικὸς, ἢ τῶν λοιπῶν τὴν ὁμοιοτάτην, εἰ ταύτην ἀδύνατον.

II. Λέγεται μὲν δὴ πολιτεία καὶ μετάληψις τῶν ἐν πόλει δικαίων· ὡς φαμὲν Ἀλεξάνδρῳ πολιτείαν Μεγαρεῖς ψηφίσαθαι· τε δ' εἰς γέλωτα θεμένε τὴν σπεδὴν αὐτῶν, εἰπεῖν ἐκείνες, ὅτι μόνῳ πρότερον τὴν πολιτείαν Ἡρακλεῖ καὶ μετ' ἐκεῖνον αὐτῷ ψηφίσαιντο· τὸν δὲ θαυμάσαντα δέξαθαι, τὸ τίμιον ἐν τῷ σπανίῳ τιθέμενον. λέγεται δὲ καὶ βίος ἀνδρὸς πολιτικε καὶ τὰ κοινὰ πράττοντος πολιτεία· καθὸ τὴν Περικλέες πολιτείαν ἐπαινεμεν καὶ τὴν Βίαντος, ψέγομεν δὲ τὴν Ὑπερβόλε καὶ Κλέωνος. ἔνιοι δὲ καὶ μίαν πρᾶξιν εὔςοχον εἰς τὰ κοινὰ καὶ λαμπρὰν, πολιτείαν προσαγορεύεσιν, οἷον χρημάτων ἐπίδοσιν, διάλυσιν πολέμε, ψηφίσματος εἰσήγησιν· καθὸ καὶ πολιτεύσαθαι τὸν δεῖνα σήμερον λέγομεν, εἰ τύχοι τι διαπραξάμενος ἐν κοινῷ τῶν δεόντων.

III. Παρὰ πάντα [5] ταῦτα λέγεται πολιτεία, τάξις καὶ κατάςασις πόλεως διοικεσα τὰς πράξεις· καθά φασι τρεῖς εἶναι πολιτείας, μοναρχίαν, καὶ ὀλιγαρ-

1 R. pro μὲν legi voluit νῦν.
2 Ald. Baſ. pro ἥτις dant ἰητήρ. Xyl. correxit.
3 R. mavult cum artic. ἡ πολιτεία.
4 W. judice, videntur nonnulla excidiſſe.
5 Vulgo περὶ πάντα. Jam Xyl legendum monuit παρὰ, aut μετὰ, aut ὑπὲρ. E Turn. V. Petav. notatur uno vocabulo παράπαντα. Dedi παρὰ cum W. conſentientibus E. G. Venet. Anon. Mez.

γαρχίαν, καὶ δημοκρατίαν· ὧν καὶ Ηρόδοτος ἐν τῇ τρίτῃ [1] συγκρισιν πεποίηται, καὶ δοκῦσι γενικώταται εἶναι. τὰς γὰρ ἄλλας, ὥσπερ ἐν τοῖς μυσικοῖς διαγράμμασι τῶν πρώτων τρόπων ἀνιεμένων ἢ ἐπιτεινομένων, συμβέβηκε παρακρούσεις καὶ διαφθορὰς κατ' ἔλλειψιν ἢ [2] ὑπερβολὴν εἶναι. ταύτας δὲ καὶ πλεῖςον καὶ μέγιςον ἐν ἡγεμονίαις δυνηθείσας τῶν ἐθνῶν ἀπεκληρώσατο [3] τὰς πολιτείας· Πέρσαι μὲν αὐτοκρατῆ βασιλείαν καὶ ἀνυπεύθυνον, Σπαρτιᾶται δ' ἀριςοκρατικὴν ὀλιγαρχίαν καὶ αὐθέκαςον, Ἀθηναῖοι δ' αὐτόνομον καὶ ἄκρατον δημοκρατίαν. ὧν ἁμαρτανομένων παρατροπαὶ καὶ ὑπερχύσεις εἰσὶν αἱ λεγόμεναι τυραννίδες, καὶ δυναςεῖαι, καὶ ὀχλοκρατίαι· ὅταν βασιλεία [4] μὲν ὕβριν ἐντέκῃ ἀνυπεύθυνον· ὀλιγαρχία δὲ ὑπερφροσύνην, τὸ αὔθαδες· δημοκρατία δ' ἀναρχίαν, ἰσότης ἀμετρίαν, πᾶσαι δὲ τὸ ἀνόητον.

IV. Ὥσπερ ὖν ὁ ἁρμονικὸς καὶ μυσικὸς ἀνὴρ παντὶ μὲν ὀργάνῳ χρήσεται προσῳδῷ τεχνικῶς ἁρμοσάμενος, καὶ λόγῳ κρέων ἕκαςον, ὡς πέφυκεν ἐμμελὲς ὑπηχεῖν· ἤδη μέντοι συμβύλῳ Πλάτωνι χρησάμενος, πηκτίδας, σαμβύκας, καὶ ψαλτήρια πολύφθογγα, καὶ βαρβίτυς, καὶ τρίγωνα [5] παραπέμψας, τὴν λύραν καὶ τὴν κιθά-

1 cap. 80 — 84. Cf. quoque Polyb. L. VI.

2 Pro ἢ codex quidam innominatus dat καὶ.

3 R. legendum monuit ἀπεκληρώσαντο, *sibi delegerunt, vel sumserunt, velut in sortem & patrimonium suum.* Etiam reliqua W. sic corrigenda censet αἱ πλεῖςον καὶ μέγιςον δυνηθεῖσαι ἡγεμονίαι ἐθνῶν ἀπεκληρώσαντο — *has formas delegerunt illi gentium principatus, qui maximum plurimumque valuerunt.*

4 Locum hunc W. ita corrigendum censet, ὅταν βασιλείᾳ μὲν ὕβριν ἐντέκῃ τὸ ἀνυπεύθυνον· ὀλιγαρχίᾳ δὲ ὑπερφροσύνην τὸ αὔθαδες· δημοκρατίᾳ δὲ ἀναρχίαν ἰσότης· ἀμετρίαν δὲ πάσαις τὸ ἀνόητον. R. legi voluit καὶ τὸ αὔθαδες, Petav. consentiente, aut διὰ τὸ αὔθαδες, & deinde ἰσότης δ' ἀμετρίαν.

5 Vulgo τρίβωνα. Jam Xyl. e Platon. de Rep. III. (Vol. VI. pag.

κιθάραν προτιμήσει· τὸν αὐτὸν τρόπον ὁ πολιτικὸς ἀνὴρ εὖ μὲν ὀλιγαρχίαν Λακωνικὴν καὶ Λυκέργειον μεταχειριεῖται, συναρμοσάμενος αὐτῷ τὰς ἰσοκρατεῖς καὶ ὁμοτίμας ἄνδρας, ἡσυχῇ προσβιαζόμενος· εὖ δὲ πολυφθόγγῳ καὶ πολυχόρδῳ συνοίσεται δημοκρατίᾳ, τὰ μὲν ἀνιεὶς [1], τὰ δ' ἐπιτείνων τῆς πολιτείας, χαλάσας τ' ἐν καιρῷ, καὶ καρτερῶς αὖθις ἐμφὺς, ἀντιβῆναι καὶ ἀντισχεῖν ἐπιστάμενος· εἰ δ' αἵρεσις αὐτῷ δοθείη, καθάπερ ὀργάνων, τῶν πολιτειῶν, ἐκ ἂν ἄλλην ἕλοιτο, πλὴν τὴν μοναρχίαν, Πλάτωνι πειθόμενος, τὴν μόνην δυναμένην τὸν ἐντελῆ καὶ ὄρθιον ἐκεῖνον ὡς ἀληθῶς τῆς ἀρετῆς τόνον ἀνασχέσθαι, καὶ μήτε πρὸς ἀνάγκην μήτε πρὸς χάριν ἁρμόσαι τῦ συμφέροντος [2]. αἱ μὲν γὰρ ἄλλαι πολιτεῖαι τρόπον τινὰ κρατέμεναι κρατῦσι, καὶ φερόμεναι φέρυσι τὸν πολιτικὸν, ἐκ ἔχοντα τὴν ἰσχὺν βέβαιον ἐπὶ τύτυς [3], παρ' ὧν ἔχει τὸ ἰσχύον, ἀλλὰ πολλάκις ἀναγκαζόμενον τὸ Αἰσχύλειον ἀναφωνεῖν, ᾧ πρὸς τὴν τύχην ἐχρῆτο Δημήτριος ὁ Πολιορκητὴς, ἀποβαλὼν τὴν ἡγεμονίαν·

Σύ τοι με φυσᾷς, σύ με καθαίδειν μοι [4] δοκεῖς.

ΠΛΟΥ-

pag. 288. ed. Bip.) legit vertitque τρίγωνα. Consentiunt Turn. V. Salmac. Anon. Mez. & dedi cum W. Quaerit R. num τρίφωνα?

1 Restitui ἀνιεὶς, quod etiam e Petav. notatur, pro ἀνεὶς, quod e Frft. in R. transiit.

2 R. monente aut deest praepositio quaedam vel particula, regens genitivum post ἁρμόσαι, ut e. c. πλέον, vel ἄνευ, vel παρεκτὸς, aut legendum τὸ συμφέρον. W. judice, excidit quid, forte ἄνευ: aut vitium est in ἁρμόσαι. Facillime inseri posse videtur τι.

3 Sic R. dudum monuit, dedique cum W. adsentiente Mez. Vulgo ἐπὶ τῦτα.

4 Vulgo abest μοι. Inserui, W. praeeunte, cum Xyl. e loco in Vit. Demetrii, Vol. VI. p. 43. Etiam hoc loco R. susp. σύ με καθαιρεῖν αὖ δοκεῖς, aut σύ με καθαιρεῖς, εἰ δοκεῖ, si tibi

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΔΑΝΕΙΖΕΣΘΑΙ.

---

Ὁ Πλάτων ἐν τοῖς Νόμοις [1] οὐκ ἐᾷ μεταλαμβάνειν ὕδατος ἀλλοτρίου τοὺς γείτονας, ἂν μὴ παρ' αὐτοῖς ὀρύξαντες ἄχρι τῆς κεραμίτιδος [2] καλουμένης γῆς, ἄγονον εὕρωσι νάματος τὸ χωρίον· ἡ γὰρ κεραμῖτις, φύσιν ἔχουσα λιπαρὰν καὶ πυκνὴν, στέγει παραλαβοῦσα τὸ ὑγρὸν, καὶ οὐ διίησι· δεῖν δὲ [3] μεταλαμβάνειν τοῦ ἀλλοτρίου τοὺς ἴδιον κτήσασθαι μὴ δυναμένους· ἀπορίᾳ γὰρ βοηθεῖν [4] τὸν νόμον. ἄρα δὴ ἔδει καὶ [5] περὶ χρημάτων εἶναι νόμον, ὅπως μὴ δανείζωνται παρ' ἑτέρων, μηδ' ἐπ' ἀλλοτρίας πηγὰς βαδίζωσι, μὴ πρότερον οἴκοι τὰς αὐτῶν ἀφορμὰς ἐξελέγξαντες, καὶ συναγαγόντες, ὥσπερ ἐκ λιβάδων, τὸ χρήσιμον καὶ ἀναγκαῖον αὐτοῖς. νυνὶ δὲ ὑπὸ τρυφῆς καὶ μαλακίας ἢ πολυτελείας οὐ χρῶνται τοῖς ἑαυτῶν, ἔχοντες, ἀλλὰ λαμβάνουσιν ἐπὶ πολλῷ παρ' ἑτέρων, μὴ δεόμενοι· τεκμήριον δὲ μέγα· τοῖς γὰρ ἀπόροις οὐ δανείζουσιν, ἀλλὰ βουλομένοις εὐπορίαν

*tibi placet.* Salmas. ſic emendaverat: *μ' ἐφύσας, σύ με καθαιρήσειν δοκεῖς.*

1 L. VIII. Vol. VIII. p. 429. ed. Bip.

2 Petav. *κεραμείτιδος*, & deinde *κεραμεῖτις.*

3 Non dubitavi, ſic e Xyl. mente, W. probata, dare. Vulgo *δεῖ δὲ.*

4 R. inſerendum ſuſp. *ἔφη.*

5 Vulgo *ἄρα δέδεικται περὶ χρ.* Bong. & Mez. *ἄρα δ' ἔδει καὶ.* Probat R. hanc lectionem, nec non W. ſola particula *δὲ* in *δὴ* mutata. Pro ſeq. *εἶναι* R. mavult *θεῖναι* — *debuiſſet vero Plato legem quoque ferre de opibus.*

ρίαν τινὰ ἑαυτοῖς [1] κτᾶσθαι, καὶ μάρτυρα δίδωσι καὶ βεβαιωτὴν ἄξιον, ὅτι ἔχει πιςεύεσθαι. δέον ἔχοντα μὴ δανείζεσθαι.

II. Τί [2] θεραπεύεις τὸν τραπεζίτην, ἢ τὸν πραγματευτήν; ἀπὸ τῆς ἰδίας δάνεισαι τραπέζης· ἐκπώματα ἔχεις, παροψίδας ἀργυρᾶς, λεκανίδας· ὑπόθου ταῦτα τῇ χρείᾳ· τὴν δὲ τράπεζαν ἡ καλὴ Αὐλὶς ἢ Τένεδος ἀντικοσμήσει τοῖς κεραμεοῖς, καθαρωτέροις οὖσι τῶν ἀργυρῶν· οὐκ ὄζει τόκου βαρὺ καὶ δυσχερὲς, ὥσπερ ἰοῦ καθ' ἡμέραν ἐπιῤῥυπαίνοντος τὴν πολυτέλειαν· οὐδ' ἀναμνήσει τῶν καλανδῶν καὶ τῆς νουμηνίας [3], ἣν ἱερωτάτην ἡμερῶν οὖσαν, ἀποφράδα ποιοῦσιν οἱ δανεισαὶ καὶ ςύγιον. τοὺς μὲν γὰρ ἀντὶ τοῦ πωλεῖν τιθέντας ἐνέχυρα τὰ αὑτῶν, οὐδ' ἂν ὁ θεὸς σώσειεν ὁ Κτήσιος [4]· αἰσχύνονται τιμὴν λαμβάνοντες, οὐκ αἰσχύνονται τόκον τῶν ἰδίων διδόντες. καίτοι ὅγε Περικλῆς ἐκεῖνος τὸν τῆς θεοῦ κόσμον, ἄγοντα τάλαντα τεσσαράκοντα χρυσίου ἀπέφθου, περιαιρετὸν ἐποίησεν, ὅπως (ἔφη) χρησάμενοι πρὸς τὸν πόλεμον, αὖθις ἀποδῶμεν μὴ ἔλαττον [5]· οὐκοῦν καὶ ἡμεῖς, ὥσπερ ἐν πολιορκίᾳ, ταῖς χρείαις μὴ παραδεχώμεθα [6] φρουρὰν δανειςοῦ πολεμίου, μηδὲ ὁρᾶν [7] τὰ αὑτῶν

1 R. susp. ἐπὶ τόκῳ πολλῷ ὁ βουλόμενος εὐπορίαν τινὰ ἑαυτῷ κτ. W. autem, ἀλλ' ἢ βουλομένοις εὐπορίαν τινὰ ἑαυτοῖς κτᾶσθαι, καὶ μάρτυρα διδοῦσιν καὶ βεβαιωτὴν ἄξιον ὅτι ἔχουσι ὅσον πιςεύεσθαι.

2 Petav. τί δὲ; & deinde ἢ τὸν πραγμ.

3 Apud Romanos Calendis, apud Graecos Novilunio usurae pendi solebant.

4 Ita Jupiter vocabatur, ut praeses possessionum & praediorum, teste Pausan. L. I. c. 31.

5 Locus ex Thucyd. II, 13. desumtus.

6 Ald. Petav. παραδεχόμεθα; Xyl Ms. habet conjunctivum.

7 Xyl. jam notavit, deesse verbum, e. c. ἀνεχώμεθα, vel simile; R. idem probavit, vel ἀνασχώμεθα, vel περιίδωμεν. W. addendum monet ἀνεχώμεθα cum Xyl. nisi loco ὁρᾶν scriptum fuisse περιορῶμεν, cum Mez. suspiceris.

αὐτῶν ἐπὶ δυλείᾳ διδόμενα [1]. ἀλλὰ τῆς τραπέζης περιελόντες τὰ μὴ χρήσιμα. τῆς κοίτης, τῶν ὀχημάτων, τῆς διαίτης. ἐλευθέρυς διαφυλάττωμεν ἑαυτὺς, ὡς ἀποδώσοντες αὖθις, ἐὰν εὐτυχήσωμεν.

III. Αἱ μὲν ὖν Ῥωμαίων [2] γυναῖκες εἰς ἀπαρχὴν τῷ Πυθίῳ Ἀπόλλωνι τὸν κόσμον ἐπέδωκαν. ὅθεν ὁ χρυσῦς κρατὴρ εἰς Δελφὺς ἐπέμφθη· αἱ δὲ Καρχηδονίων γυναῖκες [3] ἐκείραντο τὰς κεφαλὰς, καὶ ταῖς θριξὶν ἐντεῖναι τὰς μηχανὰς καὶ τὰ ὄργανα παρέχον ὑπὲρ τῆς πατρίδος· ἡμεῖς δὲ τὴν αὐτάρκειαν αἰχυνόμενοι, καταδυλῦμεν ἑαυτὺς ὑποθήκαις καὶ συμβολαίοις, δέον εἰς αὐτὰ τὰ χρήσιμα συςαλέντας καὶ συσπειραθέντας [4], ἐκ τῶν ἀχρήςων καὶ περιττῶν κατακοπέντων ἢ πραθέντων, ἐλευθερίας αὐτοῖς ἱερὸν ἱδρύσασθαι, καὶ τέκνοις καὶ γυναιξίν. ἡ μὲν γὰρ Ἄρτεμις ἡ ἐν Ἐφέσῳ τοῖς χρεώςαις, ὅταν καταφύγωσιν εἰς τὸ ἱερὸν αὐτῆς, ἀσυλίαν παρέχει καὶ ἄδειαν ἀπὸ τῶν δανείων· τὸ δὲ τῆς εὐτελείας, καὶ ἄσυλον καὶ ἄβατον, πανταχῦ τοῖς σώφροσιν ἀναπέπταται, πολλῆς χολῆς εὐρυχωρίαν παρέχον ἱλαρὰν καὶ ἐπίτιμον. ὡς γὰρ ἡ Πυθία τοῖς Ἀθηναίοις περὶ τὰ Μηδικὰ τεῖχος ξύλινον διδόναι τὸν θεὸν ἔφη, κἀκεῖνοι τὴν χώραν καὶ τὴν πολιν καὶ τὰ κτήματα καὶ τὰς οἰκίας ἀφέντες, εἰς τὰς ναῦς κατέφυγον ὑπὲρ τῆς ἐλευθερίας, ὕτως ἡμῖν ὁ θεὸς δίδωσι ξυλίνην τράπεζαν, καὶ κεραμεᾶν λεκάνην, καὶ τραχὺ ἱμάτιον, ἐὰν ἐλεύθεροι ζῆν θέλωμεν·

Μηδὲ σοί γε ἱπποσύνας τε μέλειν [5],

μηδ'

1 R. susp. ἀγόμενα vel δεδεμένα.
2 vid. Liv. V, 25.
3 vid. Appian. VIII. 93.
4 Ald. Bas. Petav. συμπειραθέντας. Xyl. commendavit συςπειραθέντας, quod in scripto supra notatum erat.
5 R. particulam τε aut delendam censet, aut cum δεῖ mutandam.

μηδ' ὀχήματα ζευκτὰ κερασφόρα [1] καὶ κατάργυρα, ἃ τόκοι ταχεῖς καταλαμβάνουσι καὶ παρατρέχουσιν· ἀλλ' ὄνῳ τινὶ τῷ τυχόντι καὶ καβάλλῃ χρώμενος, φεῦγε πολέμιον καὶ τύραννον δανειστὴν, οὐ γῆν [2] αἰτοῦντα καὶ ὕδωρ, (ὡς ὁ Μῆδος) ἀλλὰ τῆς ἐλευθερίας ἁπτόμενον, καὶ προσγράφοντα τὴν ἐπιτιμίαν· κἂν μὴ δίδως, ἐνοχλοῦντα· κἂν ἔχῃς, μὴ λαμβάνοντα· κἂν πωλῇς, ἐπευωνίζοντα· κἂν μὴ πωλῇς, ἀναγκάζοντα [3]· κἂν δικάζῃς [4], ἐντυγχάνοντα· κἂν ὀμόσῃς, ἐπιτάττοντα· κἂν βαδίζῃς ἐπὶ θύρας, ἀποκλείοντα· κἂν οἴκοι μένῃς, ἐπισταθμεύοντα καὶ θυροκοποῦντα.

IV. Τί γὰρ ὤνησε Σόλων Ἀθηναίους ἀπαλλάξας τοῦ ἐπὶ τοῖς σώμασιν ὀφείλειν [5]; δουλεύουσι γὰρ ἅπασι τοῖς ἀφανισταῖς [6], μᾶλλον δ' οὐδ' [7] αὐτοῖς· τί γὰρ ἦν τὸ δεινόν; ἀλλὰ δούλοις ὑβρισταῖς καὶ βαρβάροις καὶ ἀγρίοις, ὥσπερ οὓς ὁ Πλάτων φησὶ καθ' ᾅδου [8] διαπύρους κολαστὰς καὶ δημοκοίνους ἐφεστάναι τοῖς ἠσεβηκόσι·

καὶ

dam. Pro σοί γε Baſ. σύ γε, & pro μέλειν Ald. Baſ. Petav. μένειν, Turn. & Bong. μέλλειν. W. legendum forte monet μηδὲ σύ γ' ἱπποσύνας τε μένειν, cum libris ſcriptis, & editis ante Stephanum.

1 R. quaerit, num κατάχρυσα, aut καταπόρφυρα, *auro*, vel *purpura*, veſtita.

2 Rectius certe ſic, ut Xyl. & Kaltw. vertunt, & a Mez. R. & W. monetur. Vulgo πῦρ. Cf. Herodot. VI, 48. VII, 131.

3 abſunt a Petav. κἂν μὴ πωλῇς, ἀναγκάζ.

4 W. ſuſpicatur legendum, & vertit δικάζῃ, *ſi eum in jus vocas*. Idem expreſſit Ricard. notante Kaltw.

5 cf. Solon Vit. c. 15. Vol. I. opp. Plut.

6 Mez. & R. δανεισταῖς legi volunt.

7 Vulgo οὐδ' abeſt; Sola id exhibet Baſ. unde reſtitui. Mez. & R. id deſiderarunt, & W. e Xyl. & Mez. ſumſit. Xyl. ad Baſ. lectionem notat: „Scriptus non ſine litura μᾶλλον δὲ αὐτοῖς. Ald. Pet. αὐτοῖς.

8 Poſt ᾅδου Petav. καὶ inſerit.

καὶ γὰρ ἔτοι τὴν ἀγορὰν [1] ἀσεβῶν χώραν ἀποδείξαντες τοῖς ἀθλίοις χρεώςαις, γυπῶν δίκην ἔσθεσι καὶ ὑποκείρεσιν αὐτὲς,

— Δέρτρον ἔσω δύνοντες [2].

τὲς δὲ ὥσπερ Ταντάλες ἐφεςῶτες [3] εἴργεσι γεύσασθαι τῶν ἰδίων, τρυγῶντας καὶ συγκομίζοντας. ὡς δὲ Δαρεῖος ἐπὶ τὰς Ἀθήνας ἔπεμψε Δάτιν καὶ Ἀρταφέρνην, ἐν ταῖς χερσὶν ἁλύσεις ἔχοντας καὶ δεσμὰ κατὰ τῶν αἰχμαλώτων, παραπλησίως ἔτοι τῶν χειρογράφων καὶ συμβολαίων, ὥσπερ πεδῶν, ἐπὶ τὴν Ἑλλάδα κομίζοντες ἀγγεῖα μεςὰ, τὰς πόλεις ἐπιπορεύονται καὶ διελαύνεσι, σπείροντες ἐχ ἥμερον καρπὸν, ὡς ὁ Τριπτόλεμος, ἀλλ' ὀφλημάτων ῥίζας πολυπόνες καὶ πολυτόκες καὶ δυσεκλείπτες [4] τιθέντες, αἳ κύκλῳ νεμόμεναι καὶ περιβλαςάνεσαι, κάμπτεσι καὶ ἄγχεσι τὰς πόλεις [5]. τὲς μὲν γὰρ λαγὼς λέγεσι τίκτειν ἅμα καὶ τρέφειν ἕτερα καὶ ἐπικυΐσκεσθαι πάλιν· τὰ δὲ τῶν μαςιγιῶν τέτων καὶ βαρβάρων χρέα, πρὶν ἢ συλλαβεῖν, τίκτει· διδόντες γὰρ εὐθὺς ἀπαιτεσι, καὶ τιθέντες αἴρεσι, καὶ δανείζεσιν, ὃ λαμβάνεσιν ὑπὲρ τε δανεῖσαι.

V. Λέγεται μὲν παρὰ Μεσσηνίοις·

Ἔςι Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐςι καὶ ἄλλος [6].

λεχθήσεται δὲ πρὸς τὲς δανειςάς·

Ἔςι τόκος πρὸ τόκοιο, τόκος γε μέν ἐςι καὶ ἄλλος.

εἶτα τῶν φυσικῶν δῆπε καταγελῶσι, λεγόντων, μηδὲν ἐκ τε μὴ ὄντος γενέσθαι· παρὰ τέτοις γὰρ ἐκ τε μηδ' ἔτ'

O 2

1 In foro foeneratores suas res gerere solebant. Kaltw.

2 Odyss. XI, 578.

3 Dedi sic cum W. e Xyl. Ms. & Petav. consentientibus B. E. Mez. pro vulg. ἐφεςῶτας.

4 Posse quidem probum esse δυσεκλείπτες — *aegre desinentes* — monet R. Mavult tamen δυσεκτρίπτες, *aegre eradicandos*, aut δυσεκνίπτες, *aegre eluendos*.

5 absunt a Petav. καὶ ἄγχ τὰς πόλεις.

6 Fuerunt tres hujus nominis urbes in Peloponneso.

ἔτ' ὄντος [1], μηδὲ ὑφεστῶτος, γεννᾶται τόκος· καὶ τὸ τελωνεῖν ὄνειδος ἡγοῦνται [2], τοῦ νόμου διδόντος, αὐτοὶ παρανόμως δανείζουσι τελωνοῦντες, μᾶλλον δ', εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐν τῷ δανείζειν χρεωκοποῦντες. ὁ γὰρ οὗ [3] γράφει λαμβάνων ἔλαττον χρεωκοπεῖται. καίτοι Πέρσαι γε [4] τὸ ψεύδεσθαι δεύτερον ἡγοῦνται τῶν ἁμαρτημάτων, πρῶτον δὲ τὸ ὀφείλειν· ὅτι καὶ τὸ ψεύδεσθαι τοῖς ὀφείλουσι συμβαίνει πολλάκις. ψεύδονται δὲ μᾶλλον οἱ δανείζοντες, καὶ ῥᾳδιουργοῦσιν ἐν ταῖς ἑαυτῶν ἐφημερίσι, γράφοντες, ὅτι τῷ δεῖνι τοσοῦτον διδόασιν, ἔλαττον διδόντες· καὶ τὸ ψεῦδος αἰτίαν ἔχει πλεονεξίαν [5], οὐκ ἀνάγκην, οὐδ' ἀπορίαν, ἀλλ' ἀπληστίαν, ἧς ἀναπόλαυστόν ἐστιν αὐτοῖς τὸ τέλος καὶ ἀνωφελὲς, ὀλέθριον δὲ τοῖς ἀδικουμένοις. οὔτε γὰρ ἀγροὺς, οὓς ἀφαιροῦνται, τῶν χρεωστῶν γεωργοῦσιν, οὔτ' οἰκίας αὐτῶν ἐκβάλλοντες [6] ἐκείνους οἰκοῦσιν, οὔτε τραπέζας παρατίθενται, οὔτ' ἐσθῆτας ἐκείνων [7]. ἀλλὰ πρῶτός τις ἀπόλωλε, καὶ δεύτερος κυνηγεῖται [8] ὑπ' ἐκείνου δελεαζόμενος. νέμεται γὰρ ὡς πῦρ τὸ ἄγριον αὐξόμενον ὀλέθρῳ καὶ φθορᾷ τῶν ἐμπεσόντων [9], ἄλλον ἐξ ἄλλου καταναλίσκον· ὁ δὲ τοῦτο ῥιπίζων καὶ τρέφων ἐπὶ πολλοὺς δανειστὴς, οὐδὲν ἔχει πλέον, ἢ διὰ χρόνου λαβὼν [10] ἀναγνῶναι, πόσους πέπρακε,

1 Vulgo μηδὲ τ' ὄντος. Hinc R. efficiendum monuit aut μηδ' ἔτ' ὄντος, aut τ' plane delendum. Prius obfervavi.

2 R. maluit ἡγούμενοι, & deinde δανείζοντες τελωνοῦσι. W. cum Mez. legendum monet αὐτοὶ δὲ παρανόμως.

3 Sic Xyl. legendum monuit, vertitque, & dedi R. jubente e Bong. confentiente Mez. cum W. — *ille qui minus accipit, quam in tabulis accepti fcriptum eft.* Vulgo ὁ γὰρ οὐ.

4 cf. Herodot. I, 138.

5 Dedi fic R. jubente & W. probante. Vulgo πλεονεξίας.

6 Petav. ἐκβαλόντες.

7 R. fufp. addendum ἐνδύουσιν vel φοροῦσιν.

8 Petav. κυνηγετεῖται, & deinde αὐξανόμενον.

9 Secutus fum W. ita ex B. dantem. Vulgo ἐκπεσόντων.

10 fcil. τὰς ἐφημερίδας, codicillos fuos rationarios acceptorum & expenforum. R.

κε, καὶ πόσους ἐκβέβληκε, καὶ πόθεν που κυλινδόμενον καὶ σωρευόμενον διαβέβηκε τὸ ἀργύριον.

VI. Καὶ ταῦτα μή με οἴεσθε λέγειν πόλεμον ἐξενηνοχότα πρὸς τοὺς δανειστάς·

Οὐ γάρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, οὐδὲ μὲν ἵππους [1].

ἀλλ' ἐνδεικνύμενον [2] τοῖς προχείρως δανειζομένοις, ὅσην ἔχει τὸ πρᾶγμα αἰσχύνην καὶ ἀνελευθερίαν, καὶ ὅτι τὸ δανείζεσθαι τῆς ἐσχάτης ἀφροσύνης καὶ μαλακίας ἐστίν. ἔχεις; μὴ δανείσῃ· οὐ γὰρ ἀπορεῖς. οὐκ ἔχεις; μὴ δανείσῃ· οὐ γὰρ ἐκτίσεις. κατ' ἰδίαν δὲ οὕτως ἑκάτερα [3] σκοπῶμεν. ὁ Κάτων πρός τινα πρεσβύτην πονηρευόμενον· Ὦ ἄνθρωπε, τί τῷ γήρᾳ, (ἔφη) πολλὰ κακὰ ἔχοντι, τὴν ἐκ τῆς πονηρίας αἰσχύνην προστίθης; οὐκοῦν καὶ σὺ τῇ πενίᾳ, πολλῶν κακῶν προσόντων, μὴ ἐπισώρευε τὰς ἐκ τοῦ δανείζεσθαι καὶ ὀφείλειν ἀμηχανίας, μηδ' ἀφαίρει τῆς πενίας, ᾧ μόνῳ τοῦ πλούτου διαφέρει, τὴν ἀμεριμνίαν. ἐπεὶ τὸ τῆς παροιμίας ἔσται γελοῖον·

Οὐ δύναμαι τὴν αἶγα φέρειν, ἐπίθετέ μοι [4] τὸν βοῦν.

πενίαν φέρειν μὴ δυνάμενος, δανειστὴν ἐπιτίθης σεαυτῷ, φορτίον καὶ πλουτοῦντι δύσοιστον. πῶς οὖν διατραφῶ; τοῦτ' ἐρωτᾷς, ἔχων χεῖρας, ἔχων πόδας, ἔχων φωνήν, ἄνθρωπος ὤν, ᾧ τὸ φιλεῖν ἐστι καὶ φιλεῖσθαι, καὶ τὸ χαρίζεσθαι καὶ τὸ εὐχαριστεῖν; γράμματα διδάσκων, καὶ παιδαγωγῶν, καὶ θυρωρῶν, πλέων, παραπλέων [5]; οὐδέν ἐστι τούτων αἴσχιον, οὐδὲ δυσχερέστερον, τοῦ ἀκοῦσαι· Ἀπόδος.



1 Iliad. I, 154.

2 Restitui, quod R. legi voluit, ex Ald. & Bas. pro vulg. ἐνδεικνύμενοι.

3 Petav. ἑκατέρους.

4 Mez. ἐπίθεσθέ μοι; R. ἐπί μοι θέτε τὸν βοῦν: ut metrum sibi constet.

5 R. se non intelligere fatetur παραπλέων, haec addens: „significatne negotiatorem vicarium, *factorem* hodie appellamus, quem mercator una cum nauclero, cui suas merces aliquo pervehen-

VII. Ὁ Ῥουτίλιος ἐκεῖνος ἐν Ῥώμῃ, τῷ Μουσωνίῳ προσελθών· Μουσώνιε, (εἶπεν) ὁ Ζεὺς ὁ σωτὴρ, ὃν σὺ μιμῇ καὶ ζηλοῖς, οὐ δανείζεται. καὶ ὁ Μουσώνιος μειδιάσας εἶπεν· Οὐδὲ δανείζει. ὁ γὰρ Ῥουτίλιος, δανείζων αὐτὸς, ὠνείδιζεν ἐκείνῳ δανειζομένῳ. Στωϊκή [1] τις αὕτη τυφομανία. τί γάρ σε δεῖ [2] τὸν Δία τὸν σωτῆρα κινεῖν; αὐτόθεν ὑπομνῆσαι τοῖς φαινομένοις ἐνόν· οὐ δανείζονται χελιδόνες, οὐ δανείζονται μύρμηκες, οἷς ἡ φύσις οὐ χεῖρας, οὐ λόγον, οὐ τέχνην δέδωκεν· ἄνθρωποι [3] δὲ περιουσίᾳ συνέσεως, διὰ τὸ εὐμήχανον [4], ἵππους παρατρέφουσι, κύνας, πέρδικας, λαγωοὺς [5], κολοιούς; τί οὖν γε σεαυτοῦ [6] κατέγνωκας, ἀπιθανώτερος ὢν κολοιοῦ, καὶ ἀφωνότερος [7] πέρδικος, καὶ κυνὸς ἀγεννέστερος, ὥστ' ἀπ' ἀνθρώπου μηδενὸς ὠφελεῖσθαι, περιέπων, ψυχαγωγῶν, φυλάττων, προμαχόμενος; οὐχ ὁρᾷς, ὡς πολλὰ μὲν γῆ παρέχει, πολλὰ δὲ θάλαττα;

Καὶ μὴν Μίκυλον [8] εἰσεῖδον,
φησὶν ὁ Κράτης,

Τῶν

vehendas committit, eadem in nave mittit, ut curam earum habeat, & qui propterea secundarius velut nauclerus est? Sic videtur: & sic usurpat quoque Demosthenes."

1 Vulgo ὡς Στωϊκή τις. R. maluit ὦ Στ. o Stoica. W. delevit ὡς. Eum sum secutus.

2 R. mavult σ' ἰδεῖν.

3 Petav ἔνιοι pro ἄνθρωποι.

4 Koltw. διὰ τὸ εὐμήχανον pro glossa habet.

5 Xyl vertit ἐλάφους; W. judice, forte delendum; & abest ab E. B. Venet. Petav.

6 R. mavult τί οὖν σύ γε, aut λέγε, σαυτοῦ.

7 Petav. ἀφανέστερος.

8 R. scribi vult aut Μίκκυλον, aut Μίκυλλον. Versus est ad imitationem Hom. Odyss. XI, 581. Plenus hic est: καὶ μὴν Μίκυλον εἰσεῖδον χαλεπ' ἄλγε' ἔχοντα. Solebat Crates, Xyl. monente, versus Homericos alio detorquere, sciteque illis uti, uti alibi tradit praeter alios etiam ipse Plutarchus.

Τῶν ἐρίων ξαίνοντα, γυναῖκά τε συγξαίνουσαν,
Τὸν λιμὸν φεύγοντας ἐν αἰνῇ [1] δηϊοτῆτι.

Κλεάνθην δὲ ὁ βασιλεὺς Ἀντίγονος ἠρώτα, διὰ χρόνου θεασάμενος ἐν ταῖς Ἀθήναις· Ἀλεῖς ἔτι, Κλέανθες; Ἀλῶ, (φησὶν) ὦ βασιλεῦ· ὃ ποιῶ ἕνεκα τοῦ ζῆν· μόνος δ' ἀποστῆναι μηδὲ φιλοσοφίας [2]. ὅσον τὸ φρόνημα τοῦ ἀνδρὸς, ἀπὸ τοῦ μύλου [3] καὶ τῆς μάκτρας πεπτέσῃ χειρὶ καὶ ἀλέσῃ γράφειν περὶ θεῶν, καὶ σελήνης, καὶ ἄστρων, καὶ ἡλίου. ἡμῖν δὲ δουλικὰ δοκεῖ ταῦτα ἔργα. τοιγαροῦν ἵν' ἐλεύθεροι ὦμεν δανεισάμενοι, κολακεύομεν οἰκότριβας ἀνθρώπους καὶ δορυφοροῦμεν καὶ δειπνίζομεν, καὶ δῶρα καὶ φόρους ὑποτελοῦμεν, οὐ διὰ τὴν πενίαν, (οὐδεὶς γὰρ δανείζει πένητι) ἀλλὰ διὰ τὴν πολυτέλειαν· εἰ γὰρ ἠρκούμεθα τοῖς ἀναγκαίοις πρὸς τὸν βίον, οὐκ ἂν ἦν γένος δανειστῶν, ὥσπερ οὐδὲ Κενταύρων ἐστὶν, οὐδὲ Γοργόνων· ἀλλ' ἡ τρυφὴ δανειστὰς ἐποίησεν, οὐχ ἧττον ἢ χρυσοχόους καὶ ἀργυροκόπους καὶ μυρεψοὺς καὶ ἀνθοβάφους. οὐ γὰρ ἄρτων οὐδ' οἴνου τιμὴν ὀφείλομεν, ἀλλὰ χωρίων καὶ ἀνδραπόδων καὶ ἡμιόνων καὶ τρικλίνων καὶ τραπεζῶν, καὶ χορηγοῦντες ἐκλελυμένως [4] πόλεσι, φιλοτιμούμενοι φιλοτιμίας ἀκάρπους καὶ ἀχαρίστους· ὁ δὲ ἅπαξ ἐνειληθεὶς, μένει χρεώστης διαπαντὸς, ἄλλον ἐξ ἄλλου μεταλαμβάνων ἀναβάτην, ὥσπερ ἵππος ἐγχαλινωθείς· ἀποφυγὴ δ' οὐκ ἔστιν ἐπὶ τὰς νομὰς ἐκείνας καὶ τοὺς λειμῶνας, ἀλλὰ πλάζονται, καθάπερ οἱ θεήλατοι καὶ οὐρανοπετεῖς ἐκεῖνοι τοῦ Ἐμπεδοκλέους δαίμονες.



1 Ald. Baf. ἐν ἐνί. Xyl. correxit ex Hom. Iliad. III, 20.

2 Cleanthis refponfum, Xyl. monente, mutilatum R. fufp. ἕνεκα τοῦ ζῆν, βουλόμενος δ' ἀποστῆναι μ. φ. W. autem ὅπως ἕνεκα τοῦ μὴ ζῆν, μὴ δέοι ἀποστῆναί με φιλοσοφίας. Venet. pro μόνος δὲ habet μηδέ.

3 B. μυλῶνος, W. notante.

4 R. monet, ἐκλελυμένως infolenter pofitum effe pro ἀνέδην, ἀκατασχέτως, *effuse*, cum alias proprie *remisse*, *segniter* fignificet. W. fufp. ἐκκεχυμένως.

Αἰθέριον μὲν γὰρ [1] σφε μένος πόντονδε διώκει,
Πόντος δ' ἐς χθονὸς ἔδας ἀνέπτυσε· γαῖα δ' ἐς αὐγὰς
Ἠελίȣ ἀκάμαντος· ὁ δ' αἰθέρος ἔμβαλε δίναις.

ἄλλος [2] δ' ἐξ ἄλλȣ δέχεται τοκιςὴς ἢ πραγματευτὴς Κορίνθιος, εἶτα Πατρεὺς, εἶτ' Ἀθηναῖος, ἄχρις ἂν ὑπὸ πάντων περικοπτόμενος [3] εἰς τόκȣς διαλυθῇ καὶ κατακερματισθῇ. καθάπερ γὰρ ἀναςῆναι δεῖ τὸν πεπηλωμένον ἢ μένειν, ὁ δὲ ςρεφόμενος καὶ κυλινδȣμενος ὑγρῷ τῷ σώματι καὶ διαβρόχῳ προσπεριβάλλεται πλείονα μολυσμόν· ȣτως ἐν ταῖς μεταγραφαῖς καὶ μεταπτώσεσι τῶν δανείων τȣς τόκȣς προσαναλαμβάνοντες αὐτοῖς καὶ προσπλάττοντες, ἀεὶ βαρύτεροι γίνονται· καὶ τῶν χολερικῶν ȣδὲν διαφέρȣσιν, οἳ θεραπείαν μὲν ȣ προσδέχονται, τὸ δὲ προστεταγμένον ἐξαίροντες [4], εἶτα πλέον αὖθις συλλέγοντες ἀεὶ διατελȣσι· καὶ γὰρ ȣτοι καθαρθῆναι μὲν ȣ θέλȣσιν, ἀεὶ δ', ὅσαι τȣ ἔτȣς ὧραι, μετ' ὀδύνης καὶ σπαραγμῶν τὸν τόκον ἀναφέροντες, ἐπιῤῥέοντος εὐθὺς ἑτέρȣ καὶ προσιςαμένȣ, πάλιν ναυτιῶσι καὶ καρηβαρȣσι· δέον ἀπαλλαγέντας, εἰλικρινεῖς καὶ ἐλευθέρȣς γίνεσθαι.

VIII. Ἤδη γάρ μοι πρὸς τȣς εὐπορωτέρȣς καὶ μαλακωτέρȣς ὁ λόγος ἐςὶ, τȣς λέγοντας· Ἄδȣλος ȣν γένωμαι καὶ ἀνέςιος καὶ ἄοικος; ὥσπερ εἰ λέγοι πρὸς ἰατρὸν ἄῤῥωςος ὑδρωπιῶν καὶ ὠδηκώς· Ἰσχνὸς ȣν γένωμαι καὶ κενός; τί δ' ȣ μέλλεις, ἵνα ὑγιαίνῃς; καὶ σὺ γενȣ

1 cf. Plut. opp. Vol. IX. p. 137. unde Xyl. corrigendos hos versus monuit. Abfuit nimirum ab Ald. & Baf. v. 1. μὲν, quod Steph. addidit; v. 2. dedi, Mez. & R. jubentibus, δ' ἐς pro vulg. δὲ.

2 Sic cum W. dedi e Bong. & Petav. confentientibus E. & Mez. Vulgo ἄλλον.

3 Bong. παρακρȣόμενος.

4 R. fufp. ἐξερῶντες, effundentes; Pro προστεταγμένον W. fufp. προσιςάμενον.

γενῦ ἄδελος, ἵνα μὴ δῦλος ῇς. καὶ ἀκτήμων, ἵνα μὴ κτῆμα ῇς ἄλλυ. καὶ τὸν τῶν γυπῶν λόγον ἀκυσου-ἐμῦντος τῦ ἑτέρυ, καὶ λέγοντος, τὰ σπλάγχνα ἐκβάλλειν, ὕτερος παρών· Καὶ τί δεινὸν, εἶπεν· ὐ γὰρ τὰ σεαυτῦ σπλάγχνα ἐκβάλλεις, ἀλλὰ τῦ νεκρῦ, ὃν ἄρτι ἐσπαράττομεν. καὶ τῶν χρεωςῶν ὐ πωλεῖ ἕκαςος τὸ ἑαυτῦ [1] χωρίον, ὐδὲ τὴν ἰδίαν οἰκίαν, ἀλλὰ τὴν τῦ δανείσαντος, ὃν τῷ νόμῳ κύριον αὐτῶν πεποίηκε. Νὴ Δία· (φησὶν) ἀλλ' ὁ πατήρ με τὸν ἀγρὸν τῦτον κατέλιπε. καὶ γὰρ καὶ τὴν ἐλευθερίαν καὶ τὴν ἐπιτιμίαν ὁ πατὴρ ἔδωκεν, ὧν σε δεῖ λόγον ἔχειν πλείονα. καὶ τὸν πόδα καὶ τὴν χεῖρα ὁ γεννήσας ἐποίησεν· ἀλλ' ὅταν σαπῇ, μισθὸν δίδως [2] τῷ ἀποκόπτοντι. τῷ δ' Ὀδυσσεῖ τὴν ἐσθῆτα ἡ Καλυψὼ περιέθηκεν,

Εἵματ' ἀμφιέσασα εὐώδεα [3] ·

χρωτὸς ἀθανάτυ πνέοντα, δῶρα καὶ μνημόσυνα τῆς φιλίας ὄντα τῆς ἐκείνης· ἀλλ' ἐπεὶ περιτραπεὶς καὶ βυθισθεὶς μόλις ἀνέχε, τῆς ἐσθῆτος γενομένης διαβρόχυ καὶ βαρείας, ἐκείνην μὲν ἔῤῥιψεν ἀποδυσάμενος, κρηδέμνῳ δέ τινι γυμνὸν ὑποζώσας τὸ ςέρνον,

Νῆχε παρὲξ ἐς γαῖαν ὀρώμενος [4]

καὶ διασωθεὶς, ὔτ' ἐσθῆτος, ὔτε τροφῆς, ἠπόρησε· τί ὖν; ὐ γίνεται χειμὼν περὶ τὺς χρεώςας, ὅταν ἐπιςῇ διὰ χρόνυ δανειςὴς, λέγων· Ἀπόδος;



1 Petav. τὸ πρὸς ἑαυτῦ.

2 Sic R. legi voluit, dedique cum W. idem ex B. sumente. Vulgo δίδωσι.

3 Xyl. ex Odyss. V. 264. & 439. εὐώδεα mutandum monuit in θυώδεα. Consentit Mez. Conf. deinde ibid. v. 372. sq. 291. 295.

4 Vulgo haec cum reliquo textu junguntur ἐς γαῖαν. ὁρώμενος δὲ καὶ διασωθείς. R. susp. ὡρμημένος, *appulsus ad terram.* Xyl. deleri voluit δὲ, & ὁρώμενος jungi cum prioribus. W. id observavit auctoritate B. & E. nec non delevit δέ (vitiose in nota legitur καὶ) cum B. Abest quoque δὲ a Petav.

Ὡς εἰπὼν, σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον·
Σὺν δ' εὖρός τε νότος τ' ἔπεσε ζέφυρός τε δυσαής,

τόκον τόκοις ἐπικυλιθέντων· ὁ δὲ συγκλυζόμενος ἀντέχεται τῶν βαρυνόντων, ἀπονήξασθαι καὶ φυγεῖν μὴ δυνάμενος· ἀλλ' ὠθεῖται κατὰ βυθοῦ, μετὰ τῶν ἐγγυησαμένων φίλων ἀφανιζόμενος. Κράτης δὲ ὁ Θηβαῖος, ὑπ' οὐδενὸς ἀπαιτούμενος οὐδ' ὀφείλων, αὐτὰς δὲ τὰς οἰκονομίας καὶ φροντίδας καὶ περισπασμοὺς δυσχεραίνων, ἀφῆκεν οὐσίαν ὀκτὼ ταλάντων, καὶ τρίβωνα καὶ πήραν ἀναλαβὼν, εἰς φιλοσοφίαν καὶ πενίαν κατέφυγεν. Ἀναξαγόρας δὲ τὴν χώραν κατέλιπε μηλόβοτον. καὶ τί δεῖ τούτους λέγειν; ὅπου Φιλόξενος, ὁ μελοποιὸς, ἐν ἀποικίᾳ Σικελικῇ, κλήρου μεταχὼν καὶ βίου καὶ οἴκου πολλὴν εὐπορίαν ἔχοντος, ὁρῶν δὲ τρυφὴν καὶ ἡδυπάθειαν καὶ ἀμουσίαν ἐπιχωριάζουσαν· Μὰ τοὺς θεοὺς, (εἶπεν) ἐμὲ ταῦτα τὰ ἀγαθὰ οὐκ ἀπολεῖ, ἀλλ' ἐγὼ ταῦτα· καὶ [1] καταλιπὼν ἑτέροις τὸν κλῆρον, ἐξέπλευσεν. οἱ δ' ὀφείλοντες ἀπαιτούμενοι, δασμολογούμενοι, δουλεύοντες, ὑπαργυρεύοντες [2], ἀνέχονται, καρτεροῦσιν, ὡς ὁ Φινεὺς, Ἁρπυίας τινὰς ὑποπτέρους βόσκοντες· αἳ [3] φέρουσι τὴν τρο-

1 abest καὶ a Petav.

2 R. ad hanc vocem haec notat: „Quid hoc verbi sit, nescio. Conjeci aliquando ἀπαγορεύοντες: ex quo autem Xylandri interpretationem inspicere mihi licuit, dubitare de superiore conjectura coepi. Vertit enim adulterina moneta circumveniuntur. Legit igitur ὑπαργυρευθέντες. Nam vulgata sensum illum non fert: si modo per Graecae linguae rationes ὑπαργυρεύεσθαι significare potest ὑπαργύρῳ, id est, improba, adulterata pecunia circumveniri. Invenio in Suiceri Lexico V. ὑπαργυρεύειν expositum *anxie argentum conquirere, velut effodere e cuniculis terrae*, nescio quo auctore & teste, dubitoque, ut & illa significatio verbo inesse queat. Num igitur ἀπαργυρεύοντες, *e vendita supellectile argentum* cogentes, vel *conficientes*?“

3 Secutus sum W. ita e veteri lectione ἀεὶ φέρουσι, quae est in B. E. Ald. Bas. Xyl. exhibentem. Alii interpolarunt ita: οἱ δὲ δανεισταὶ ἀεὶ φέρουσι, ut est in Schott. Leonic. Jannot. Pol. unde vulgavit Steph.

τροφὴν καὶ διαρπάζουσιν, οὐ καθ' ὥραν, ἀλλὰ πρὶν θερισθῆναι τὸν σῖτον ὠνέμενοι, καὶ πρὶν ἢ πεσεῖν τὴν ἐλαίαν, ἀγοράζοντες τοὔλαιον, καὶ τὸν οἶνον [1]. ἔχω (φησὶ) τοσούτου, καὶ πρόσγραφον [2] ἔδωκε τῆς τιμῆς· ὁ δὲ βότρυς κρέμαται, καὶ προσπέφυκεν ἔτι τὸν ἀρκτοῦρον ἐκδεχόμενος.

1 Punctum post τὸν οἶνον tollendum censuit R. ut sit sensus: *Vinum, ait, habeo tanti emtum.*

2 R. quaerit, num χειρόγραφον?

ΠΛΟΥ-

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΒΙΟΙ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ [1].

---

### Ἀντιφῶντα.

Ἀντιφῶν [2] Σωφίλου μὲν ἦν πατρὸς [3], τὸν δὲ δῆμον Ῥαμνούσιος· μαθητεύσας δὲ τῷ πατρὶ, (ἦν γὰρ σοφι-

1 Taylorus in Lectionibus Lysiacis, & p. 261. notarum ad Demosthenis Orat. contra Midiam, docere voluit exemplis ex Antiphonte & Antocida prolatis, libellum hunc Plutarchi non esse, & dudum post Photium ex ejus Myriobiblo consarcinatum esse. R. judice, forsitan verum ait. Suspicatur tamen simul, posse libellum Plutarchi esse, sed non illius Chaeronensis, verum recentioris & ignobilioris. Cum in Lampriae catalogo Opp. Plut. ejusmodi opus memoretur, Kaltw. suspicatur, hoc ipsum a Plutarcho confectum, studio nescio cujus epitomatoris, sua rerum cognitione solertiaque minus se commendantis, periisse. W. in Prolegomenis haec habet: „libellus a posteriore quodam homine, partim e Plutarcheis scriptis, compilatus: oratio certe minime est Plutarchea.“ In annotatione autem textui subjecta sententiam suam his verbis declarat: „Nomen reliquimus, ut in titulis aliorum spuriorum librorum: nam hunc non esse Plutarchi, ita manifesto arguunt cum ratio tum oratio, ut dudum jam constet de hac re inter doctos homines.“

2 Auctorem hujus Vitae tres diversos Antiphontas in unum hominem, velut massam, colliquasse: primum oratorem, Sophili filium, Thucydidae magistrum, ob turbas in rep. motas proditionis accusatum & capitis damnatum Athenis; alterum onirocritam & aruspicem, qui cum Socrate disputavit; tertium tragoediarum auctorem, & Dionysii, Siculi tyranni, aemulum, demonstravit Taylorus c. 7. Lect. Lysiac. p. 696. (Vol. VI. orat. Gr. p. 269 — 273.) Animadvertit quoque jam dudum commixtionem duorum saltim diversorum Vossius. R.

3 Pro πατρὸς Petav. dat υἱός. Pro τὸν δὲ δῆμον Ald. Bas. Xyl. τῶν δὲ δήμων, W. judice, incertum vere, nec ne. Ex Petav. affertur τῶν δὲ δήμων.

σοφιςὴς, ᾧ [1] καὶ Ἀλκιβιάδην φασὶν ἔτι παῖδα ὄντα φοιτῆσαι) καὶ δύναμιν λόγων κτησάμενος, ὥς [2] τινες νομίζουσιν, ἀπ' οἰκείας φύσεως, ὥρμησε μὲν πολιτεύεσθαι. διατριβὴν δὲ συνέςησε, καὶ Σωκράτει τῷ φιλοσόφῳ διεφέρετο τὴν ὑπὲρ τῶν λόγων διαφορὰν, οὐ φιλονείκως, ἀλλ' ἐλεγκτικῶς, ὡς Ξενοφῶν [3] ἱςόρηκεν ἐν τοῖς ἀπομνημονεύμασι. καί τινας λόγους τοῖς δεομένοις τῶν πολιτῶν συνέγραφεν, εἰς τοὺς ἐν τοῖς δικαςηρίοις ἀγῶνας, πρῶτον ἐπὶ τοῦτο [4] τραπεὶς, ὥσπερ τινές φασι. τῶν γοῦν πρὸ αὐτοῦ γενομένων οὐδενὸς φέρεται δικανικὸς λόγος, ἀλλ' οὐδὲ τῶν κατ' [5] αὐτὸν, διὰ τὸ μηδέπω ἐν ἔθει τοῦ [6] συγγράφειν εἶναι· οὐ Θεμιςοκλέους, οὐκ Ἀριςείδου, οὐ Περικλέους· καίτοι πολλὰς ἀφορμὰς καὶ ἀνάγκας παρασχόντων αὐτοῖς τῶν καιρῶν· καὶ γὰρ οὐ δι' ἀσθένειαν ἀπελείποντο τοῦ συγγράφειν, ὡς δῆλον ἐκ τῶν εἰρημένων παρὰ τοῖς συγγραφεῦσι περὶ ἑνὸς ἑκάςου τῶν προειρημένων ἀνδρῶν. ὅσους μέντοι ἔχομεν ἐπὶ τὸ παλαιότατον ἀναφέροντες ἀπομνημονεῦσαι τὴν ἰδέαν τῶν λόγων ταύτην μεταχειρισαμένους, τούτους εὕροι τις ἂν ἐπιβεβληκότας Ἀντιφῶντι, πρεσβύτῃ ἤδη ὄντι, οἷον Ἀλκιβιάδην, Κριτίαν, Λυσίαν, Ἀρχίνοον [7]. πρῶτος δὲ καὶ ῥητορικὰς τέχνας ἐξήνεγκε, γενόμενος ἀγχίνους· διὸ καὶ Νέςωρ ἐπεκαλεῖτο. Καικίλιος δ' ἐν τῷ περὶ αὐτοῦ συντάγμα-

1 Redit ad Sophilum, ut patet. Verumtamen Alcibiades Sophilum audire nequiit, defunctum jam dudum ante se natum; a Antiphontem senem audire potuit, si fecit. R.

2 W. cum R. susp. ἢ ὥς τινες.

3 Vid. Xenoph. Memorab. Socr. I. c. 6. ubi Antiphontem Rhamnusium disputare viri docti agnoscunt, negat Taylorus, & ad augurem refert.

4 Mez. πρῶτος, quod W. probat. Ald. & Petav. ἐπὶ τούτῳ.

5 codex innominatus μετ' αὐτόν.

6 Mez. & R. malunt τό. Attamen nec vulgatum ratione caret, ut W. monet.

7 Taylor. corrigit Ἀρχῖνον.

τάγματι Θουκυδίδου τοῦ συγγραφέως μαθητὴν [1] τεκμαίρεται γεγονέναι, ἐξ ὧν ἐπαινεῖται παρ' αὐτῷ ὁ Ἀντιφῶν. ἔστι δ' ἐν τοῖς λόγοις ἀκριβὴς καὶ πιθανὸς, καὶ δεινὸς περὶ τὴν εὕρεσιν, καὶ ἐν τοῖς ἀπόροις τεχνικὸς, καὶ ἐπιχειρῶν ἐξ ἀδήλου, καὶ ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους, τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος. γέγονε δὲ κατὰ [2] τὰ Περσικὰ καὶ Γοργίαν τὸν σοφιστὴν, ὀλίγῳ νεώτερος αὐτοῦ· καὶ παρατέτακεν ἕως καταλύσεως τῆς δημοκρατίας ὑπὸ τῶν τετρακοσίων γενομένης, ἣν αὐτὸς δοκεῖ συγκατασκευάσαι, ὁτὲ μὲν δυσὶ τριηραρχῶν ναυσὶν [3], ὁτὲ δὲ στρατηγῶν, καὶ πολλαῖς μάχαις νικῶν, καὶ συμμαχίας μεγάλας αὐτοῖς προσαγόμενος, καὶ τοὺς ἀκμάζοντας ὁπλίζων, καὶ τριήρεις πληρῶν ἑξήκοντα, καὶ πρεσβεύων δὲ ἑκάστοτε ὑπ' [4] αὐτῶν εἰς Λακεδαίμονα, ἡνίκα ἐτετείχιστο Ἠετιωνεία [5]. μετὰ δὲ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς σὺν Ἀρχεπτολέμῳ, ἑνὶ τῶν τετρακοσίων, ἑάλω, καὶ τοῖς περὶ τῶν προδοτῶν ἐπιτιμίοις ὑπαχθεὶς, ἄταφος ἐῤῥίφη, καὶ σὺν τοῖς ἐκγόνοις ἄτιμος ἐνεγράφη. οἱ δὲ ὑπὸ τῶν τριάκοντα

1 Sic, W. teste, editi libri & scriptus E. item Photius: at Turn. V. Amiot. Anon. διδάσκαλον (idem Xyl. vertisse, W. notat: quod equidem non observavi) probante Tayloro, & Ruhnkenio Diss. Antiphont. p. 9. Addit autem W. „Si hoc tradidit scriptor hujus libri, scripserit sane καθηγητὴν, quod librarii saepe in μαθητὴν mutarunt.“ Thucydidae locus est VIII, 68.

2 R. legendum monet μετὰ, cum Gorgias in bello Peloponnesiaco floruerit, non Persico.

3 Vertit haec Kaltw. *der auf eigene Kosten zwey Galeeren ausrüstete* — coll. loco. Xenoph. H. Gr. II. 3. 40.

4 R. mavult ὑπὲρ αὐτῶν.

5 Vulgo duobus vocabulis ἡ Ἐτιωνία. Corrigendam monuit hanc scripturam Xyl. ἡ Ἠετιωνεία, Thucydidem secutus, consentientibus simul Stephano & Suida, qui alterum Piraeei promontorium fuisse Eetioneam tradunt. R. uno vocabulo legendum censuit, cum Palmer. Exerc. p. 226. Probant idem Mez. & W.

κοντα ἀνῃρῆσθαι αὐτὸν ἱστοροῦσιν, ὥσπερ Λυσίας ἐν τῷ ὑπὲρ τῆς Ἀντιφῶντος θυγατρὸς λόγῳ· ἐγένετο γὰρ αὐτῷ θυγάτριον, ὃ Κάλλαισχρος ἐπεδικάσατο· ὅτι δὲ ὑπὸ [1] τῶν τριάκοντα ἀπέθανεν, ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν Φιλιππικῶν. ἀλλ' οὗτός τ' ἂν ἡμερώτερος Λυσιδωνίδου πατρὸς, καὶ Κρατῖνος ἐν Πυτίνῃ ὁ πονηροῦ μνημονεύει [2]. πῶς γὰρ [3] ἂν ὁ προτεθνεὼς καὶ ἀναιρεθεὶς ὑπὸ τῶν τετρακοσίων, πάλιν ἐπὶ τῶν τριάκοντα εἴη; ἔστι δὲ καὶ ἄλλος λόγος περὶ τῆς τελευτῆς αὐτοῦ. πρεσβευτὴν [4] γὰρ ὄντα αὐτὸν εἰς Συρακούσας πλεῦσαι, ἡνίκα ἤκμαζεν ἡ τοῦ προτέρου Διονυσίου τυραννίς· γενομένης δὲ παρὰ πότον ζητήσεως, τίς ἄριστός ἐστι χαλκὸς, καὶ τῶν πολλῶν διαφερομένων, αὐτὸν εἰπεῖν, ἄριστον εἶναι, ἐξ οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων πεποίηνται· τοῦτο δ' ἀκούσαντα τὸν Διονύσιον, καὶ ὑπονοήσαντα, προτροπὴν

1 Ms. Xyl. nec non Petav. ὑπὲρ. Non probat Xyl.

2 Recte hunc locum a Taylor. Lect. Lys. c. 7. correctum sic legi, W. monet: οὗτός γε ἂν εἴη ἕτερος, Λυσιδωνίδου πατρὸς, οὗ Κρατῖνος, ἐν Πυτίνῃ ὡς πονηροῦ μνημονεύει. Amiot. & Mez. οὗτός γε ἦν νεώτερος Σιμωνίδου πατρὸς, οὗ K. ἐν Π. ὡς πονηροῦ μν. R. susp. ἀλλ' οὗτος μὲν ἂν ἦν ἕτερος, Λυσιδωνίδου (vel Λυσιδώνδου) πατρὸς, οὗ καὶ K. ἐν Π. ὡς πονηροῦ μνημονεύει· πῶς γὰρ ἂν ὁ πρ. Xyl. ea, quae vulgo leguntur, ἀλλ' οὗτ. τ' ἂν ἡμερ. verba Theopompi esse censuit, quasi initium eorum, quae is de Antiphonte scripserit. Notat simul e Ms. ἀλλ' οὗτος ἂν ἡμέτερος. Petav. idem exhibet, nec non cod. E. Hinc W. si ab auctore sit, aliam struit lectionem ἀλλ' οὗτός γε οὐχ ὁ ἡμέτερος, ἀλλ' ὁ Λυσιδωνίδου πατρὸς. Dedi cum W. Πυτίνῃ pro vulg. Πιτύνῃ. Xyl. Ms. & E. dant meliorem istam scripturam. Cf. Vol. XI. pag. 71. lin. ult. & not.

3 abest γὰρ vulgo. Addidi, R. jubente (vid. not. praec.) cum W. idem e Mez. sumente. Dando deinde καὶ ante ἀναιρ. quod vulgo abest, secutus sum W. ex E. illud recipientem.

4 Eadem historia refertur a Nostro in lib. de adul. & am. discr. c. 40. Opp. Vol VII. p. 218. Pro πρεσβευτὴν Xyl. mavult πρεσβύτην. Tayloro autem monente casus hic Antiphonti tragico est tribuendus.

πὴν εἰς ἐπίθεσιν εἶναι τὸ ῥηθὲν, προστάξαι ἀναιρεθῆναι αὐτόν. οἱ δὲ, ὅτι τὰς τραγῳδίας αὐτȣ͂ διέσυρε, χαλεπήναντα. Φέρονται δὲ τȣ͂ ῥήτορος λόγοι ἑξήκοντα, ὧν κατεψευσμένȣς Φησὶ Καικίλιος εἶναι τȣ̀ς εἰκοσιπέντε. κεκωμῴδηται δ' εἰς Φιλαργυρίαν ὑπὸ Πλάτωνος ἐν [1] Πεισάνδρῳ. λέγεται δὲ τραγῳδίας συνθεῖναι, καὶ ἰδίᾳ, καὶ σὺν Διονυσίῳ, τῷ τυράννῳ. ἔτι δ' ὢν πρὸς τῇ ποιήσει, τέχνην ἀλυπίας συνεστήσατο, ὥσπερ τοῖς νοσȣ͂σιν ἡ παρὰ τῶν ἰατρῶν θεραπεία ὑπάρχει· ἐν Κορίνθῳ τε κατεσκευασμένος οἴκημά τι παρὰ τὴν ἀγορὰν, προέγραψεν, ὅτι δύναται τȣ̀ς λυπȣμένȣς διὰ λόγων θεραπεύειν· καὶ πυνθανόμενος τὰς αἰτίας, παρεμυθεῖτο τȣ̀ς κάμνοντας. νομίζων δὲ τὴν τέχνην ἐλάττω ἢ καθ' αὐτὸν εἶναι, ἐπὶ ῥητορικὴν ἀπετράπη. εἰσὶ δ', οἳ καὶ τὸ Γλαύκȣ τȣ͂ Ῥηγίνȣ περὶ ποιητῶν βιβλίον εἰς Ἀντιφῶντα ἀναφέρεσιν. ἐπαινεῖται δ' αὐτȣ͂ μάλιστα ὁ περὶ Ἡρώδȣ [2], καὶ πρὸς Ἐρασίστρατον περὶ τῶν ἰδεῶν [3], καὶ ὁ περὶ τῆς εἰσαγγελίας [4], ὃν ὑπὲρ ἑαυτȣ͂ γέγραφε, καὶ ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων. ἔγραψε δὲ καὶ κατὰ Ἱπποκράτȣς τȣ͂ (ἰατρȣ͂ [5]) στρατηγȣ͂ λόγον, καὶ εἷλεν αὐτὸν

1 Ita Salmas. & Photius, & corrigunt Casaub. ad Athen. p. 664. & Ruhnken. Diss. Antiph. p. 21. vertitque Kaltw. *in der Komödie Peisander.* Vulgo σὺν Πεισάνδρῳ. Cf. Suid. in Πλάτων.

2 Non dubitavi, ita ex correctione Palmer. Exerc. p. 226. Fabric. B. G. T. I. p. 888. W. & Kaltw. probata dare. Vulgo Ἡροδότȣ. Extat haec oratio p. 129. ed. H. Steph. seu Vol. VII. or. Gr. p. 702.

3 Ruhnken. Diss. Antiph. p. 40. corrigit ταῶν. Verisimillimum hoc videtur W. & vertendo exprimit Kaltw. Ab aliis quoque scriptoribus hujus orationis fit mentio. Mez. ἰδίων; R. τῶν ἐλαιῶν.

4 Ita dedi ex correctione Xyl. & R. Consentiunt Amiot & Mez. Probat W. Vulgo ἀγγελίας.

5 Hanc vocem delendam censuerunt Xyl. & R. & omisit Kaltw. Uncis inclusi cum W. delere non auso ut in libris omnibus

τὸν ἐξ ἐρήμȣ ἐπὶ [1] Θεοπόμπȣ ἄρχοντος, ἐφ' ȣ̌ οἱ τετρακόσιοι κατελύθησαν. Ψήφισμα, καθ' ὃ ἔδοξεν [2] Ἀντιφῶντα κριθῆναι, ὁ Καικίλιος παρατίθειται· „Ἔδοξε τῇ βȣλῇ μιᾷ καὶ εἰκοςῇ τῆς πρυτανείας· Δημόνικος Ἀλωπεκῆθεν ἐγραμμάτευε, Φιλόςρατος Παλληνεὺς ἐπεςάτει [3]. Ἄνδρων εἶπε περὶ τῶν ἀνδρῶν, ȣ̓ς ἀποφαίνȣσιν οἱ ςρατηγοὶ πρεσβευομένȣς [4] εἰς Λακεδαίμονα ἐπὶ κακῷ τῆς πόλεως τῆς Ἀθηναίων, καὶ ἐκ [5] τȣ̃ ςρατοπέδȣ πλεῖν ἐπὶ πολεμίας νεὼς, καὶ πεζεῦσαι διὰ Δεκελείας, Ἀρχεπτόλεμον καὶ Ὀνομακλέα καὶ Ἀντιφῶντα συλλαβεῖν καὶ ἀποδȣ̃ναι εἰς τὸ δικαςήριον, ὅπως δῶσι δίκην. παρασχόντων δ' αὐτȣ̀ς οἱ ςρατηγοὶ, καὶ ἐκ τῆς βȣλῆς ȣ̔στινας ἂν δοκεῖ τοῖς ςρατηγοῖς, προσελομένοις [6] μέχρι δέκα, ὅπως ἂν περὶ παρόντων γένηται ἡ [7] κρίσις. προσκαλεσάσθωσαν δ' αὐτȣ̀ς οἱ θεσμοθέται ἐν τῇ αὔριον ἡμέρᾳ, καὶ εἰσαγόντων, ἐπειδὰν αἱ κλήσεις ἐξήκωσιν εἰς τὸ δικαςήριον, περὶ προδοσίας κατηγορεῖν τȣ̀ς εἰρημένȣς συνηγόρȣς [8] καὶ τȣ̀ς ςρατηγȣ̀ς, καὶ ἄλ-

bus proditum, & a Photio, qui fine ςρατηγȣ̃ fimpliciter habet ἰατρȣ̃. E. ἰατρȣ̃ ςρατηγȣ̃, ut vertit Amiot.

1 Vulgo ante ἐπὶ inferitur ψήφισμα. Xyl. id delendum monuit, cum ex infequente verfu huc irrepferit. Confentiunt R. & W. Paulo ante Turn. αὐτȣ̃ pro αὐτόν.

2 Ita R. legendum monuit, nec non W. dedique pro vulg. ἔδοξαν — *vifum fuit populo Athenienfi.*

3 Vulgo Πελληνεὺς ἐπεςράτει. Utrumque Taylor. ita corrigendum monuit, ut dedi. Alopece & Pallene erant δῆμοι Atticorum. Pofteriorem vocem firmat Xyl. Ms. Confentit quoque Mez. & recepit W. probans fimul Παλληνεύς. Eodem judice, ipfum decretum initio non fatis integrum videtur.

4 R. notat, fe dubium effe, utrum legendum πρεσβευσαμένȣς, an πρεσβευσομένȣς.

5 R. deleri vult ἐκ.

6 Ita dedi e R. mente pro vulg. προσελομένȣς.

7 abeft ἡ a Petav.

8 R. fufp. κατηγορεῖν τῶν εἰρημένων τȣ̀ς ῃρημένȣς κατηγόρȣς, ad-

ἄλλους [1], ἄν τις βέληται. ὅτε δ' ἂν καταψηφίσηται τὸ δικαςήριον, περὶ αὐτῦ ποιεῖν κατὰ τὸν νόμον, ὃς κεῖται περὶ τῶν προδόντων". τάτῳ [2] ὑπογέγραπται τῷ δόγματι ἡ καταδίκη. „Προδοσίας ὦφλον [3] Ἀρχεπτόλεμος Ἱπποδάμε Ἀγρύληθεν παρὼν, Ἀντιφῶν Σωφίλε Ῥαμνέσιος παρών· τέτοιν ἐτιμήθη, τοῖς ἕνδεκα παραδοθῆναι, καὶ τὰ χρήματα δημόσια εἶναι, καὶ τῆς θεῦ τὸ ἐπιδέκατον, καὶ τὰς οἰκίας κατασκάψαι αὐτῶν, καὶ ὅρες θεῖναι [4] τοῖν οἰκοπέδοιν, ἐπιγράψαντας· Ἀρχεπτολέμε καὶ Ἀντιφῶντος, τοῖν προδόταιν. τῷ δὲ δημάρχῳ ἀποφῆναί τ' οἰκίαν ἐς τὸν [5], καὶ μὴ ἐξεῖναι θάψαι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα Ἀθήνησι, μηδ' ὅσης Ἀθηναῖοι κρατᾶσι. καὶ ἄτιμον εἶναι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα [6], καὶ γένος τὸ ἐκ τέτοιν, καὶ νόθες καὶ γνησίες. καὶ ἐὰν ποιήσηταί τινα τῶν ἐξ Ἀρχεπτολέμε καὶ Ἀντιφῶντος, ἄτιμος ἔςω ὁ ποιησάμενος· ταῦτα δὲ γράψαι ἐν ςήλῃ

addens: „ut accusatis a republica & judicibus dabantur sui συνήγοροι, qui causam pro iis dicerent: sic quoque dabantur publice κατήγοροι, qui reos nomine reipublicae accusarent, praesertim in caussis majestatis. V. Vales. ad Harpocrat. p. 182." Pro εἰρημ. Turn. Mez. ἠρημένες.

1 Dedi sic cum W. e Turn. Vulgo ἄλλος.

2 Dedi sic e Turn. V. Bong. jubente R. pro vulg. τᾶτο. Recepit idem W. nulla tamen adnotatione subjuncta.

3 In Ald. & Bas. continuantur haec antecedentibus. Steph. & rell. ita distinguunt ἡ καταδίκη προδοσίας. Ὦφιλον —. Secutus sum Xyl. cum W. In Ald. est ὦ φίλον; in rell. ὤφιλον; in E. ejus loco est lacuna. Cum W. recepi ὤφλον e Leonic. Schott. Turn. V Bong. In distinguendis vocibus consentit R. ante προδοσίας autem inseri vult Δίκην.

4 Salmas. καὶ ἀρὰς θεῖναι.

5 Xyl. locum asterisco notavit, & in E. est lacuna. R. quaerit, num τῷ δημάρχῳ ἀφεῖναι τὴν οἰκίαν εἰς τὸ κοινόν? W. susp. forte tale quid excidisse, ἀποφῆναι μὴ οἰκεῖν ἔτι τὸν τόπον.

6 a Petav. absunt Ἀθήνησι, μηδ' — Ἀντιφῶντα. Paulo ante idem καθάψαι pro θάψαι.

στήλη χαλκῇ, ᾗπερ ἂν καὶ τὰ ψηφίσματα τὰ περὶ Φρυνίχου, καὶ τούτου θέσθαι“ 1.

## Ἀνδοκίδης β'.

Ἀνδοκίδης 2 Λεωγόρου μὲν ἦν πατρὸς, τοῦ θεμένου ποτὲ πρὸς Λακεδαιμονίους εἰρήνην Ἀθηναίοις 3, τὸν δῆμον 4 δὲ Κυδαθήναιος, ἢ Θουρεὺς, γένους εὐπατριδῶν, ὡς δὲ Ἑλλάνικος, καὶ ἀπὸ Ἑρμοῦ· καθήκει γὰρ εἰς 5 αὐτὸν τὸ κηρύκων γένος· διὸ καὶ προεχειρίσθη ποτὲ μετὰ Γλαύκωνος σὺν ναυσὶν εἴκοσι Κερκυραίοις βοηθήσων, διαφερομένοις πρὸς Κορινθίους. μετὰ δὲ ταῦτα αἰτιαθεὶς 6 ἀσεβεῖν, ὡς καὶ αὐτὸς τοὺς Ἑρμᾶς περικόψας, καὶ εἰς τὰ τῆς Δήμητρος ἁμαρτὼν μυστήρια, διὰ τὸ πρότερον ἀκόλαστον ὄντα, νύκτωρ κωμάσαντα, θραῦσαί τι



1 R. susp. χαλκῇ, καὶ ᾗπερ ἀνάκειται ψηφίσματα τὰ περὶ Φρυνίχου, καὶ τοῦτο προσθέσθαι. W. susp. ἐν ᾗπερ, consentiens in τοῦτο. Salmas. παρὰ pro περί.

2 R. monente, conferenda est hujus vitae editio, quae habetur in Taylori Lect. Lys. p. 689. (seu p. 248. Vol. VI. or. Gr.) cum vita Photiana comparata.

3 Non Leogoram, Andocidae patrem, sed avum cognominem, cum Lacedaemoniis pacem pepigisse, & ea, quae de lato Corcyraeis auxilio dicuntur, non ad Leogoram, sed ad Andocidam avum pertinere, demonstrat Taylor. l. c. ubi etiam legi jubet Κυδαθηναιεὺς, ἢ Θυραιεὺς, quod W. probat.

4 Salmas. τῶν δήμων.

5 abest εἰς a Petav.

6 Xyl. jam queritur de mutilis hisce & corruptis periodis. R. notat: „pendet hoc verbum, & ad summam, tota haec periodus incondita, implicita, hiulca & soloeca Plutarchum non olet, sed recentiorem Graecitatem, quae non dubitabat, syntaxeos verborum Grammaticae rationem nullam habere. Si reddere orationi statum aliquem & ordinem atque lumen velis, necesse est loco καὶ (infra ante εἰσαγγελθέντα) legas συνέβη αὐτόν. Sed etiam in proxima periodo scabrities & confusio inexplicabilis inest.“ W. judice haec omnia & rebus turbata, & verbis corrupta sunt. Cf. Thucyd. VI, 26. 27. nec non c. 6.

τῶν ἀγαλμάτων τȣ̃ θεȣ̃, καὶ εἰσαγγελθέντα, ἐπειδὴ ȣ̓κ ἠβȣλήθη, ὃν ἐζήτȣν οἱ κατήγοροι, δȣ̃λον ἐκδȣ̃ναι, διαβληθῆναι, καὶ πρὸς τὴν αἰτίαν τῆς δευτέρας γραφῆς ὕποπτον γενέϑαι· ἣν μετ' ȣ̓ πολὺν χρόνον τȣ̃ ἐπὶ Σικελίαν ϛόλȣ συνέβη γενέϑαι· Κορινθίων εἰσπεμψάντων Λεοντίνȣς τε καὶ Αἰγεϛαίȣς ἄνδρας, ἰδίᾳ μελλόντων βοηθεῖν αὐτοῖς τῶν Ἀθηναίων, νύκτωρ τȣ̀ς περὶ τὴν ἀγορὰν Ἑρμᾶς περιέκοψαν, ὡς Κράτιππός φησι, προσαμαρτὼν μυϛήρια· κριθεὶς τ' [1] ἐπὶ τȣ́τοις, ἀπέφυγεν ἐπὶ τῷ μηνύσειν τȣ̀ς ἀδικȣ̃ντας· σπȣδὴν δὲ πᾶσαν εἰσενεγκάμενος [2], ἐξεῦρε τȣ̀ς περὶ τὰ ἱερὰ ἁμαρτόντας, ἐν οἷς καὶ τὸν αὐτȣ̃ πατέρα ἐμήνυσε· καὶ τȣ̀ς μὲν ἄλλȣς πάντας ἐλέγξας ἐποίησεν ἀπολέϑαι, τὸν δὲ πατέρα ἐῤῥύσατο, καίτοι δεδεμένον ἤδη, ὑποσχόμενος, πολλὰ λυσιτελήσειν αὐτὸν τῇ πόλει· καὶ ȣ̓κ ἐψεύσατο. ἤλεγξε γὰρ ὁ Λεωγόρας πολλȣ̀ς δημόσια χρήματα σφετεριζομένȣς [3], καὶ ἄλλα τινὰ ἀδικȣ̃ντας· καὶ διὰ μὲν ταῦτα ἀφείθη τῆς αἰτίας. εὐδοκιμῶν δὲ ὁ Ἀνδοκίδης ἐπὶ τοῖς πολιτευομένοις, ἐπέθετο ναυκληρίᾳ, καὶ τοῖς τε Κυπρίων βασιλεῦσι καὶ πολλοῖς ἄλλοις δοκίμοις ἐπεξενώθη· ὅτε καὶ μίαν τῶν πολιτίδων, Ἀριϛείδȣ θυγατέρα, ἀνεψιὰν ȣ̓̃σαν αὐτῷ, λάθρα τῶν οἰκείων ἐξαγαγὼν, ἔπεμψε δῶρον τῷ Κυπρίων βασιλεῖ. μέλλων δ' ἐπὶ τȣ́τοις εἰς δικαϛήριον εἰσάγεϑαι, πάλιν αὐτὴν ἐξέκλεψεν ἀπὸ τῆς Κύπρȣ, καὶ ληφθεὶς ὑπὸ τȣ̃ βασιλέως ἐδέθη· διαδρὰς δὲ ἧκεν εἰς τὴν πόλιν, καθ' ὃν χρόνον οἱ τετρακόσιοι διεῖπον τὰ πράγματα· δεθεὶς δὲ ὑπὸ τȣ́των καὶ διαφυγὼν, αὖθις, ὁπότε κατελύθη ἡ ὀλιγαρχία,

1 Petav. κριθεὶς δὲ.

2 Dedi sic, R. & W. jubentibus, e Phot. pro vulg. ἐνεγκάμενος; nec non deinde ἁμαρτόντας, quod W. ex E. notat & probat, pro vulg. ἁμαρτάνοντας.

3 Turn. V. Bong. σφετερισμένȣς; forte mendose pro ἐσφετερισμένȣς aut σφετερισαμένȣς.

χία, ἐξέπεσε τῆς πόλεως, τῶν τριάκοντα την ἀρχὴν παραλαβόντων· οἰκήσας δὲ τὸν τῆς Φυγῆς χρόνον ἐν Ἤλιδι, κατελθόντων τῶν περὶ Θρασύβȣλον, καὶ αὐτὸς ἧκεν εἰς τὴν πόλιν· πεμφθεὶς δὲ περὶ τῆς εἰρήνης εἰς Λακεδαίμονα, καὶ δόξας ἀδικεῖν ἔφυγε. δηλοῖ δε περὶ πάντων ἐν τοῖς λόγοις, οἷς συγγέγραφεν· οἱ μὲν γὰρ ἀπολογȣμένȣ περὶ τῶν μυστηρίων εἰσὶν, οἱ δὲ καθόδȣ [1] δεομένȣ. σώζεται δ' αὐτȣ͂ καὶ ὁ περὶ τῆς ἐνδείξεως [2] λόγος, καὶ ἀπολογία πρὸς Φαίακα, καὶ περὶ τῆς εἰρήνης. καὶ ἤκμακε μὲν κατὰ τȣ͂τον τὸν χρόνον ἅμα Σωκράτει τῷ Φιλοσόφῳ· ἄρχει [3] δ' αὐτῷ τῆς γενέσεως ὀλυμπιὰς μὲν ἑβδομηκοστὴ ὀγδόη, ἄρχων δ' Ἀθήνησι Θεογενίδης· ὥς' εἶναι πρεσβύτερον αὐτὸν Λυσίȣ ἔτεσί πȣ ἑκατόν [4]. τȣ́τȣ δ' ἐπώνυμός ἐςι καὶ Ἑρμῆς, ὁ Ἀνδοκίδȣ καλȣ́μενος, ἀνάθημα μὲν ὢν Φυλῆς Αἰγηΐδος, ἐπικληθεὶς δ' Ἀνδοκίδȣ διὰ τὸ πλησίον παροικῆσαι τὸν Ἀνδοκίδην. καὶ αὐτὸς δ' ἐχορήγησε κυκλίῳ χορῷ τῇ αὐτȣ͂ Φυλῇ ἀγωνιζομένῃ [5] διθυράμβῳ, καὶ νικήσας ἀνέθηκε τρίποδα ἐφ' ὑψηλȣ͂, ἄντικρυς τȣ͂ Παρίνȣ Σειληνȣ͂ [6]. ἔςι



1 Sic R. recepit e Xyl. & Henr. Vales. ad Harpocrat. p. 85. correctione, praeeunte jam Taylor. in ed. sua, & dedit W. consentiente Mez. pro vulg. καθόλȣ.

2 Sermonem περὶ τῆς ἐνδείξεως cum defensione sui eundem fuisse contendit Taylorus. Non consentit R. suspicans, posse illum de delatis reis sermonem illos arguisse, quos Leogoras pater peculatus reos indicaverit.

3 Phot. & Mez. ἀρχή. W. judice, neutrum sanum, cum scribendum fuerit χρόνος vel simile.

4 Mez. & R. corrigunt ἐννέα; Taylor. Vit. Lys. p. 30. ὀκτώ. Xyl vertit: annis fere viginti.

5 Secutus sum W. ita dantem ex E. Mez. Perizon. ad Aelian. V. H. X, 6. qui item corrigit κύκλιον χορόν.

6 Vulgo Πωρίνȣ Σιλίνȣ, de qua lectione jam Xyl dubius fuit. Salmas. (exerc. Plin. p. 129.) a Palmer. p. 226. Taylor. Lect. Lys. p. 691. R. & W. ita legendum monuerunt, ut dedi — *e regione Sileni e poro facti.* Ad ὑψηλȣ͂ R. addi voluit βάθρȣ vel ἰκρίȣ.

δὲ ἁπλῆς καὶ ἀκατάσκευος ἐν τοῖς λόγοις, ἀφελὴς τε καὶ ἀσχημάτιστος.

## Λυσίας γ'.

Λυσίας υἱὸς ἦν Κεφάλȣ τȣ͂ Λυσανίȣ τȣ͂ Κεφάλȣ, Συρακȣσίȣ μὲν γένος, μετανασάντος δ' εἰς Ἀθήνας ἐπιθυμίᾳ τε τῆς πόλεως, καὶ Περικλέȣς τȣ͂ Ξανθίππȣ πείσαντος αὐτὸν, φίλον ὄντα καὶ ξένον, πλȣ́τῳ διαφέρων [1]. ὡς δέ τινες, ἐκπεσόντα τῶν Συρακȣσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννȣ͂ντο· γενόμενος Ἀθήνῃσιν ἐπὶ Φιλοκλέȣς ἄρχοντος τȣ͂ μετὰ Φρασικλῆ [2], κατὰ τὸ δεύτερον ἔτος τῆς ὀγδοηκοστῆς (καὶ δευτέρας [3]) ὀλυμπιάδος, τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις Ἀθηναίων· ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν, τὴν ὕστερον Θȣρίȣς μετονομαθεῖσαν, ἔστελλεν ἡ πόλις, ᾤχετο σὺν τῷ πρεσβυτάτῳ ἀδελφῷ, Πολεμάρχῳ, (ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι δύο, Εὔδιδος [4] καὶ Βράχυλλος [5]) τȣ͂ πατρὸς ἤδη τετελευτηκότος, ὡς κοινωνήσων τȣ͂ κλήρȣ, ἔτη γεγονὼς πεντεκαίδεκα, ἐπὶ Πραξιτέλȣς ἄρχοντος, κἀκεῖ διέμεινε παιδευόμενος παρὰ Τισίᾳ καὶ Νικίᾳ, τοῖς Συρα-

1 Amiot. Mez. Taylor. Vit. Lys. p. 28. διαφέροντα. Idem fufp. R. & W. Deinde R. legi voluit ἐκπεσόντος, cum redeat ad Κεφάλȣ, ad patrem Lyfiae, ut γενόμενος vs. feq. ad Lyfiam.

2 Taylor. Φρασικλείδη. Vid. Meurs. Archont. Athen. II, 17. Etiam Simfon. ad A. M. 3545. & 46. notante R. in dubio relinquit, *Phrafícles*, an *Phrafíclides*, verum fit.

3 Uncis haec inclufi, ut delenda, Meurs. ita emendante l. c. & Attic. Lect. IV, 14. nec non Palmer. Taylor. R. & Kaltw.

4 Xyl. Ms. Εὔδιμος. Hinc Xyl. fufp. & vertit Εὔδημος. Amiot. & Mez. confentiunt. Taylor. e Platone (de rep. Vol. VI. p. 148.) corrigit Εὐθύδημος.

5 Ita in R. impreffum exhibetur hoc nomen, cum in aliis omnibus Βράχιλλος fit, quod W. reftituit. Per υ autem fcribendum cenfuit Xyl. e loco infra obvio, ubi quidem vitiofe legebatur Βράγχυλος. Confentit Taylor. quamvis moneat, non Lyfiae oratoris, fed Lyfiae Sophiftae fratrem fuiffe Brachyllum.

Συρακουσίοις, κλησάμενός τ' οἰκίαν καὶ κλήρῳ λαχὼν [1] ἐπολιτεύσατο, ἕως Κλεάρχου [2], τοῦ Ἀθήνησιν ἄρχοντος, ἔτη ἑξήκοντα τρία [3]. τῷ δὲ ἑξῆς Καλλίᾳ [4], Ὀλυμπιάδι ἐνενηκοστῇ δευτέρᾳ τῶν κατὰ Σικελίαν συμβάντων Ἀθηναίοις, καὶ κινήσεως γενομένης τῶν τ' ἄλλων συμμάχων, καὶ μάλιστα τῶν τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς ἀττικίζειν, ἐξέπεσε μετ' ἄλλων τριακοσίων [5]. παραγενόμενος δ' Ἀθήνησιν ἐπὶ Καλλίου, τοῦ μετὰ Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων τὴν πόλιν, διέτριβεν αὐτόθι. τῆς δ' ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γενομένης, καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν ἑπτὰ ἔτη μείνας [6], ἀφαιρεθεὶς τὴν οὐσίαν καὶ τὸν ἀδελφὸν Πολέμαρχον· αὐτὸς δὲ διαδρὰς ἐκ τῆς οἰκίας ἀμφιθύρου οὔσης, ἐν ᾗ ἐφυλάσσετο ὡς ἀπολούμενος, διῆγεν ἐν Μεγάροις. ἐπιθεμένων δὲ τῶν ἀπὸ Φυλῆς τῇ καθόδῳ, ἐπεὶ [7] χρησιμώτα-



1 Phot. κλήρου τυχών. W. & Taylor. probant. Turn. V. κλῆρον.

2 Mox dicitur *Cleocritus*. Ita legendum monuerunt Taylor. Vit. Lys. p. 34. Palmer. l. c. & Corsin. Fast. Att. T. III. p. 251. & ita nomen hujus Archontis exhibetur in Indic. Archontum apud Simson. A. M. 3592, 93. Consentiunt R. W. & Kaltw. Cf. Meurs. Arch. Ath. L. III. c. 9. & ejd. Attic. Lect. IV, 14.

3 R. susp. ἔτη τριάκοντα δύο; W. autem ἔτη ἔχων τριάκοντα τρία. Kaltw. monente, si ratio aetatis sit habenda, numerus valet 46; sin autem temporis, quo Thuriis vixerit, anni sunt 32. Dionys. Halic. in *Lysia* aetatem ejus exhibet: ἕβδομον καὶ τεσσαρακοστὸν ἔτος ἔχων.

4 aliquid deesse videri, Xyl. monuit. W. legi vult ἐπὶ Καλλίου.

5 Ita Xyl. ex Dionys. Halic. legendum monuit vertitque. Consentit Meurs. Arch. Ath. III, 10. & Attic. Lect. IV, 15. Dedi pro vulg. τριῶν. Taylor. p. 35. vult μετ' ἀδελφῶν τριῶν. At non nisi cum uno fratre, natu majore, Thurios petierat.

6 Turn. V. Bong. μεῖναι; a Petav. Ald. Bas. prorsus abest. Hinc Xyl. verterat: ad annos septem relegatus est.

7 W. susp. εἶτα.

μώτατος ἁπάντων ὤφθη, χρήματα τε παρασχὼν δραχμὰς δισχιλίας καὶ ἀσπίδας διακοσίας, πεμφθεὶς δὲ [1] σὺν Ἑρμᾶνι [2] ἐπικέρας ἐμισθώσατο τριακοσίας, δύο τε ἔπεισε [3] τάλαντα δᾶναι Θρασύλλαιον [4] τὸν Ἠλεῖον, ξένον αὐτῷ γεγονότα. ἐφ' οἷς [5] γράψαντος αὐτῷ Θρασυβέλε πολιτείαν μετὰ τὴν κάθοδον ἐπ' ἀναρχίας τῆς πρὸ Εὐκλείδε, ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεὰν, ἀπενεγκαμένε δ' Ἀρχίνε γραφὴν παρανόμων διὰ τὸ ἀπροβέλευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα· καὶ ἕτως ἀπελαθεὶς τῆς πολιτείας, τὸν λοιπὸν ᾤκησε χρόνον ἰσοτελὴς ὢν, καὶ ἐτελεύτησεν αὐτόθι ὀγδοήκοντα τρία ἔτη βιὰς, ἢ, ὥς τινες, ἓξ καὶ ἑβδομήκοντα, ἢ, ὥς τινες, ὑπὲρ ὀγδοήκοντα, ἰδὼν Δημοσθένην μειράκιον ὄντα. γεννηθῆναι δὲ φασὶν ἐπὶ Φιλοκλέες ἄρχοντος. Φέρονται δ' αὐτᾶ λόγοι τετρακόσιοι εἰκοσιπέντε· τέτων γνησίες φασὶν οἱ περὶ Διονύσιον καὶ Καικίλιον εἶναι διακοσίες τριάκοντα, ἐν οἷς δὶς μόνον ἡττῆσθαι [6] λέγεται. ἔςι δ' αὐτᾶ καὶ ὃν ὑπὲρ τᾶ ψηφίσματος ἐγράψατο Ἀρχῖνος, τὴν πολιτείαν αὐτῷ περιέχων [7], καὶ κατὰ τῶν τριάκοντα ἕτερος. ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτα-

1 Petav. πεμφθεὶς τε.

2 Phot. Ἕρμωνι.

3 Secutus fum in his W. Vulgo τριακοσίες δύο· ἔπεισέ τε. R. cum Taylor. p. 48. legi voluit τριακοσίες, καὶ δύο ἔπεισε τάλ. item Mez.

4 Phot. Θρασύδαιον. Etiam, ut R. monet, Palmer. l. c. hunc a Xenophonte Θρασυδαῖον appellari notavit.

5 R. judice, deberet effe ἐπὶ τέτοις, cum oratio, ab ἐπεὶ dependens, nondum perfecta fit.

6 Petav. ἡττηθῆναι.

7 R. fufp. ἔςι δ' αὐτᾶ καὶ ὁ ὑπὲρ τᾶ ψηφίσματος, ὃ ἐγράψατο Ἀρχῖνος, τὴν πολιτείαν αὐτᾶ περιελών. Sic fere quoque Taylor. p. 51. W. autem legendum cenfet & vertendo exprimit: εἰσὶ δὲ ἔτοι καὶ ὁ ὑπὲρ τᾶ ψηφίσματος ὃ ἐγρ. Ἀ. τ. π. αὐ. περιελών.

χύτατος, τοῖς ἰδιώταις τοῖς πολλοῖς λόγους ἐνδοὺς [1]. εἰσὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι, καὶ δημηγορία [2], ἐπιστολαί τε καὶ ἐγκώμια, καὶ ἐπιτάφιοι, καὶ ἐρωτικοὶ, καὶ Σωκράτους [3] ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. δοκεῖ δὲ κατὰ τὴν λέξιν εὔκολος εἶναι, δυσμίμητος ὤν. Δημοσθένης δ' ἐν τῷ κατὰ Νεαίρας λόγῳ ἐραστὴν αὐτόν φησι γεγονέναι Μετανείρας, ὁμοδούλου τῇ Νεαίρᾳ· ὕστερον δ' ἔγημε Βραχύλλου [4] τοῦ ἀδελφοῦ θυγατέρα. μνημονεύει δ' αὐτοῦ καὶ Πλάτων ἐν τῷ Φαίδρῳ ὡς δεινοτάτου εἰπεῖν καὶ Ἰσοκράτους πρεσβυτέρου. ἐποίησε δὲ καὶ εἰς αὐτὸν ἐπίγραμμα Φιλίσκος, ὁ Ἰσοκράτους μὲν γνώριμος, ἑταῖρος δὲ Λυσίου, δι' οὗ φανερὸν ὡς προέλαβε τοῖς ἔτεσι [5], καὶ ἐκ τῶν ὑπὸ Πλάτωνος εἰρημένων ἀποδείκνυται· ἔχει δὲ οὕτως·

Ὦ Καλλίπης θύγατερ [6], πολυηγόρου, φροντίδι δείξεις,
Εἴ τι φρονεῖς, καί τι περισσὸν ἔχεις.

P 5 Τὸν

1 R. susp. καὶ τρανώτατος τοῖς ἰδιώταις, οἷς τοὺς πολλοὺς λόγους ἐνδοὺς ἀπέζη.

2 R susp. πεποιημέναι ἐπὶ δημηγορίᾳ, eo conscriptae & cum studio elaboratae, ut publice iis usus esset dicentibus in concione.

3 Vulgo abest καὶ ante Σωκρ. Id exhibet Petav. & dedi cum W. idem ex E. fomente.

4 Dedi hoc nomen, quale supra legitur pro vulg. Βραγχύλου. Petav. Βραγχύλλου Etiam W. scripsit Βραχίλλου ex E. & Mez.

5 Bas. ἔθεσι. Hinc Xyl. locum corruptum esse, & e Ms. ἔτεσι legendum monuit. R. legi voluit ἔτεσιν, ὃ καὶ.

6 In his versibus emendandis plures varie laborarunt. Salmas. primum jubebat in vocabulo φρόντι (sic exaraverat) finire, & secundum a δείξεις incipere. Vs carm. 3, scribebat τῷ γὰρ — μεθαρμοσθέντι; vs. 5. Λυσίᾳ ὕμνον; & vs. ult. ὄντα καταφθιμένῳ. Xyl. ad primum versum notat, esse eum vitiosum, ὦ abundante, & fine deficiente, nisi δείξεις repetatur, in reliquis de suo ingenio sensum aliquem proferens. Ratio emendandi, quae Marklando placuit, exstat p. 60. Vit. Lys. a Tayloro

Τὸν γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοθέντα καὶ ἄλλοις
'Εν κόσμοισι βίᴕ σῶμα λαβόνθ' ἕτερον,
Δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα Λυσιδάϊμνον,
Δόντα καταφθίμενον καὶ σοφῷ ἀθάνατον·
Ὅς τότ' ἐμῆς ψυχῆς δεῖξαι φιλέταιρον ἅπασι,
Καὶ τὴν τᴕ̃ φθιμένᴕ πᾶσι βροτοῖς ἀρετήν.

συνέγραψε δὲ λόγον καὶ Ἰφικράτει [1], τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ, προδοσίας κρίνοντι [2] Τιμόθεον. καὶ ἀμφοτέρᴕς [3] ἐνίκα· ἀναδεξαμένᴕ [4] δ' Ἰφικράτᴕς τὰς τᴕ̃ Τιμοθέᴕ πράξεις, ταῖς εὐθύναις ἀναλαβὼν [5] τὴν τῆς

loro allata. Suadet ille statim initio Καλλιόπης θύγατερ, eoque Musam suam significasse poëtam credit. Supplet idem v. 2. πινυτὸν post φρονεῖς; & vs. 5. cum Salmas. consentit. R susp. poëtae Philisci matrem Callippen fuisse dictam, & sic constituit versum: ὦ Καλλίππης παῖ πολυήγορε, id est, *o Philisce.* Virum compellari a poëta, non foeminam, colligit e vs. 6. ubi δόντα ait, pro quo, nisi ad ὕμνον referatur, δᴕ̃σαν legi oporteret, si Musam alloqueretur. Vs. 2. suppleri quoque posse ἐτεὸν monet; vs. 4. tuetur ἐν κόσμοισι βίᴕ, quod idem valeat atque ἐν βίοις; vs. 5. probat Λυσίᾳ ὕμνον; vs. 6. susp. δόντα καταφθιμένῳ τι κλέος ἀθάνατον. Petav. dat καταφθιμένων. W. judice, non in Lysiam, sed Lysidem, Pythagoreum, scriptum est hoc Epigramma. Ceterum ita constituendum ei videtur: Εἰ δ' ἄγε Καλλιόπης θύγατερ, πολυήγορε φρόντι Δεῖξεις, εἴ τι φρονεῖς, καί τι περισσὸν ἔχεις Τῷ γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντι καὶ ἄλλοις Ἐν κόσμοισι βίᴕ σῶμα λαβόνθ' ἕτερον, Δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα Λύσιδι ὕμνον, Ζῶντι κατὰ φθιμένων καὶ σοφῷ, ἀθάνατον, Ὅς τό τ' ἐμῆς ψυχῆς δεῖξαι φιλέταιρον ἄπαυστον. Καὶ τὴν τᴕ̃ φθιμένᴕ πᾶσι βροτοῖς ἀρετήν. Conf. porro Toup. Em. Suid. II. p. 194. Lennep. ad Phalar. p. 273.

1 R. judice, excidisse videtur διττόν.

2 Ita Taylor. legendum monuit, dedique, W. probante pro vulg. κρίνων. E Petav. notatur κρίνον.

3 R. suadet ἀμφοτέροις, nisi malis τᴕ̀ς ἀγῶνας subaudire.

4 R. susp. ἀναλεξαμένᴕ, *recensente, enarrante.* Mox sequens τᴕ̃ abest a Petav.

5 R. susp. ἀντιλαβὼν, *vicissim sibi impactam ferens accusationem proditionis.*

τῆς προδοσίας αἰτίαν, ἀπολογεῖται διὰ τȣ̃ Λυσίȣ λόγȣ. καὶ αὐτὸς μὲν ἀπελύθη, ὁ δὲ Τιμόθεος ἐζημιώθη πλείϛοις χρήμασιν. ἀνέγνω δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει λόγον μέγιϛον [1], διαλλαγέντας τȣ̀ς Ἕλληνας καταλῦσαι Διονύσιον.

## Ἰσοκράτης δ'.

Ἰσοκράτης Θεοδώρȣ μὲν ἦν παῖς, τȣ̃ Ἐρχιέως [2], τῶν μετρίων πολιτῶν, θεράποντας αὐλοποιȣ̀ς κεκτημένȣ, καὶ εὐπορήσαντος ἀπὸ τȣ́των, ὡς καὶ χορηγῆσαι καὶ παιδεῦσαι τȣ̀ς υἱȣ́ς· ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι, Τελέσιππος καὶ Διόμνηϛος· ἦν δὲ καὶ θυγάτριον· ὅθεν εἰς τȣ̀ς αὐλȣ̀ς κεκωμῴδηται ὑπ' Ἀριϛοφάνȣς καὶ Στράτιδος. γενόμενος δὲ κατὰ τὴν ὀγδοηκοϛὴν ἕκτην ὀλυμπιάδα ἐπὶ Λυσιμάχȣ [3] Μυῤῥινȣσίȣ, Λυσίȣ μὲν νεώτερος δύο καὶ εἴκοσιν ἔτεσι [4], πρεσβύτερος δὲ Πλάτωνος ἑπ]ὰ, παῖς

1 R. susp. κάλλιϛον ἐπὶ τῷ διαλλ. aut κάλλιϛον, ἐν ᾧ σπȣδάζει πεῖσαι.

2 Vulgo male legitur τȣ̃ ἀρχιερέως. Xyl. correxit vertitque Ἐρεχθιέως, duce Steph. Byz. in v. Ἐρεχθία. Phot. exhibet Ἐρχιέως, quod R. inde legendum monuit. Idem haud dubie e Turn. & V. notatum videtur, indice Var. Frft. vitiose exhibente ἀρχιέως. Teste Hesych. Ἐρχεία, (vel, ut est apud Suidam Ἐρχία) fuit populus Atticae. Cf. ibid. quae in adnotatione leguntur, ubi commendatur Ἐρχιέως, non Ἐρεχθιέως, cum pessime & contra seriem apud Steph. legatur Ἐρεχθία. W. aut cum Phot. Ἐρχιέως legi voluit, aut potius Ἐρεχθιέως cum Xyl. e Steph.

3 Turn. V. Λυσίȣ.

4 Vulgo absunt Λυσίȣ μὲν νεώτερος.. Excidisse quaedam hic loci, Xyl. jam monuit, ita legendum suspicans: Λυσιμάχȣ Μυῤῥινȣσίȣ ἄρχοντος Ἀθήνησι, Λυσίȣ μὲν ἦν νεώτερος. Ita quoque Palmer. Exerc. p. 227. R. ἕκτην ἐπ' ἄρχοντος Λυσιμάχȣ τȣ̃ Μυῤῥινȣσίȣ, Λυσίȣ μὲν νεώτερος, vel νεώτερος μὲν Λυσίȣ, δύο κ. εἴ. ἔ. nec non vertit Hieron. Wolf. *praetere Athenis Lysimacho Myrrhinusio, Lysia natu minor annis duobus & viginti.*

παῖς μὲν ὢν ἐπαιδεύετο ὐδενὸς ἧττον Ἀθηναίων, ἀκροώμενος Προδίκυ τε τῦ Κεἰυ [1], καὶ Γοργίυ τῦ Λεοντίνυ, καὶ Τισίυ τῦ Συρακυσίυ, καὶ Θηραμένυς τῦ ῥήτορος· ὗ καὶ συλλαμβανομένυ ὑπὸ τῶν τριάκοντα, καὶ Φυγόντος ἐπὶ τὴν Βυλαίαν Ἑςίαν, ἁπάντων καταπεπληγμένων, μόνος ἀνέςη βοηθήσων, καὶ πολὺν χρόνον ἐσίγησε κατ' ἀρχὰς, ἔπειτα ὑπ' αὐτῦ παρῃτήθη, εἰπόντος, ὀδυνηρότερον αὐτῷ συμβήσεσθαι, εἴ τις τῶν Φίλων ἀπολαύσει τῆς [2] συμΦορᾶς· καὶ ἐκείνυ τινὰς ὔσας τέχνας αὐτῷ Φασὶ συμπραγματεύσασθαι, ἡνίκα ἐν τοῖς δικαςηρίοις ἐσυκοΦαντεῖτο, αἵ εἰσιν ἐπιγεγραμμέναι Βότωνος [3]. ἐπεὶ δ' ἠνδρώθη, τῶν μὲν πολιτικῶν πραγμάτων ἀπέχετο, ἰσχνόΦωνός τ' ὢν, καὶ εὐλαβὴς τὸν τρόπον, καὶ τὰ πατρῷα ἀποβεβληκὼς ἐν τῷ πρὸς Λακεδαιμονίυς πολέμῳ· ἄλλοις δὲ μεμελετηκὼς [4] Φαίνεται, ἕνα δὲ μόνον εἰπὼν [5] λόγον, τὸν περὶ τῆς Ἀντιδόσεως. διατριβὴν δὲ συςησάμενος, ἐπὶ τὸ ΦιλοσοΦεῖν καὶ γράΦειν διανοηθεὶς [6] ἐτράπετο, καὶ

pinti. — W. judice ad rei veritatem probabiliter. Ita certe Dionyf. Halic. in vit. Ifocr. refert. Cf. Meurs. Arch. Athen. III, 2. In edit. orationum Ifocrat. perantiqua, a Petro Brubachio Francof. 1540. curata, praemiffa eft haec ipfa vita. Impreffam ibi legi vocem νεώτερος, fubjecta in fine adnotatione, poft Μυῤῥινυσίυ deeffe quaedam. Hoc ipfum me movit, ut reliqua fuppiere minus dubitarem, praemiffa fimul praepofitione ἐπὶ ante Λυσιμ.

1 Ita fcribendum monuit Xyl. Confentiunt Salmas. & R. deinque e Turn. & V. pro vulg. Κίυ.

2 R. fufp. τῆς αὐτῦ συμΦ. Turn. V. ἀπολαύσειε.

3 Xylandro nomen hoc fufpectum. Salmas. fufp. Βάτωνος. Petav. dat Κότωνος. Ricard. *Botonem* intelligit, qui, Diog. Laërt. IX, 2. 2. tefte, praeceptor fuit Xenophanis philofophi.

4 Vulgo μεμαρτυρηκὼς, de qua voce Hier. Wolf. dubius fuit, an genuina fit, aut quomodo interpretanda. Xyl. legit μεμελετηκὼς, quod dedi.

5 Xyl. mavult εἰπεῖν.

6 Xyl. judice poteft ferri: mavult tamen cum Wolf. ἃ διενοήθη

καὶ τόν τε πανηγυρικὸν λόγον, καί τινας ἄλλους τῶν συμβουλευτικῶν, οὓς μὲν αὐτὸς γράφων ἀνεγίνωσκεν, οὓς δὲ ἑτέροις παρεσκεύαζεν, ἡγούμενος οὕτως ἐπὶ τὸ τὰ δέοντα φρονεῖν τοὺς Ἕλληνας προτρέψασθαι. διαμαρτάνων δὲ τῆς προαιρέσεως, τούτων μὲν ἀπέστη, σχολῆς δὲ ἡγεῖτο, ὥς τινές φασι, πρῶτον ἐπὶ Χίου, μαθητὰς ἔχων ἐννέα· ὅτε καὶ ἰδὼν τὸν μισθὸν ἀριθμούμενον, εἶπε δακρύσας· Ὡς ἐπέγνων ἐμαυτὸν νῦν τούτοις πεπραμένον [1]. ὡμίλει δὲ τοῖς βουλομένοις, χωρίσας πρῶτος τοὺς ἐριστικοὺς λόγους τῶν πολιτικῶν, περὶ οὓς ἐσπούδασε. καὶ ἀρχὰς δὲ καὶ [2] περὶ τὴν Χῖον κατέστησε, καὶ τὴν αὐτὴν [3] τῇ πατρίδι πολιτείαν· ἀργύριόν [4] τε ὅσον οὐδεὶς σοφιστῶν εὐπόρησεν, ὡς καὶ τριηραρχῆσαι. ἀκροαταὶ δ' αὐτοῦ ἐγένοντο εἰς ἑκατὸν, ἄλλοι τε πολλοὶ, καὶ Τιμόθεος ὁ Κόνωνος, σὺν ᾧ καὶ πολλὰς πόλεις ἐπῆλθε [5], συντιθεὶς τὰς πρὸς Ἀθηναίους ὑπὸ Τιμοθέου πεμπομένας ἐπιστολάς· ὅθεν ἐδωρήσατο αὐτῷ τάλαντον τῶν ἀπὸ Σάμου περιγενομένων. ἐμαθήτευσε δ' αὐτῷ καὶ Θεόπομπος ὁ Χῖος, καὶ Ἔφορος ὁ Κυμαῖος, καὶ Ἀσκληπιάδης, ὁ τὰ τραγῳδούμενα συγγράψας, καὶ Θεοδέκτης ὁ Φασηλίτης, ὁ τὰς τραγῳδίας ὕστερον γράψας, οὗ ἐστι τὸ μνῆμα ἐπὶ τὴν Κυαμῖτιν πορευο-

θη e Dion. Halic. Dicendi formulam διατρ. συστσ. hic ipse vertendo exprimit *privata exercitatione instituta*; Xyl. autem: *cum scholam instituisset.*

1 R. nescio unde legisse videtur πεπραγμένον, & ita expressum est in ejus edit. cum subjuncta nota, legendum esse πεπραμένον, aut potius πεπρακώς.

2 Loco hujus καὶ R. mavult τάς.

3 Ita R. dandum monuit pro vulg. τὴν αὐτῇ — *eandem regiminis civilis formam, qua ejus patria, Athenae, utebantur, in usum mittebat apud Chium*, dedique e Turn. V. Petav. cum W. adsentientibus E. Anon. Mez. Legitur idem jam impressum in edit. Frft. supra citata, & in adnot. Wolf.

4 Turn. V. Petav. ἀργυρίου τε. Notat quoque Wolf. εὐπορεῖν frequentius jungi cum genit.

5 Petav. εἰσῆλθε.

ῥευομένοις, κατὰ τὴν ἱερὰν ὁδὸν τὴν ἐπ' Ἐλευσῖνα, τανῦν κατερηρειμμένον· ἔνθα καὶ τὰς ἐνδόξους τῶν ποιητῶν ἀνέστησε σὺν αὐτῷ, ὧν Ὅμηρος ὁ ποιητὴς σώζεται μόνος· Λεώδαμός τ' Ἀθηναῖος, καὶ Λάκριτος ὁ νομοθέτης Ἀθηναίοις [1]· ὡς δέ τινές φασι, καὶ Ὑπερείδης, καὶ Ἰσαῖος. καὶ Δημοσθένην δὲ ἔτι [2] ῥητορεύοντι φασὶ μετὰ σπουδῆς προσελθεῖν αὐτῷ, καὶ χιλίας μὲν, ἃς μόνας [3] εἰσεπράττετο, οὐκ ἔχειν φάναι παρασχεῖν, διακοσίας δὲ δώσειν, ἐφ' ᾧ τε [4] τὸ πέμπτον μέρος ἐκμάθῃ [5]. τὸν δ' ἀποκρίνασθαι, ὡς οὐ τεμαχίζομεν, ὦ Δημόσθενες, τὴν πραγματείαν· ὥσπερ δὲ τοὺς καλοὺς ἰχθῦς ὅλους πωλοῦμεν, οὕτω κἀγώ σοι, εἰ βούλοιο μαθητεύειν, ὁλόκληρον ἀποδώσομαι τὴν τέχνην. ἐτελεύτα δὲ [6] ἐπὶ Χαιρώνδου [7] ἄρχοντος, ἀπαγγελθέντων τῶν [8] περὶ Χαιρώνειαν ἐν τῇ

1 Xyl. R. W. malunt νομοθετήσας. Ita explicandam esse dictionem, monet Wolf. & tuetur constructionem ex usu aliorum, quo verbalia nomina saepius, non minus quam participia, suorum verborum constructionem imitentur; simul νομοθέτης de certo genere magistratuum intelligit, non proprie sic dictum legislatorem. W. notat, Lacriti nomen nec cognitum satis nec hoc loco certum esse, habere tamen etiam Photium.

2 Vulgo Δημοσθένης τε ἔτι. R. pro τε legendum monuit δὲ, quod Turn. V. & Petav. exhibent. Simul e Turn. & V. notatur Δημοσθένην, quod dedi praeeunte edit. Frft. supra cit. & annotatione Wolf. cui simul post ἔτι comma ponendum videtur, ut καὶ δ' ἔτι sit *quin etiam praeter hos*. In W. legitur Δημοσθένη δὲ ex E.

3 Xyl. quaerit, num legendum χιλίας μὲν μνᾶς, ἃς εἰσεπρ. Wolf. mavult μόνας aut transponi post διακοσίας δὲ, aut mutandum in τοὺς μαθητάς. Idem W. sentit. Posterius arridet R.

4 Wolf. explicante, ἐφ' ᾧ τε idem valet ac ἵνα, ut.

5 Salmas. ἐκμαθεῖν.

6 abest δὲ a Petav.

7 Dedi sic e correctione Meurs. Arch. Athen. IV. c. 11. pro vulg. Χαιρωνίδου. Ms. Xyl. & Petav. Χερωνίδου; Ita quoque ed. Frft. l. c.

8 R. ante τῶν inseri mavult γὰρ, & deinde ἐξήγγειλεν.

ἐν τῇ Ἱπποκράτους παλαίστρᾳ πυθόμενος, ἐξαγαγὼν αὐτὸν τοῦ βίου τέτρασιν ἡμέραις διὰ τοῦ σιτίαν [1] ἀποσχέσθαι, προειπὼν τρεῖς ἀρχὰς δραμάτων Εὐριπίδου.

Δαναὸς, ὁ πεντήκοντα θυγατέρων πατήρ·
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολών·
Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών·

ὀκτὼ καὶ ἐνενήκοντα ἔτη βιοὺς, ἢ (ὥς τινες) ἑκατὸν, οὐχ ὑπομείνας τετράκις ἰδεῖν [2] τὴν Ἑλλάδα καταδουλουμένην· πρὸ ἐνιαυτοῦ, ἢ (ὥς τινες) πρὸ τεσσάρων ἐτῶν [3] τῆς τελευτῆς συγγράψας τὸν Παναθηναϊκόν. τὸν δὲ πανηγυρικὸν ἔτεσι δέκα συνέθηκεν, οἱ δὲ δεκαπέντε λέγουσιν, ὃν μετενηνοχέναι ἐκ τοῦ [4] Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου· τὸν δὲ περὶ τῆς Ἀντιδόσεως, δύο καὶ ὀγδοήκοντα ἔτη γεγονώς· τοὺς δὲ [5] πρὸς Φίλιππον, ὀλίγῳ πρότερον τοῦ θανάτου. ἐγένετο δ' αὐτῷ καὶ παῖς Ἀφαρεὺς πρεσβύτῃ ὄντι, ἐκ Πλαθάνης τῆς Ἱππίου [6] τοῦ ῥήτορος ποιητὸς, τῶν δὲ τῆς γυναικὸς τριῶν παίδων ὁ νεώτατος [7]. εὐπόρησεν ἱκανῶς, οὐ μόνον ἀργύριον εἰσπράττων τοὺς γνωρίμους, ἀλλὰ καὶ τὰ παρὰ Νικοκλέους τοῦ Κυπρίων βασιλέως, ὃς ἦν υἱὸς Εὐαγόρου, εἴκοσι τάλαντα λαβὼν ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος λόγου·

ἐφ'

1 Petav. ἀπὸ τοῦ σιτίου.

2 Wolf. quidem aliquo modo haec expedire ſtudet, nec tamen ſibi ipſe ſatisfacit. R. judice, recte dictum foret τὸ τέταρτον, cum Philippus quartus Athenarum tyrannus a Piſiſtratidis inde fuerit. W. notat, etiam Photium habere τετράκις; tamen ei diſplicet, & mavult vel deleri vel mutari in γεγηρακώς.

3 Sic Turn. & V. dedique cum W. adſentientibus Anon. & Wolf & praeeunte ed. Frft. ſ. c. Vulgo τῶν.

4 R. mavult ἐκ τῶν Γ.

5 Xyl. legendum ſuſp. τὸν δέ.

6 Subaudiendum monet Wolf. θυγατρὸς, non γυναικὸς, cum infra occurrat: Ἀφαρεὺς καὶ ὁ τούτου πατὴρ Θεόδωρος.

7 Interpungendum hic loci monuerunt Wolf. & R. cum vulgo ſequentia plane cohaererent cum antecedentibus. Inferendum porro cenſuit R. ὧν poſt παίδων.

ἐφ' οἷς φθονηθεὶς τρὶς προσεβλήθη τριήραρχος [1], καί τοι δὶς μὲν ἀσθένειαν σκηψάμενος, διὰ τοῦ παιδὸς παρῃτήσατο, τὸ δὲ τρίτον ἀνασὰς, ἀνήλωσεν ἐκ ὀλίγα. πρὸς δὲ [2] τὸν εἰπόντα πατέρα, ὡς ἐδὲν, ἀλλ' ἢ ἀνδράποδον, συνέπεμψε τῷ παιδίῳ· Τοιγαροῦν (ἔφη) ἄπιθι· δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. ἠγωνίσατο δὲ καὶ τὸν ἐπὶ Μαυσώλῳ τεθέντα ὑπ' Ἀρτεμισίας ἀγῶνα· τὸ δ' ἐγκώμιον ἐ σώζεται. ἐποίησε δὲ καὶ εἰς Ἑλένην ἐγκώμιον, καὶ Ἀρεοπαγιτικόν. ἐξελθεῖν δὲ τοῦ βίου οἱ μὲν ἐναταῖόν φασι σίτων ἀποσχόμενον, οἱ δὲ τεταρταῖον, ἅμα ταῖς ταφαῖς τῶν ἐν Χαιρωνείᾳ πεσόντων. συνέγραψε δ' αὐτοῦ καὶ ὁ παῖς Ἀφαρεὺς λόγους [3]. ἐτάφη δὲ μετὰ τῆς συγγενείας, πλησίον [4] Κυνοσάργους ἐπὶ τοῦ λόφου ἐν [5] ἀριστερᾷ, ὁ υἱός τε [6], καὶ ὁ πατὴρ αὐτοῦ, Θεόδωρος, καὶ ἡ μήτηρ αὐτοῦ· ταύτης τ' ἀδελφὴ, τηθὶς τοῦ ῥήτορος, Ἀνακώ· καὶ ὁ ποιητὸς υἱὸς Ἀφαρεύς· καὶ ὁ ἀνεψιὸς αὐτοῦ Σωκράτης, μητρὸς

1 Vulgo τριήρας; Ed. Frft. f. c. τριήρεις. Hinc Wolf. aut verbum παρέχειν, vel fimile quid deesse notat, aut τριήραρχος esse legendum. Idem fusp. Brubach. in ed. Frft. & notatur e Turn. & V. Aliis, Salmas. nimirum Xyl. & R. placuit τριηραρχεῖν. Dedi porro καί τοι pro vulg. καὶ τὸ e Turn. V. & ed. Frft. f. c. W. cum Mez. delendum cenfuit τό.

2 Haec usque ad ἀνδράποδα aliunde irrepfisse fusp. Brubach. Etiam in feqq. de oratione in Maufolum R. confundi hic Ifocratem Athenienfem cum Apolloniata notat.

3 R. dubius est, num legendum συνέγραψε δὲ αὐτῷ ὁ παῖς Ἀφαρεὺς ἐπιτάφιον λόγον, an συνέγραψε δ' ἐπ' ὀνόματι αὐτοῦ καὶ ὁ παῖς Ἀφαρεὺς λόγους. Pofterius tamen praefert.

4 Vulgo πλησίον δέ. Hinc R. deleto δὲ voluit πλησίον τοῦ K. Secutus fum W. ita ex E. dantem.

5 Vulgo abeft ἐν. Recepi id e Turn. & V. accedente Anon. cum W.

6 R. mavult αὐτός τε, & ipfe Ifocrates. W. judice, infititium videtur. Xyl. omifit vertendo.

μητρὸς Ἰσοκράτους ἀδελφῆς Ἀνακοῦς [1] ὤν· ὅ τ' ἀδελφὸς αὐτοῦ [2] ὁμώνυμος τοῦ πατρὸς Θεόδωρος, καὶ οἱ υἱωνοὶ [3] τοῦ ποιηθέντος αὐτῷ παιδὸς Ἀφαρέως, Ἀφαρεὺς, καὶ ὁ τούτου πατὴρ Θεόδωρος, ἥ τε γυνὴ Πλαθάνη, μήτηρ δὲ τοῦ ποιητοῦ Ἀφαρέως. ἐπὶ μὲν οὖν [4] τούτων τράπεζαι ἐπῆσαν ἕξ, αἳ νῦν οὐ σώζονται. αὐτῷ δ' Ἰσοκράτει ἐπὶ τοῦ μνήματος ἐπῆν κιὼν [5] τριάκοντα πηχῶν, ἐφ' οὗ σειρὴν πηχῶν ἑπτὰ συμβολικῶς, ὃς νῦν οὐ [6] σώζεται. ἦν δὲ καὶ αὐτοῦ τράπεζα πλησίον, ἔχουσα ποιητάς τε καὶ τοὺς διδασκάλους αὐτοῦ, ἐν οἷς καὶ Γοργίαν εἰς σφαῖραν ἀστρολογικὴν βλέποντα, αὐτόν τε τὸν Ἰσοκράτην παρεστῶτα. ἀνάκειται δ' αὐτοῦ καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ, ἔμπροσθεν τοῦ προστῴου, ὑπὸ Τιμοθέου τοῦ Κόνωνος, καὶ ἐπιγέγραπται·

Τιμόθεος φιλίας τε χάριν, ξενίην τε [7] προτιμῶν
Ἰσοκράτους εἰκὼ τήνδ' ἀνέθηκε θεαῖς [8].

Λεω-

1 Post Ἀνακοῦς Turn. & V. inferunt υἱός: idemque Petav. voluisse videtur, qui dat corrupte Ἀνακέσιος. In ed. Frft. f. c. est Ἀνακοῦς υἱὸς absque ὤν; & in adnot. Brubachius pro ἀνακέσιος ὢν legendum monet Ἀνακοῦς υἱός.

2 Secutus fum W. ita e Wolf. & Auger. nuperrimo Isocratis editore reponentem pro vulg. ἀδελφὸς αὐτῷ.

3 R. mavult καὶ ὁ υἱωνὸς τ. π. W. legendum monet καὶ οἱ υἱωνοὶ αὐτοῦ, τοῦ ποιηθέντος αὐτῷ παῖδες Ἀφαρέως, ἥ τε γυνὴ Πλ. Ita conjecisse partim Wolf. & Auger. addit, nec non in E. lacunam esse inter Ἀφαρεὺς & καὶ ὁ, certius corruptelae indicium.

4 abest οὖν a Petav. τράπεζαι, R. docente, funt longae & latae tabulae, feu ligneae, feu marmoreae, appenfae e parietibus cum infcriptione aut imaginibus pictis.

5 Ita exhibet ed. Frft. f. c. & notatur e Turn. & V. dedique cum W. accedentibus Anon. & Wolf. nec non eodem ducente Petav. κριῶν. Probat idem Kaltw. & vertit Ricard. Vulgo κριός.

6 abest οὐ ab ed. Frft. f. c. Wolf. id defiderat.

7 Salmas. & W. e Phot. afferunt σύνεσίν τε.

8 Salmas. e Photio notat θεῷ.

Λεωχάρες [1] ἔργον. Φέρονται δ' αὐτῦ λόγοι ἑξήκοντα, ὧν εἰσι γνήσιοι, κατὰ μὲν Διονύσιον εἰκοσιπέντε, κατὰ δὲ Καικίλιον εἰκοσιοκτώ, οἱ δὲ ἄλλοι κατεψευσμένοι. εἶχε δ' ἀλλοτρίως πρὸς ἐπίδειξιν· ὡς [2] ἀφικομένων ποτὲ πρὸς αὐτὸν τριῶν ἐπὶ τὴν ἀκρόασιν, τὰς μὲν δύο κατασχεῖν, τὸν δὲ τρίτον ἀπολῦσαι, φάμενος, εἰς τὴν ἐπιῦσαν ἥξειν· νῦν γὰρ αὐτῷ τὸ θέατρον εἶναι ἐν ἀκροατηρίῳ [3]. εἰώθει δὲ καὶ πρὸς τὰς γνωρίμας αὐτῦ λέγειν, ὡς αὐτὸς μὲν δέκα μνῶν [4] διδάσκοι, τῷ δ' αὐτὸν διδάξαντι τόλμαν καὶ εὐφωνίαν δώσειν δεκακισχιλίας. καὶ πρὸς τὸν ἐρόμενον, διότι ὲκ ὢν αὐτὸς ἱκανὸς, ἄλλας ποιεῖ, εἶπεν, ὅτι καὶ αἱ ἀκόναι αὐταὶ μὲν τεμεῖν ὰ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιῦσιν. εἰσὶ δ', οἳ καὶ τέχνας αὐτὸν λέγυσι συγγεγραφέναι· οἱ δ' ὰ μεθόδῳ, ἀλλ' ἀσκήσει χρήσασθαι. πολίτην δ' ὰδέποτ' εἰσέπραξε μιθόν [5]. προσέταττε δὲ τοῖς γνωρίμοις εἰς τὰς ἐκκλησίας ἀπαντῶσιν, ἀναφέρειν αὐτῷ τὰ εἰρημένα. ἐλυπήθη δὲ καὶ ὰ μετρίως ἐπὶ τῷ Σωκράτες θανάτῳ, καὶ μελανειμονῶν τῇ ὑςεραίᾳ προῆλθε. πάλιν δ' ἐρομένε τινὸς αὐτὸν, τί ῥητορικὴ, εἶπε· Τὰ μὲν μικρὰ, μεγάλα, τὰ δὲ μεγάλα, μικρὰ ποιεῖν. ἑςιώμενος δέ ποτε παρὰ Νικοκρέοντι, τῷ Κύπρε τυράννῳ, προτρεπομένων αὐτὸν τῶν παρόντων διαλεχθῆναι, ἔφη· Οἷς μὲν ἐγὼ δεινὸς, ὰχ ὁ νῦν καιρὸς, οἷς δὲ ὁ νῦν καιρὸς, ὰκ ἐγὼ δεινός. Σοφοκλέα δὲ, τὸν τραγικὸν, θεασάμε-

1 Rectius putat R. Λεωχάρες, quam Κλεωχάρες Photii.

2 Turn. V. ὥςε pro ὡς.

3 Ita Wolf. Mez. Salmas. legendum monuerunt, & vertit Xyl. dedique R. & W. probantibus pro vulg. ἀκρωτηρίῳ.

4 Wolf. mavult ὡς αὐτὸς μὲν χιλίων διδάσκοι scil. δραχμῶν, eandem vocem δραχμὰς etiam ad δεκάκις χιλίας subaudiente.

5 Hoc iis pugnare, quod superius de Demosthene dixit, notat R.

σάμενος ἑπόμενον ἐρωτικῶς παιδὶ, εἶπεν [1]. Οὐ μόνον δεῖ, Σοφόκλεις, τὰς χεῖρας ἔχειν παρ' αὐτῷ, ἀλλὰ καὶ τὰς ὀφθαλμές. τῦ δὲ Κυμαίυ Ἐφόρυ ἀπράκτυ τῆς σχολῆς ἐξελθόντος, καὶ πάλιν ὑπὸ τῦ πατρὸς Δημοφίλυ πεμφθέντος ἐπὶ δευτέρῳ μισθῷ, παίζων Δίφορον [2] αὐτὸν ἐκάλει· ἐσπέδασε μέντοι ἱκανῶς περὶ τὸν ἄνδρα, καὶ τὴν ὑπόθεσιν τῆς χρείας [3] αὐτὸς ὑπεθήκατο. ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερὴς, ὡς ὑποπάςῳ [4] παρειλκυσμένῳ ἐν τῇ κοίτῃ χρῆσθαι, κρόκῳ διάβροχον ἔχοντα [5] τὸ προσκεφάλαιον· καὶ νέον μὲν ὄντα μὴ γῆμαι, γηράσαντα δὲ ἑταίρᾳ συνεῖναι, ᾗ ὄνομα ἦν Λαγίσκη, ἐξ ἧς ἔχε θυγάτριον, ὃ γενόμενον ἐτῶν δώδεκα, πρὸ γάμων ἐτελεύτησεν. ἔπειτα Πλαθάνην, τὴν Ἱππίυ τῦ ῥήτορος γυναῖκα [6] ἠγάγετο, τρεῖς παῖδας ἔχυσαν, ὧν τὸν Ἀφαρέα, ὡς προείρηται, ἐποιήσατο, ὃς καὶ εἰκόνα αὐτῦ χαλκῆν ἀνέθηκε πρὸς τῷ Ὀλυμπίῳ [7], ὡς ἐπὶ κίονος, καὶ ἐπέγραψεν·



1 Ita e Turn. V. & edit. Frft. f. c. recepi pro vulg. εἰπεῖν. Dedit idem W. nulla tamen fubjuncta nota.

2 Ita pro vulg. δίφρον legendum monuit Xyl. nec non Wolf. dedique — quafi *bis ferentem.* Confentiunt Salmas. Amiot. Schott. Anon. Mez. Etiam e Turn. exhibetur praemiffo tamen οἱονεὶ; V. διάφορον.

3 Wolf. per ὑπόθεσιν τῆς χρείας intelligit argumentum neceffitatis vel ufus: id eft, ipfe Ifocrates argumenta quaecunque tractanda effent, propofuit, ac quafi praemanfum cibum in os ingeffit. Xyl. legit vertitque ἰςορίας. Eum fequitur Kaltw.

4 Quid fit ὑπόπαςον, fe nefcire fatentur Wolf. R. & Kaltw. Pro eo Salmas. voluit χρυσόπαςον. Turn. duabus vocibus ὑπὸ πάςῳ.

5 R. mavult ἔχοντι.

6 Comma vulgo poft γυναῖκα datur. Id poft ῥήτορος dandum monuit Wolf. ut jungantur γυναῖκα ἠγάγετο.

7 Wolf. dubius eft, utrum Ζηνὶ vel Διὶ fubintelligendum fit, an Ὀλύμπιον Jovis Olympii templum dicatur. Pofterius probat Kaltw. Ita apud Hefych. Ὀλύμπιον legitur: in nota autem fubjuncta

Ἰσοκράτης Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνὶ, θεοὺς τε σέβων καὶ γονέων ἀρετήν.

λέγεται δὲ καὶ κερητίσαι [1], ἔτι παῖς ὤν· ἀνάκειται γὰρ ἐν ἀκροπόλει χαλκοῦς ἐν τῇ σφαιρίστρᾳ τῶν Ἀῤῥηφόρων κερητίζων, ἔτι παῖς ὤν, ὥς εἶπόν τινες [2]. δύο δ' ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες· πρότερος μὲν, εἰς ἀντίδοσιν προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον, τὸν δὲ υἱὸν πέμψας Ἀφαρέα ἐνίκησε· δεύτερος δὲ, Λυσιμάχου αὐτὸν προκαλεσαμένου περὶ τριηραρχίας εἰς ἀντίδοσιν· ἡττηθεὶς δὲ τὴν τριηραρχίαν ὑπέστη. ἦν δ' αὐτοῦ καὶ γραπτὴ εἰκὼν ἐν τῷ

juncta Ὀλυμπιεῖον commendatur. Idem susp. W. hic loci ponendum. Sequens ὡς Wolf. redundare monet, nisi pro *fere* accipias. R. & W. delendum censent.

1 Multum obscuritatis huic inest loco. R. se nescire fatetur, quid sit κερητίζειν. Petrus Faber, quidem (*Agonist.* I, 6. p. 34) a κέρας derivat, ut sit *cornu*, i. e. *operimento corneo, pugnis aut extremis brachiis aptato, pilam seu follem impellere.* Wolf. notat, Lonicerum vertisse: *fertur etiam athletam egisse*, & cum κερατίσαι per α sit κορύπτειν vel κορύττειν, cornibus petere aut tum instar, arietare, caput saltando jactare, dubius est, an is aliquis athleticus ludus fuerit, reprobans simul eam vocis expositionem, quae Salmas. teste ab alio quodam interprete exprimitur, & est apud Hesychium, κερητίσαι, βασανίσαι, torquere, examinare, ut ab hoc loco alienam. Aptius ei videtur, quod a Brubach commendatur κελητίσαι, a κέλης, equus solitarius, non junctus currui. Consentiunt in hac voce Amiot. Xyl. Turn. V Anon. Mez. At bene monent R. & Kaltw equestre certamen cum *sphaeristra* nihil habere commune. Haec ipsa vocis forma R. judice prorsus est inusitata, cum a σφαιρίζειν formetur Graece σφαιριστήριον, non σφαιρίστρα, ut a παλαίειν παλαίστρα. Quid denique *Arrhephoris* (puellis arcana Minervae in cistis ferentibus) cum *Sphaeristerio*? W. se haud scire notat, utrum rectius κερητίσαι — κερητίζων, an κελητίσαι — κελητίζων.

2 Ultima haec suspecta sunt. W. delenda susp. ἔτι παῖς ὤν, ὥς εἶπόν τινες.

τῷ Πομπείῳ [1]. ὁ δ' Ἀφαρεὺς συνέγραψε μὲν λόγους, ὀ πολλοὺς δὲ, δικανικούς τε καὶ συμβουλευτικούς· ἐποίησε δὲ καὶ τραγῳδίας περὶ ἑπτὰ καὶ τριάκοντα, ὧν ἀντιλέγονται δύο. ἀρξάμενος δ' ἀπὸ Λυσιστράτου [2] διδάσκειν, ἄχρι Σωσιγένους, ἐν ἔτεσιν εἰκοσιοκτὼ [3], διδασκαλίας ἀστικὰς [4] καθῆκεν ἕξ, καὶ δὶς ἐνίκησε διὰ Διονυσίου καθεὶς [5], καὶ δι' ἑτέρων ἑτέρας δύο Ληναϊκάς. τῆς δὲ μητρὸς αὐτῶν Ἰσοκράτους [6] καὶ Θεοδώρου, καὶ τῆς ταύτης ἀδελφῆς, Ἀνακοῦς [7], εἰκόνες ἀνέκειντο ἐν ἀκροπόλει· ὧν ἡ τῆς μητρὸς παρὰ τὴν Ὑγίειαν νῦν κεῖται μετε-



1 R. docente, πομπεῖον erat aedicula vel domus, in qua reposita erat supellex instruendis publicis processionibus necessaria, vestes pretiosae, coronae, paterae aureae & argenteae, vasa pontificalia, & alia.

2 scil. ἄρχοντος Ἀθήνησι. Comici poëtae & Tragici dicuntur διδάσκειν, cum suas fabulas in publicum edunt, & in theatris spectandas exhibent: unde διδασκαλία, fabulae actio, s. editio. Wolf.

3 id est ab Olympiadis 102. anno 4. ad Olymp. 109. annum 4. R.

4 Notat ad haec Kaltw. „*das grössere Dionysien- oder Bacchusfest wurde im Anfang des Frühlings in der Stadt Athen selbst gefeyert; daher hieß es auch Διονύσια ἀστικά, und aus dieser Ursache nennt der Verf. die an demselben gegebene Schauspiele διδασκαλίαι ἀστικαί. Das kleinere Dionysienfest fiel in den Herbst zur Zeit des Weinkelterns, wovon es auch Διονύσια ληναϊκά genannt wurde. Man feyerte es nur auf dem Lande.*“

5 καθεῖναι τραγῳδίαν διὰ Διονυσίου, Dionysium fabulae actorem deligere. Wolf. Notante R. Dionysius videtur celeber ea aetate histrio fuisse.

6 R. susp. αὐτῶν, Ἰσοκράτους δηλονότι καὶ Θεοδώρου. Pro αὐτῶν Turn. V. αὐτοῦ. Idem Wolf. legi voluit, vel αὐτῶν omnino redundare censuit.

7 Vulgo hic loci & paulo post Νακοῦς. Salmas. Ἀνακοῦς reponendum monuit. Ita quoque legitur in ed. Frst. s. c. & dedi cum W. idem ex Amiot. Xyl. Mez. Wolf. sumente.

μετεπιγεγραμμένη· ἡ δὲ Ἀνακοῦς οὐ σώζεται. ἔσχε [1] δὲ υἱοὺς, Ἀλέξανδρον μὲν ἐκ Κοινοῦς, Οὐσικλέα δ' ἐκ Λυσίου.

## Ἰσαῖος έ.

Ἰσαῖος Χαλκιδεὺς μὲν ἦν τὸ γένος, παραγενόμενος δ' εἰς Ἀθήνας, καὶ σχολάσας Λυσίᾳ [2], κατά τε τὴν τῶν ὀνομάτων ἁρμονίαν, καὶ τὴν ἐν τοῖς πράγμασι δεινότητα· ὥστ' εἰ μή τις ἔμπειρος πάνυ τοῦ χαρακτῆρος τῶν ἀνδρῶν εἴη, οὐκ ἂν διαγνοίη πολλοὺς τῶν λόγων ῥᾳδίως, ὁποτέρου τῶν ῥητόρων εἰσίν. ἤκμασε δὲ μετὰ [3] τὸν Πελοποννησιακὸν πόλεμον, ὥς ἐστι τεκμήρασθαι ἐκ λόγων αὐτοῦ [4], καὶ μέχρι τῆς Φιλίππου ἀρχῆς παρέτεινε. καθηγήσατο δὲ Δημοσθένους, ἀποστὰς τῆς σχολῆς, ἐπὶ δραχμαῖς μυρίαις [5]. διὸ καὶ μάλιστα ἐπιφανὴς ἐγένετο. αὐτὸς δὲ καὶ τοὺς ἐπιτροπικοὺς [6] λόγους συνέταττε τῷ Δημοσθένει, ὥς τινες εἶπον. καταλέλοιπε δὲ λόγους ἑξήκοντα τέσσαρας, ὧν εἰσι γνήσιοι πεντήκοντα, καὶ ἰδίας τέχνας. πρῶτος δὲ καὶ σχηματίζειν ἤρξατο, καὶ τρέπειν ἐπὶ τὸ πολιτι-

1 Haec Wolf. de Aphareo intelligit. R. ſubaudiri vult *Anaco.* W ultima haec aliunde inveƈta putat, aut partem eſſe priorum perditorum. Pro Κοινοῦς R. ſuſp. Κοίνου; idem W. legendum videtur, notanti ejus loco in E. eſſe lacunam. Pro Οὐσικλέα Xyl Σωσικλέα legit vertitque. Habent ita Turn. V. Anon. et probant Mez. R. W. & Kaltw. Supra quidem hujus Anaconis filius *Socrates* appellabatur. Salmas. corrigebat Θουσικλέα Wolf. nomen Λύσιον mulieris eſſe putat, aut Γλυκέριον.

2 aut poſt Λυσίᾳ, aut deinde poſt δεινότητα R. excidiſſe monet ἐζήλωσεν, vel ἐξίσωσεν, vel ἐμιμεῖτο αὐτὸν, vel ὅμοιος αὐτῷ ἐγένετο.

3 Xyl. monente, legendum κατά.

4 R. legi vult ἐκ τῶν λόγων αὐτοῦ aut ἐκ τινῶν λόγων.

5 Repugnant haec illis, quae ex Demoſthenis Vita, & e ſuperiore de Iſocrate loco patent.

6 *quas habuit contra ſuos tutores* — ſic Xyl. e Ms. legendum cenſuit, & eſt apud Photium & Petav. dedique, R. jubente, cum W. idem ſimul ex E. notante, pro vulg. ἐπιτρεπτικούς.

λιτικὸν τὴν διάνοιαν· ὃ μάλιςα μεμίμηται Δημοσθένης. μνημονεύει δ' αὐτοῦ Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.

## Αἰσχίνης ϛ'.

Αἰσχίνης Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον, καὶ Γλαυκοθέας· τὸν δὲ δῆμον Κοθωκίδης [1], οὔτε κατὰ γένος τῶν ἐπιφανῶν, οὔτε κατὰ περιουσίαν χρημάτων. νέος δ' ὢν καὶ ἐῤῥωμένος τῷ σώματι, περὶ τὰ γυμνάσια ἐπόνει· λαμπρόφωνος δ' ὢν, μετὰ ταῦτα τραγῳδίαν ἤσκησεν· ὡς δὲ Δημοσθένης φησὶν, ὑπογραμματεύων [2] καὶ τριταγωνιςῶν Ἀριςοδήμῳ ἐν τοῖς Διονυσίοις διετέλει, ἀναλαμβάνων ἐπὶ σχολῆς τὰς παλαιὰς τραγῳδίας, καὶ ἔτι παῖς ὢν ἐδίδασκε γράμματα σὺν τῷ πατρί· καὶ μειράκιον ὢν ἐςρατεύετο ἐν τοῖς πολλοῖς [3]. ἀκροατὴς δὲ γενόμενος, ὡς μέν τινες λέγουσιν, Ἰσοκράτους καὶ Πλάτωνος, ὡς δὲ Καικίλιος, Λεωδάμαντος [4], καὶ πολιτευόμενος οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος τοῖς περὶ Δημοσθένη, ἐπρέσβευσεν ἄλλας τε πρεσβείας πολλὰς, καὶ πρὸς Φίλιππον



1 Sic fcriptam dedit hanc vocem W. cum Xyl. Vulgo Κωθωκίδης Petav. Κωθωνίδης, Firmant correctionem Suid. & Hefych Cujus tribus, incertum dicit Meurs. de Pop. Att. & cum eo Kaltw. Sed Photius in Lex. teftante nota ad Hefych. Κοθωκίδαι· δῆμος Οἰνηΐδος. Pro τὸν δὲ δῆμον Ald. Baf. Xyl. Petav. τῶν δὲ δήμων. cf. p. 220 not. 3.

2 E loco infra obvio apparet, minus apte hoc participium nomini Ἀριςοδήμῳ jungi, ut Xyl. vertendo expreffit: *Ariftodemo in Bacchanalibus infervivit defcribendo.* Melius Kaltw. *daß er eine geraume Zeit bey den niedern Gerichten Unterfchreiber gewefen fey.*

3 Tib. Hemfterhuis. ad oram exempli fui emendat ἐν τοῖς περιπόλοις. W. notante, ita de fe ipfe prodit Aefchin. Or. Falf. Leg. p. 269. C. & Harpocrat. Voc. περίπολος.

4 Xyl. & alii laudati Ruhnkenio Hift. Crit. or. p. 63. corrigunt Ἀλκιδάμαντος.

λιππου ὑπὲρ τῆς εἰρήνης· ἐφ' ᾗ [1] κατηγορηθεὶς ὑπὸ Δημοσθένους, ἀνῃρημένου τοῦ Φωκέων ἔθνους, ἔτι δὲ ὡς πόλεμον ἐξάψας, ἡνίκα πυλαγόρας ᾑρέθη Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς, καὶ τὸν λιμένα ἐργαζομένοις [2]. ἐξ οὗ συνέβη τοὺς Ἀμφικτύονας Φιλίππῳ προσφυγεῖν, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν· ἀλλὰ συνειπόντος αὐτῷ Εὐβούλου τοῦ Σπινθάρου, Προβαλλουσίου [3], δημαγωγοῦντος, τριάκοντα ψήφοις ἀπέφυγεν. εἰσὶ δ', οἵ φασι, συγγράψαι μὲν τοὺς ῥήτορας τοὺς λόγους· ἐμποδὼν δὲ γενομένων τῶν περὶ Χαιρώνειαν, μηκέτι τὴν δίκην εἰσελθεῖν. χρόνῳ δ' ὕστερον, Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐγράψατο Κτησιφῶντα παρανόμων ἐπὶ ταῖς Δημοσθένους τιμαῖς· οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων, ἔφυγεν εἰς την Ῥόδον, χιλίας δραχμὰς ὑπὲρ τῆς ἥττης οὐ βουληθεὶς καταθέσθαι. οἱ δ' ἀτιμίας αὐτῷ προστιμηθῆναι λέγουσιν, οὐ θέλοντι ἐξελθεῖν τῆς πόλεως, καὶ ἐλθεῖν εἰς Ἔφεσον ὡς Ἀλέξανδρον. τοῦ δὲ τελευτήσαντος, ταραχῆς οὔσης, ἀπάρας εἰς τὴν Ῥόδον, ἐνταῦθα σχολὴν κατασησάμενος ἐδίδασκεν. ἀνέγνω τε τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος λόγον, ἐπιδεικνύμενος· θαυμαζόντων δὲ πάντων, εἰ ταῦτ' εἰπὼν ἡττήθη· Οὐκ ἂν (ἔφη) ἐθαυ-

1 Sic restitui, pro ἐφ' ἧς, quod e Frst. in R. transiit. Mavult porro R. κατηγορήθη ὑπὸ Δημοσθένους, ὡς δι' αὐτὸν ἀνῃρημένου.

2 Pro καὶ τὸν λ. ἐργ. Wolf. rectius, W. judice, τοὺς τὸν λιμένα ἐργαζομένους. R. quoque delendum susp. καὶ τὸν, & legendum ἐργαζομένους. Kaltw. susp. πρὸς Ἀμφισσεῖς, τοὺς τὸν λειμῶνα ἱερὸν ἐργαζομένους. Xyl. locum asterisco notavit.

3 Xyl. correxit Προβαλινθίου. R. legi voluit Προβαλησίου τοῦ τότε μάλιστα δημαγωγοῦντος. W. duos adesse errores monet, alterum in scriptura populi, requirente Προβαλισίου: alterum in re, cum Eubulus hic diversus sit a Spinthari F. Probalisio, Anaphlystius: vid. Ruhnken. Hist. crit. Or. p. 65.

ἐθαυμάζετε, Ῥόδιοι, εἰ πρὸς ταῦτα Δημοσθένους λέγοντος ἠκούσατε. σχολήν τ' ἐκεῖ προσκατέλιπε, τὸ Ῥοδιακὸν διδασκαλεῖον κληθέν. ἔπειτα πλεύσας εἰς Σάμον, καὶ διατρίβων [1] ἐπὶ τῆς νήσου, ὀλίγον ὕστερον ἐτελεύτησεν. ἐγένετο δ' εὔφωνος, ὡς δῆλον ἔκ τε ὧν φησι Δημοσθένης, καὶ ἐκ τοῦ Δημοχάρους λόγου. Φέρονται δ' αὐτοῦ λόγοι τέσσαρες, ὅ τε κατὰ Τιμάρχου, καὶ ὁ τῆς παραπρεσβείας [2], καὶ ὁ κατὰ Κτησιφῶντος, οἱ καὶ μόνοι εἰσὶ γνήσιοι. ὁ γὰρ ἐπιγραφόμενος Δηλιακὸς οὐκ ἔστιν Αἰσχίνου· ἀπεδείχθη μὲν γὰρ ἐπὶ τὴν κρίσιν [3] τοῦ περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ συσταθεὶς συνήγορος· οὐ μὴν εἶπε τὸν λόγον· ἐχειροτονήθη γὰρ Ὑπερείδης ἀντ' αὐτοῦ, ὥς φησι Δημοσθένης. ἔσχε δὲ καὶ ἀδελφοὺς, ὥς φησιν αὐτὸς, Ἄφοβον καὶ Δημοχάρη [4]. ἀπήγγειλε [5] δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις (τὸ δεύτερον [6]), ἐφ' ᾧ καὶ ἐστεφανώθη. οἱ δ' εἶπον, μηδὲ μαθητεῦσαί τισι τὸν Αἰσχίνην, ἀλλ' ἐκ τῆς ὑπογραμματείας ἀρθῆναι, ἐν τοῖς δικαστηρίοις τότε διάγοντα· πρῶτον δ' εἰπεῖν ἐν τῷ δήμῳ κατὰ Φιλίππου, εὐδοκιμήσαντά τε, πρεσβευτὴν χειροτονηθῆναι πρὸς Ἀρκάδας.



1 R. susp. καὶ διατριβὴν κατασησάμενος ἐπὶ τῆς νήσου, schola rhetorica instituta.

2 R. legendum censet ὁ περὶ τῆς πρεσβείας, cum Demosthenes, non Aeschines, orationem de nequiter administrata legatione scripserit. Philostratus p. 510. appellat hanc orationem ἀπολογίαν τῆς πρεσβείας.

3 R. susp. ἐπὶ κρίσιν ἀγῶνος vel ἀμφισβητήματος τοῦ περὶ —.

4 Xyl. monente ex Apollon. in vita Aeschinis, legendum Ἀφόβητον & Φιλοχάρη. Eadem nomina recepit Kaltw. e loco Aeschinis περὶ παραπρεσβ. p. 314. 315. ed. Reisk. Posterius nomen probat W.

5 Vulgo ἀντήγγειλε. Hinc R. legendum monuit ἀνήγγειλε aut ἀπήγγειλε. Posterius habent Bas. Xyl. Petav. dedique cum W. Vitiose in Ald. ἀπηήγγειλε, unde Steph. vulgatam effecit.

6 Uncis haec inclusi, ut delenda, Wolf. & R. iudicio. Amiot. & Mez. corrigunt τὴν δευτέραν.

κάδας· πρὸς ὃς ἀφικόμενον, συςῆσαι τὰς μυρίας [1] ἐπὶ Φίλιππον. ἐγράψατο δὲ καὶ Τίμαρχον ἑταιρήσεως· ὁ δὲ, ἐκλιπὼν τὸν ἀγῶνα, αὑτὸν ἀνήρτησεν, ὥς πε φησὶ Δημοσθένης. ἐχειροτονήθη πρεσβευτὴς ὡς Φίλιππον κατὰ Κτησιφῶντος καὶ Δημοσθένες [2] περὶ τῆς εἰρήνης· ἐν ᾗ ἄμεινον τῆ Δημοσθένες ἠνέχθη· τὸ δεύτερον [3] δέκατος ὢν, κυρώσας ὅρκοις τὴν εἰρήνην, κριθεὶς ἀπέφυγεν, ὡς προείρηται.

## Λυκῆργος ζ΄.

Λυκῆργος πατρὸς μὲν ἦν Λυκόφρονος τῆ Λυκέργε, (ὃν οἱ τριάκοντα τύραννοι ἀπέκτειναν, αἰτίε αὐτῷ τῆς ἀναιρέσεως γενομένε Ἀριςοδήμε Βατῆθεν [4], ὃς καὶ ἑλληνοταμίας γενόμενος, ἔφυγεν ἐν τῇ δημοκρατίᾳ) τὸν δῆμον δὲ [5] Βετάδης, γένες τῆ τῶν Ετεοβετάδῶν. ἀκροατὴς δὲ γενόμενος Πλάτωνος τῆ φιλοσόφε, ταπρῶτα ἐφιλοσόφησεν· εἶτα καὶ Ἰσοκράτες τῆ ῥήτορος γνώριμος γενόμενος, ἐπολιτεύσατο ἐπιφανῶς, καὶ λέγων καὶ πράττων, καὶ δὴ πιςευσάμενος τὴν διοίκησιν τῶν χρημάτων· Ταμίας γὰρ ἐγένετο ἐπὶ τρεῖς πενταετηρίδας ταλάντων μυρίων τετρακιςχιλίων, ἢ, ὥς τινες, μυρίων οκτακιςχιλίων ἑξακοσίων πεντήκοντα (καὶ ὁ τὰς [6] τιμὰς

1 Μύριοι hi non ſunt decem millia armatorum, quomodo Xyl. intellexiſſe videtur, ſed concilium decies mille virorum apud Arcades inſtitutum Olymp. CII anno poſt pugnam Leuctricam. Cf. Suid in v. Μύριοι, & not. apud Heſych. in v. Μυρίοι.

2 Delenda cenſet R. κατα Κτησ. καὶ Δημ. Eum ſequitur Kaltw.

3 R. ſuſp. τὸ δεύτερον δὲ χειροτονηθεὶς πρεσβευτὴς, δέκατος —.

4 Salmas. Βατιῆθεν.

5 Ald. Baſ. Petav. τῶν δήμων δὲ; Steph. & rell. δήμων δὲ τῶν. Hinc R. legi voluit δῆμον δὲ Βετ. Cum W. dedi τὸν δ. δὲ, ex Turn. V. conſentientibus E. & Anon.

6 Uncis haec includendo ſecutus ſum W. qui ea perperam huc invecta cenſet e Pſephismate tertio, infra obvio. R. pro καὶ legendum conjecit ἦν δὲ.

τιμὰς αὐτῷ ψηφιζόμενος Στρατοκλῆς ὁ ῥήτωρ) τὸ μὲν πρῶτον αἱρεθεὶς αὐτὸς, ἔπειτα τῶν φίλων ἐπιγραψάμενός τινα, αὐτὸς ἐποιεῖτο τὴν διοίκησιν διὰ τὸ φθάσαι [1] νόμον εἰσενεγκεῖν, μὴ πλείω πέντε ἐτῶν διέπειν τὸν χειροτονηθέντα ἐπὶ τὰ δημόσια χρήματα, ἀεί τ' ἐφεξῆς τοῖς ἔργοις διετέλεσε, καὶ θέρυς καὶ χειμῶνος. καὶ ἐπὶ τὴν τῦ πολέμυ παρασκευὴν χειροτονηθεὶς, πολλὰ τῆς πόλεως ἐπηνώρθωσε· καὶ τριήρεις παρεσκεύασε τῷ δήμῳ τετρακοσίας· καὶ τὸ ἐν Λυκείῳ γυμνάσιον ἐποίησε καὶ ἐφύτευσε, καὶ τὴν παλαίςραν ᾠκοδόμησε, καὶ τὸ ἐν Διονύσυ θέατρον ἐπιςατῶν [2] ἐτελεύτησε. πιςευσάμενος δ' ἐν παρακαταθήκῃ παρὰ τῶν ἰδιωτῶν διακόσια πεντήκοντα τάλαντα ἐφύλαξε, πομπεῖά τε χρυσᾶ καὶ ἀργυρᾶ τῇ πόλει κατεσκεύασε, καὶ νίκας χρυσᾶς. πολλὰ δὲ ἡμίεργα παραλαβὼν ἐξετέλεσε, καὶ νεωσοίκυς, καὶ τὴν σκευοθήκην· καὶ τῷ ςαδίῳ τῷ Παναθηναϊκῷ τὴν κρηπῖδα περιέθηκεν, ἐξεργασάμενος τῦτό τε καὶ [3] τὴν χαράδραν ὁμαλὴν ποιήσας, Δινίυ τινὸς, ὃς ἐκέκτητο τῦτο το χωρίον, ἀνέντος τῇ πόλει περὶ παντὸς αὐτῦ χαρίσαθαι [4] Λυκέργῳ. ἔχε δὲ καὶ τῦ ἄςεως τὴν φυλακὴν, καὶ τῶν κακέργων τὴν σύλληψιν, ὓς ἐξήλασεν ἅπαντας, ὡς καὶ τῶν σοφιςῶν ἐνίυς λέγειν, Λυκῦργον ὐ μέλανι, ἀλλὰ θανάτῳ, χρίοντα τὸν κάλαμον κατὰ τῶν πονηρῶν, ὕτω συγγράφειν [5]. ὅθεν ἐξαιτηθέντα αὐτὸν ὑπ' Ἀλεξάνδρυ τῦ βασιλέως ὁ δῆμος ὐ προήκατο. καθ' ὃν δὲ χρόνον ἐπολέμει Φίλιππος πρὸς Ἀθηναίυς τὸν δεύτερον πόλεμον, ἐπρέσβευε μετὰ Πολυεύ-

1 R. nomen ejus, qui legem illam tulerat, excidisse suspicatur, nisi Lycurgus ipse legis auctor fuerit.

2 R. legi vult τῦ ἐν Διονύσυ θεάτρυ ἐπιςατεύων.

3 R. susp. ἔτι δὲ καὶ.

4 R. susp. ἀνέντος τῇ πόλει, καὶ προειπόντος, αὐτὸ χαρίσαθαι. Idem fere W. τῇ πόλει, προσειπόντος, αὐτὸ χαρίσαθαι. Turn. V. Anon. χαρισαμένυ.

5 scil. τὰς καταδίκας. R.

λυεύκτε καὶ Δημοθένες, εἴς τε Πελοπόννησον καὶ τινας ἑτέρας πόλεις. διετέλεσέ τε τὸν ἅπαντα χρόνον εὐδοκιμῶν παρὰ τοῖς Ἀθηναίοις, καὶ δίκαιος εἶναι νομιζόμενος, ὥςε καὶ ἐν τοῖς δικαςηρίοις τὸ Φῆσαι Λυκῆργον, ἐδόκει βοήθημα εἶναι τῷ συναγορευομένῳ. εἰσήνεγκε δὲ καὶ νόμες, τὸν περὶ [1] τῶν κωμῳδῶν ἀγῶνα τοῖς Χύτροις [2] ἐπιτελεῖν ἐφάμιλλον ἐν τῷ θεάτρῳ, καὶ τὸν νικήσαντα εἰς ἄςυ καταλέγεσθαι [3], πρότερον ὐκ ἐξὸν, ἀναλαμβάνων τὸν ἀγῶνα ἐκλελοιπότα. τὸν δὲ, ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι [4] τῶν ποιητῶν, Αἰσχύλε, Σοφοκλέες, Εὐριπίδε, καὶ τὰς τραγῳδίας αὐτῶν ἐν κοινῷ γραψαμένες Φυλάττειν, καὶ τὸν τῆς πόλεως γραμματέα [5] παραναγινώσκειν τοῖς ὑποκρινομένοις· ὐκ ἐξεῖναι γὰρ αὐτὰς [6] ὑποκρίνεσθαι. καὶ τρίτον, μηδενὶ ἐξεῖναι Ἀθηναίων, μηδὲ τῶν οἰκέντων Ἀθήνησιν, ἐλεύθερον [7] σῶμα πρίασθαι ἐπὶ δελείᾳ ἐκ τῶν ἁλισκομένων, ἄνευ τῆς τῦ προτέρε δεσπότε γνώμης. ἔτι δὲ, ὡς [8] τῦ Ποσειδῶνος ἀγῶνα ποιεῖν ἐν Πειραιεῖ, κυκλίων χορῶν ὐκ ἔλαττον τριῶν, δίδοσθαι [9] μὲν τοῖς νικῶσιν ὐκ ἔλαττον δέκα μνᾶς, τοῖς δὲ δευτέροις, ὀκτὼ, ἓξ δὲ τοῖς τρίτοις κριθεῖσιν. ἐπὶ ζεύγες μὴ ἀπεῖναι γυναῖκα Ἐλευσίναδε, ὅπως μὴ ἐλαττῶνται ὑπὸ τῶν πλεσίων [10]. εἰ δέ

1 R. susp. τὸν μὲν τὸν παρὰ τῶν.

2 Χύτροι tertia dies festi, Anthesteria dicti.

3 καθιέναι corrigit H. Vales. ad Harpocrat. p. 116. W.

4 R. mavult inseri δεῖ, addens tamen, saepius ὡς cum Infin. junctum reperiri.

5 In Bas. excidit γραμματέα.

6 R. mavult αὐτὰς, *ipsos scribas*, vel *tabularum custodes*. W. susp. καὶ ὐκ ἐξεῖναι παρ' αὐτὰς —.

7 Mez. ἀπελεύθερον.

8 Mez. ἔτι δὲ τὸν, ὡς.

9 R. mavult τριῶν, ὧν δίδοσθαι.

10 Xyl. vertit: *ne a divitibus pauperes superentur.* Ad eundem sensum Kaltw. *damit die Reichen vor den Armen nichts* , *voraus*

δέ τις φωραθείη, ἀποτίνειν δραχμὰς ἑξακισχιλίας. τῆς δὲ γυναικὸς αὐτȣ̃ μὴ πειθείσης, τῶν συκοφαντῶν φωρασάντων, τάλαντον αὐτοῖς ἔδωκε· κατηγορέμενος δ' ἐν ὑςέρῳ ἐν τῷ δήμῳ, ἔφη· Ἀλλ' ȣ̃ν ἐγὼ μὲν διδȣ̀ς, ȣ̓ λαμβάνων ἑώραμαι [1]. τελώνȣ δέ ποτ' ἐπιβαλόντος Ξενοκράτει τῷ φιλοσόφῳ τὰς χεῖρας, καὶ πρὸς τὸ μετοίκιον αὐτὸν ἀπαγαγόντος, ἀπαντήσας ῥάβδῳ τε κατὰ τῆς κεφαλῆς τȣ̃ τελώνȣ κατήνεγκε, καὶ τὸν μὲν Ξενοκράτην ἀπέλυσε, τὸν δὲ, ὡς ȣ̓ τὰ πρέποντα δράσαντα, εἰς τὸ δεσμωτήριον κατέκλεισεν· ἐπαινȣμένȣ δ' ἐπὶ τῇ πράξει, μεθ' ἡμέρας τινὰς συντυχὼν ὁ Ξενοκράτης τοῖς παισὶ τȣ̃ Λυκȣ́ργȣ, ἔφη· Ταχέως γε τῷ πατρὶ ὑμῶν ἀπέδωκα, ὦ παῖδες, τὴν χάριν· ἐπαινεῖται γὰρ ὑπὸ πολλῶν ἐπὶ τῷ βοηθῆσαι μοί. Εἰσήνεγκε [2] δὲ καὶ ψηφίσματα Εὐκλείδῃ τινὶ Ὀλυνθίῳ χρώμενος ἱκανωτάτῳ περὶ τὰ ψηφίσματα [3]. εὔπορος δ' ὤν, ἱμάτιον ἓν καὶ ταὐτὸ [4] ἐφόρει τȣ̃ χειμῶνος καὶ τȣ̃ θέρȣς, καὶ ὑπεδέδετο ταῖς ἀναγκαίαις ἡμέραις [5]. ἐμελέτα δὲ καὶ νυκτὸς

*voraus hätten.* Aliter explicat Perizon. ad Aelian. V. H. XIII, c. 24. ut ἐλαττῶνται ad ipsos viros referatur, non ad feminas, scilicet, *ne cives damnum fortunarum suarum facerent, vel pauperiores fierent per divites foeminas, quae immodicis sumtibus in bigas, reliquas dein omnes in aemulationem sumtuum illorum excitarent.*

1 W. susp. πεφώραμαι.

2 Vulgo βοηθῆσαι μόγις. ἤνεγκε. Correxerunt haec Dusoul ad Vit. Plut. T. III. p. 573. & R. ut cum W. dedi. Est quoque apud Turn. βοηθῆσαί μοι. Consentit in hoc Mez. Res ipsa quoque refertur in Vita Flaminini Vol. II. opp. Plut. p. 484.

3 Suspectum est hoc vocabulum R. Quaerit, num χρήματα vel δανείσματα.

4 ita corrigunt Mez. & R. dediqae pro vulg. καθ' αὐτὸ, W. probante.

5 R. susp. ταῖς ἀναγκαίαις μόνον ἡμέραις, quamvis haud raro μόνον omittatur. W. idem aut addendum aut omittendum censet.

κτὸς καὶ ἡμέρας, οὐκ εὖ πρὸς τὰ αὐτοσχέδια πεφυκὼς, κλινιδίου δ' αὐτῷ ὑποκειμένου, ἐφ' ᾧ μόνον ἦν κώδιον καὶ προσκεφάλαιον, ὅπως ἐγείροιτο ῥᾳδίως καὶ μελετῴη. ἐγκαλοῦντος δ' αὐτῷ τινος, ὅτι μισθοὺς σοφισταῖς δίδωσι περὶ λόγους διατρίβων· Ἀλλ' εἴ τις γε ἐπαγγέλλοιτο (ἔφη) τοὺς υἱοὺς ἀμείνους αὐτῷ ποιήσειν, οὐ χιλίας, ἀλλὰ τὰ ἡμίση τῆς οὐσίας, προΐεσθαι [1]. ἦν δὲ καὶ παρρησιαστὴς διὰ τὴν εὐγένειαν· Ἀθηναίων γέ τοι ποτὲ οὐκ ἀνεχομένων αὐτοῦ δημηγοροῦντος, ἀνέκραγεν ἐκβαλλόμενος· Ὦ Κερκυραία μάστιξ [2], ὡς πολλῶν ταλάντων εἶ ἀξία. πάλιν δὲ θεὸν ἀναγορευόντων Ἀλέξανδρον· Καὶ ποδαπὸς ἂν (εἶπεν) ὁ θεὸς, οὗ τὸ ἱερὸν ἐξιόντας δεήσει περιῤῥαίνεσθαι [3]; ἀποθανόντος δ' αὐτοῦ, παρέδωκαν τοὺς παῖδας τοῖς ἕνδεκα, Μενεσαίχμου [4] μὲν κατηγορήσαντος, γραψαμένου δὲ Θρασυκλέους· Δημοσθένους δὲ, καθ' ὃν ἔφυγε χρόνον, ἐπιστείλαντος τοῖς Ἀθηναίοις, ὡς κακῶς ἀκούοιεν ἐπὶ τοῖς Λυκούργου παιδίοις, μετενόησαν, καὶ ἀφῆκαν αὐτοὺς, Δημοκλέους, τοῦ Θεοφράστου μαθητοῦ, ὑπὲρ αὐτῶν ἀπολογησαμένου. ἐτάφη δ' αὐτὸς καὶ τῶν ἐκγόνων τινὲς δημοσίᾳ· καὶ ἔστιν αὐτῶν τὰ μνήματα ἄντικρυς τῆς Παιωνίας Ἀθηνᾶς ἐν τῷ Μελανθίου τοῦ φιλοσόφου κήπῳ, τράπεζαι πεποιημέναι, αὐτοῦ τε [5] τοῦ Λυκούργου καὶ τῶν παίδων αὐτοῦ ἐπιγεγραμμέναι, καὶ εἰς ἡμᾶς ἔτι σωζόμεναι. τὸ μέγιστον χίλια διακόσια τάλαντα προσόδου τῇ πόλει

ſet. *Neceſſarii dies*, auctore Caſaub. ad Theophr. Charact. 10., ſunt illi, in quibus facere nequis, quin calceos geſtes, per itineris ſcil. cauſam, aut frigoris, aut viae lutoſae, aut aſperae.

1 R. ſuſp. τὸ ἥμισυ τῆς οὐσίας προήσεσθαι, W. τὸ ἥμισυ ἂν — προΐεσθαι, Mez. conſentiente in τὸ ἥμισυ.

2 Locutio proverbialis, de qua cf. Eraſm. adag. p. 315.

3 quia ſcilic. Alexander erat parricida & alias ſceleratus, latro totius generis humani. R.

4 Ruhnken. Hiſt. Crit. Or. p. 80. corrigit Μοιροκλέους. Petav. Μενεσαίμου.

5 Ita R. legi voluit, & probavit W. cum eod. & Mez. dedique e Petav. pro vulg. αὐταί τε.

πόλει κατέστησε, πρότερον ἑξήκοντα προσιόντων [1]. μέλλων δὲ τελευτήσειν, εἰς τὸ μητρῷον καὶ τὸ βουλευτήριον ἐκέλευσεν αὑτὸν κομισθῆναι, βουλόμενος εὐθύνας δοῦναι τῶν πεπολιτευμένων· οὐδενὸς δὲ κατηγορῆσαι τολμήσαντος, πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος, εἰς τὴν οἰκίαν ἀπεκομίσθη, καὶ ἐτελεύτησεν, ἐπιεικὴς νομισθεὶς παρὰ πάντα τὸν βίου χρόνον, καὶ ἐν λόγοις ἐπαινεθείς· καὶ μηδένα ἀγῶνα ἁλούς, καίτοι πολλῶν κατηγορησάντων. ἔσχε δὲ τρεῖς παῖδας ἐκ Καλλιστοῦς, τῆς Ἄβρωνος μὲν θυγατρός, Καλαίου [2] δὲ τοῦ Ἄβρωνος Βατῆθεν [3] ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτικῶν ἐπὶ Χαιρώνδου [4] ἄρχοντος. περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ κατὰ Παστίου [5]. κατέλιπε δὲ παῖδας Ἄβρωνα, Λυκοῦργον, Λυκόφρονα· ὧν ὁ Ἄβρων καὶ ὁ Λυκοῦργος ἄπαιδες μετήλλαξαν· ἀλλ' ὅ γε Ἄβρων καὶ πολιτευσάμενος ἐπιφανῶς μετήλλαξε, Λυκόφρων δὲ, γήμας Καλλιστομάχην Φιλίππου Αἰξωνέως [6] ἐγέννησε Καλλιστώ. ταύτην δὲ γήμας Κλεόμβροτος Δεινοκράτους Ἀχαρνεύς, ἐγέννησε Λυκόφρονα· τοῦτον δὲ ὁ πάππος εἰσεποιήσατο Λυκόφρων· οὗτος δ' ἐτελεύτησεν ἄπαις. μετὰ δὲ τὴν Λυκόφρονος τελευτὴν, ἔγημε τὴν Καλλιστὼ Σωκράτης, καὶ ἔσχεν υἱὸν Σύμμαχον· τοῦ δ', ἐγένετο Ἀριστώνυμος· τοῦ δὲ Χαρμίδης·

1 R. judice videtur hic aliquid deesse, e. c. τῶν ἔργων αὐτοῦ τὸ μέγιστον ὅτι χίλια —; idem deinde legendum censet πρόσοδον — & ἑξακοσίων προσιόντων. W. monente hoc est & numeris vitiosum, & perperam e superioribus repetitum.

2 Salmas. & R. corrigunt Καλλίου.

3 Ald. Bas. κατῆθεν. Xyl. correxit e loco supra obvio, consentiente Ms.

4 Ita ex Ald. & Bas. restitui pro vulg. Χαρώνδου. Cf. Meurs. Arch. Ath. c. IV. c. 11. ubi male edi ἐπὶ Χαρώνδου notatur. W. idem susp. Salmas. correxit τὸ στρατιωτικὸν scil. ἀργύριον

5 R. susp. κατὰ Πασίου. W. judice, Πιστίου recte corrigunt Meurs. lect. Att. III, 5. Vales. Harpocrat. p. 15.

6 Dedi sic e Xyl. & R. mente, W. probata pro vulg. Ἀιξενέως.

μίδης· τῦ δὲ Φιλίππη· ταύτης δὲ καὶ Λυσάνδρυ [1] Μήδειος, ὁ καὶ ἐξηγητὴς ἐξ Εὐμολπιδῶν γενόμενος· τέτυ δὲ καὶ Τιμοθέας τῆς Γλαύκυ παῖδες, Λαοδάμεια καὶ Μήδειος, ὃς τὴν ἱερωσύνην Ποσειδῶνος Ἐρεχθέως εἶχε, καὶ Φιλίππη, ἥτις ἱεράσατο τῆς Ἀθηνᾶς ὕστερον· πρότερον δ' αὐτὴν γήμας Διοκλῆς ὁ Μελιττεὺς, ἐγέννησε Διοκλέα, τὸν ἐπὶ τὺς ὁπλίτας [2] στρατηγήσαντα· γήμας δ' ἔτος Ἡδίστην Ἄβρωνος, Φιλιππίδην καὶ Νικοστράτην ἐγέννησε· γήμας δὲ τὴν Νικοστράτην Θεμιστοκλῆς ὁ Θεοφράστυ, ὁ δαδῦχος, ἐγέννησε Θεόφραστον καὶ Διοκλέα· διετάξατο δὲ καὶ τὴν ἱερωσύνην τῦ Ποσειδῶνος Ἐρεχθέως. φέρονται δὲ τῦ ῥήτορος λόγοι δεκαπέντε. ἐστεφανώθη δὲ ὑπὸ τῦ δήμυ πολλάκις, καὶ εἰκόνων ἔτυχεν· ἀνάκειται δ' αὐτῦ χαλκῆ εἰκὼν ἐν κεραμικῷ κατὰ ψήφισμα, ἐπ' Ἀναξικράτυς ἄρχοντος· ἐφ' ὗ ἔλαβε καὶ σίτησιν ἐν πρυτανείῳ αὐτός τε καὶ ὁ [3] Λυκῦργος, καὶ ὁ πρεσβύτατος αὐτῦ τῶν ἐκγόνων κατὰ τὸ αὐτὸ ψήφισμα· ἀποθανόντος τε Λυκύργυ, ὁ πρεσβύτατος τῶν παίδων, Λυκόφρων, ἠμφισβήτησε τῆς δωρεᾶς. εἶπε δὲ καὶ περὶ ἱερῶν [4] πολλάκις γραψάμενος Αὐτόλυκον τὸν Ἀρεοπαγίτην, καὶ Λυσικλέα τὸν στρατηγὸν, καὶ Δημάδη τὸν Δημίυ, καὶ Μενέσαιχμον, ἄλλυς τε πολλὺς, καὶ πάντας εἷλεν. ἔκρινε δὲ καὶ Δίφιλον ἐκ τῶν ἀργυρίων μετάλλων τὺς μεσοκρινεῖς [5], οἳ ἐβάσταζον τὰ ὑπερκείμενα βάρη, ὑφελόντα, καὶ ἐξ αὐτῶν πεπλυτηκότα παρὰ τὺς νόμυς· καὶ θανάτυ ὄντος

1 Salmas. notante, interpres Gallicus falso legisse videtur ταύτης δὲ Λύσανδρος.

2 R. hoc nomen suspectum. Quaerit, num Φασηλίτας, addens ex his genealogiis colligi posse, auctorem hujus libelli non Boeotum, sed Atheniensem fuisse.

3 R. καὶ ὁ delendum censet; W. solum καὶ.

4 R. περὶ ἱερῶν suspectum est.

5 Secutus sum Xyl. ita e Poll. L. 3. c. 11. Onomast. legentem & edentem pro vulg. μεσοκρανεῖς.

τος ἐπιτιμίȣ, χλῶναι ἐποίησε, καὶ πεντήκοντα δραχμὰς ἐκ τῆς ȣσίας αὐτȣ͂ ἑκάςῳ τῶν πολιτῶν διένειμε, τῶν πάντων συναχθέντων ταλάντων ἑκατὸν ἑξήκοντα, ἢ (ὥς τινες) μνᾶν [1]. ὁ δὲ ευθύνας [2] Ἀριςογείτονα καὶ Κλεωκράτην καὶ Αὐτόλυκον δȣλείας [3]. ἐπεκαλεῖτο δὲ ὁ Λυκȣ͂ργος, ἶβις [4] Λυκέργῳ, Ξειοφῶντι νυκτερίς· κατῆγον δὲ τὸ γένος ἀπὸ τȣ́των, καὶ [5] Ἐρεχθέως τȣ͂ Γῆς καὶ Ἡφαίςȣ· τὰ δ' ἐγγυτάτω ἀπὸ Λ κομηδȣς καὶ Λυκȣ́ργȣ, ȣ̔͂ς ὁ δῆμος ταφαῖς ἐτίμησε δημοσίᾳ· καὶ ἔςιν αὕτη ἡ καταγωγὴ τȣ͂ γένȣς τῶν ἱερασαμένων τȣ͂ Ποσειδῶνος, ἐν πίνακι τελείῳ [6], ὃς ἀνάκειται ἐν [7] Ἐρεχθείῳ, γεγραμμένος ὑπ' Ἰσμηνίȣ τȣ͂ Χαλκιδέως· καὶ εἰκόνες ξύλινοι τȣ͂ τε Λυκȣ́ργȣ, καὶ τῶν υἱῶν αὐτȣ͂, Ἄβρω-

1 W. judice videntur ἢ (ὥς τινες) μνᾶν posita fuisse ab auctore proxime post διένειμε.

2 R. legendum censet ὅδε ὁ εὐθύνας, *hic est ille, qui controversiam liberi status movit* —.

3 Taylor ad Lycurg. Orat. p. 320 (Vol. IV. Or. Gr. p. 134.) emendat Λεωκράτην & δειλίας; & ante eum Vales. ad Harpocrat. p. 103. Kaltw. ita vertit. W. judice, vitiosum quoque est illud ὁ δὲ εὐθύνας. E. Petav. notatur Λεωκράτην.

4 Est versus Aristoph. Aoib. 1296. & inde, W. judice, corrigendum: ἐπεκαλεῖτο δὲ ὁ Λυκȣ͂ργος Ἶβις, ὥς φησιν Ἀριςοφάνης· Ἶβις Λυκȣ́ργῳ· Χαιρεφῶντι νυκτερίς. Ita fere Kusterus corrigit, nec multum differt Taylor. praefat ad Lycurg. (Vol. IV. Or. Gr. p. 109.) Etiam R. vocabulum Ἶβις iterandum monuit.

5 R. susp. κατῆγον δὲ τὸ γένος ἀπωτέρω μὲν ἀπ' Ἐρ. vel, si κατηγοι pro prima sing. sumere liceat, quod ipsi probabile videtur, κατῆγον δὲ τὸ γένος ἀπὸ τȣ́των, καὶ πόῤῥωθεν μὲν ἀπ' Ἐρ. *duco ab his genus.* Kaltw. monente, Erechtheus non fuit filius Terrae & Vulcani, sed Pandionis, & auctor de Erechtheo temere dixisse videtur, quae Erichthonio tribui solent. Petav. τῆς γῆς.

6 R. τελείῳ suspectum est. Quaerit, num Πεντελικῷ? Celebrabatur Pentelicum marmor, in solo Attico effossum

7 Vulgo abest ἐν. Id inserendum monuerunt Xyl. & R. deinde cum W. adsentiente E. *Erechtheum* templum Neptuni.

Ἄβρωνος, Λυκούργου, Λυκόφρονος, ὡς εἰργάσαντο Τίμαρχος καὶ Κηφισόδοτος, οἱ Πραξιτέλους υἱεῖς· τὸν δὲ πίνακα ἀνέθηκεν Ἄβρων, ὁ παῖς αὐτοῦ, λαχὼν ἐκ τοῦ γένους τὴν ἱερωσύνην, καὶ παραχωρήσας τῷ ἀδελφῷ Λυκόφρονι· καὶ διὰ τοῦτο πεποίηται ὁ Ἄβρων προσδιδοὺς [1] αὐτῷ τὴν τρίαιναν. πάντων δὲ, ὧν διῴκησεν, ἀναγραφὴν ποιησάμενος, ἀνέθηκεν ἐν στήλῃ, πρὸ τῆς ὑπ' αὐτοῦ κατασκευασθείσης παλαίστρας, σκοπεῖν τοῖς βουλομένοις· οὐδεὶς μέντοι ἐδυνήθη ἐλέγξαι τὸν ἄνδρα νοσφισμοῦ. ἔγραψε δὲ καὶ Νεοπτόλεμον Ἀντικλέους στεφανῶσαι, καὶ εἰκόνα ἀναθεῖναι, ὅτι ἐπηγγείλατο χρυσώσειν τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν ἀγορᾷ, κατὰ τὴν μαντείαν τοῦ θεοῦ. ἐψηφίσατο δὲ καὶ Διοτίμου Διοπείθους Εὐωνυμεῖ [2] τιμὰς ἐπὶ Κτησικλέους ἄρχοντος.

## Δημοσθένης η.

Δημοσθένης Δημοσθένους καὶ Κλεοβούλης τῆς Γύλωνος [3] θυγατρὸς, τὸν δὲ δῆμον Παιανιεὺς, καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς ἐτῶν ἑπτὰ, μετ' ἀδελφῆς πενταετίδος, τὸν μὲν τῆς ὀρφανίας χρόνον παρὰ τῇ μητρὶ διῆγε, σχολάζων Ἰσοκράτει, ὥς τινες ἔφασαν, ὡς δὲ οἱ πλεῖστοι, Ἰσαίῳ τῷ Χαλκιδεῖ, ὃς ἦν Ἰσοκράτους μαθητὴς, διάγοντι ἐν Ἀθήναις, ζηλῶν [4] Θουκυδίδην καὶ Πλάτωνα τὸν φιλό-

1 R. mavult παραδιδοὺς vel ἐπιδιδοὺς.

2 Xyl. monente, fcribendum Εὐωνυμιέως. Εὐωνυμία tribus Pandionidis δῆμος.

3 Vulgo τῆς γυναικὸς τῆς θυγατρὸς; Graeco-lat. ed. 1624. τῆς γυναικὸς τῆς τοῦ Γυλῶνος θυγατρὸς. Xyl. Mez. & R. correctionem, quam cum W. dedi, commendarunt. Eandem receperunt Wolf. & Lambin. in hoc libello editionibus Demofthenis praefixo.

4 Verba haec, R. monente, e Photio fic funt ordinanda: Χαλκιδεῖ, διάγοντι ἐν Ἀθήναις, ὃς ἦν Ἰσοκράτους μὲν μαθητὴς, ζηλῶν δὲ Θουκυδ. ita ut haec ultima ad Ifaeum referantur. Kaltw. ea de Demofthene accipienda cenfet.

φιλόσοφον, οὗ τινες εἶπον προηγουμένως αὐτὸν [1] σχολάσαι. ὡς δὲ Ἡγησίας [2] ὁ Μάγνης φησὶν, ἐδεήθη τοῦ παιδαγωγοῦ, ἵνα Καλλιστράτου, Ἐμπαίδου [3], Ἀφιδναίου, ῥήτορος δοκίμου καὶ ἱππαρχήσαντος καὶ ἀναθέντος τὸν βωμὸν τῷ Ἑρμῇ τῷ ἀγοραίῳ, μέλλοντος ἐν τῷ δήμῳ λέγειν, ἀκούσῃ· ἀκούσας δὲ, ἐραστὴς ἐγένετο τῶν λόγων· καὶ τούτου μὲν ἐπ' ὀλίγον ἤκουσεν, ἕως ἐπεδήμει· ἐπειδὴ δὲ ὁ μὲν ἔφυγεν εἰς Θρᾴκην, ὁ δ' ἐγεγόνει ἐξ ἐφήβων, τηνικαῦτα παρέβαλλεν Ἰσοκράτει καὶ Πλάτωνι· εἶτα καὶ Ἰσαῖον ἀναλαβὼν εἰς τὴν οἰκίαν τετραετῆ χρονον αὐτὸν [4] διεπόνησε, μιμούμενος αὐτοῦ τοὺς λόγους. ὡς δὲ Κτησίβιός φησιν ἐν τῷ περὶ φιλοσοφίας, διὰ Καλλίου τοῦ Συρακουσίου πορίσας τοῦ [5] Ζήτου τοῦ Ἀμφιπολίτου λόγους, διὰ δὲ Χαρικλέους τοῦ Καρυστίου τοὺς Ἀλκιδάμαντος, ἀνέλαβεν αὐτούς. τελειωθεὶς δὲ, ἐλάττω παρὰ τῶν ἐπιτρόπων παραλαβὼν, ἔκρινεν αὐτοὺς ἐπιτροπῆς ἐπὶ Τιμοκρά-



1 Dedi sic e Xyl. mente pro vulg. ὃν τινες — αὐτῷ. Consentiunt Mez. Wolf. Lambin. & probat W. Tuetur R. vulgatam, cum non minus magister discipulo, quam discipulus magistro, dicatur σχολάζειν, ille docens, hic discens.

2 W. monente, Δημήτριος scribere debebat auctor. Vid. Ruhnken. ad Rut. Lup. p. 27.

3 Hoc vocabulum Xyl. mendosum esse monuit. R. quaerit, num Εὐμηλίδου? At W. docente, Καλλικράτους scribendum fuit, cum alius fuerit Callistratus Empedi filius. Vid. H. Vales. ad Ammian. Marc. XXX. p. 402. & Ruhnken. Hist. crit. Or. p. 60. Eadem de causa delendum monet W. καὶ ἱππαρχήσαντος, quippe ad Empedi filium, non ad Oratorem, pertinens. R. legi voluit δοκίμου, τοῦ καὶ ἱππαρχ.

4 Ita, W. judice, recte Xyl. Lambin. Wolf. dedique cum eodem. Vulgo αὐτόν.

5 W. rectius censet περισάμενος τοὺς: Mez. hoc, illud Lambin. notante. R. mavult εὐπορήσας τῶν Ζωίλου τοῦ Ἀμφ. & deinde τῶν Ἀλκιδάμαντος. Etiam Reines. Var. Lect. 3, 2. p. 328. correxit Ζωίλου; nec non Jonsius de scriptor. hist. philos. 2, 3. p. 126. Amplectitur id Kaltw. probans simul πορισάμενος.

κράτους ἄρχοντος, τρεῖς ὄντας, Ἄφοβον, Θηριπίδην [1], Δημοφῶντα ἢ Δημέαν· καὶ μάλιστα τούτου κατηγόρησεν, ἀδελφοῦ τῆς μητρὸς ὄντος, δέκα τάλαντα τίμημα ἑκάστῃ τῶν δικῶν ἐπιγραψάμενος· καὶ εἷλεν αὐτούς· τῆς δὲ καταδίκης οὐδὲν ἐπράξατο, τοὺς μὲν ἀργυρίου, τοὺς δὲ καὶ χάριτος [2]. Ἀριστοφῶντος δ᾽ ἤδη τὴν προστασίαν [3] διὰ γῆρας καταλιπόντος, καὶ χορηγὸς ἐγένετο. Μειδίαν δὲ, τὸν Ἀναγυράσιον, πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορηγοῦντα, εἰς κρίσιν καταστήσας, λαβὼν τρισχιλίας ἀφῆκε τῆς δίκης. λέγουσι δὲ, αὐτὸν ἔτι νέον ὄντα εἰς σπήλαιον ἀπιέναι, κἀκεῖ φιλολογεῖν τὸ ἥμισυ τῆς κεφαλῆς ξυράμενον, ἵνα μὴ προέρχοιτο· καὶ ἐπὶ στενῆς κλίνης κοιμᾶσθαι, ἵνα διὰ ταχέων ἀνίστηται· τό τε ῥῶ μὴ [4] δυνάμενον λέγειν ἐκπονῆσαι, καὶ τὸν ὦμον ἐν τῷ μελετᾶν κινοῦντα ἀπρεπῶς καταπαῦσαι, παραρτήσαντα ὀβελίσκον, ἢ (ὥς τινες) ξιφίδιον ἐκ τῆς ὀροφῆς, ἵνα φοβούμενος ἠρεμοίη· προβαίνοντα δὴ κατὰ τὴν τῶν λόγων ἰσχὺν, ἔσοπτρον ἰσομέγεθες αὐτῷ κατασκευάσαι, καὶ πρὸς τοῦτο ἀφορῶντα μελετᾶν, ἵνα ἐπανορθώσηται τὰ ἐλλείποντα· καὶ κατιόντα ἐπὶ τὸ Φαληρικὸν, πρὸς τὰς τῶν κυμάτων ἐμβολὰς τὰς σκέψεις ποιεῖσθαι, ἵν᾽, εἴ ποτε θορυβοίη ὁ δῆμος, μὴ ἐκσταίη· τοῦ δὲ πνεύματος αὐτῷ ἐνδέοντος, Νεοπτολέμῳ τῷ ὑποκριτῇ μυρίας δοῦναι, ἵνα ὅλας περιόδους ἀπνεύστως λέγῃ. ἐπεὶ δὲ τῷ πολιτεύεσθαι προσῆλθεν, εἰς δύο διῃρημένων τῶν ἐν τῇ πόλει, καὶ τῶν μὲν φιλιππιζόντων, τῶν δὲ ὑπὲρ τῆς ἐλευθερίας δημη-

1 Θηριππίδην scribi vult R.

2 R. monente, subaudiendum εἵνεκα, & locus potest integer esse. Suppletum tamen ab Hoeschelio in Photio fuit ἀφεὶς, quod & Wolf. addit. Lambin. in margine addendum notavit ἀφιέναι πεισθείς.

3 Kaltw. excidisse suspicatur genitivum θεάτρου, χοροῦ, vel similem.

4 Ald. Baf. uno vocabulo jungunt ῥώμη, & habent deinde cum Petav. ἐκποιῆσαι. De utroque corrigendo monuit Xyl.

δημηγορούντων, τὴν τῶν ἀντιπολιτευομένων Φιλίππῳ τάξιν εἵλετο καὶ παντὸς τοῦ χρόνου διετέλεσε συμβουλεύων τοῖς κινδυνεύουσιν ὑπὸ Φιλίππῳ γενέσθαι βοηθεῖν, συμπολιτευόμενος Ὑπερείδῃ, Ναυσικλεῖ, Πολυεύκτῳ, Διοτίμῳ· διὸ καὶ συμμάχους τοῖς Ἀθηναίοις ἐποίησε Θηβαίους, Εὐβοεῖς, Κερκυραίους, Κορινθίους, Βοιωτούς, καὶ πολλοὺς ἄλλους πρὸς τούτοις. ἐκπεσὼν δέ ποτ' ἐπὶ τῆς ἐκκλησίας καὶ ἀθυμῶν, ἐβάδιζεν οἴκοι· συντυχὼν δ' αὐτῷ Εὔνομος ὁ Θριάσιος, πρεσβύτης ἤδη ὤν, προετρέψατο τὸν Δημοσθένην· μάλιστα δὲ ὑποκριτὴς Ἀνδρόνικος, εἰπὼν [1], ὡς οἱ μὲν λόγοι καλῶς ἔχοιεν, λείποι δ' αὐτῷ τὰ τῆς ὑποκρίσεως. ἀπεμνημόνευσέ τε τῶν ἐπὶ τῇ ἐκκλησίᾳ ὑπ' αὐτοῦ [2] λελεγμένων· καὶ δὴ πιστεύσαντα τὸν Δημοσθένη παραδοῦναι αὐτὸν τῷ Ἀνδρονίκῳ. ὅθεν ἐρομένου αὐτὸν [3], τί πρῶτον ἐν ῥητορικῇ, εἶπεν· Ὑπόκρισις. καὶ τί δεύτερον· Ὑπόκρισις· καὶ τί τρίτον· Ὑπόκρισις. προελθὼν δὲ πάλιν εἰς τὰς ἐκκλησίας, νεωτερικῶς τινα λέγων, διεσύρετο· ὡς κωμῳδηθῆναι αὐτὸν ὑπ' Ἀντιφάνους, καὶ Τιμοκλέους· Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα· ὀμόσας καὶ τοῦτον τὸν τρόπον ἐν τῷ δήμῳ, θόρυβον ἐκίνησεν. ὤμνυε δὲ καὶ τὸν Ἀσκληπιόν, προπαροξύνων Ἀσκλήπιον. καὶ παρεδείκνυεν αὐτὸν ὀρθῶς λέγοντα· εἶναι γὰρ τὸν θεὸν ἤπιον. καὶ ἐπὶ τούτῳ πολλάκις ἐθορυβήθη. σχολάσας δ' Εὐβουλίδῃ τῷ διαλεκτικῷ Μιλησίῳ, ἐπηνωρθώσατο πάντα. γενόμενος δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει, καὶ ἀκούσας Λαμάχου τοῦ Τερειναίου [4], Φιλίππου καὶ Ἀλεξάνδρου ἐγκώμιον ἀναγινώσκοντος,



1 R. mavult Ἀνδρόνικος, ὃς εἰπών.

2 Vulgo ὑπὸ τῆς ἐκκλησίας αὐτοῦ. R. corrigendum censuit ἀπεμνημόνευσέ τι τῶν ἐπὶ τῆς ἐκκλ. Dedi, quod W. ex E. Lambin. Wolf. recepit.

3 Mez. corrigit αὐτόν τινος, τί —.

4 In Demosth. Vit (Vol. V. p. 270. not. 2.) est Μυῤῥηναίου. Terina est urbs Italica: quare Xyl. hoc non quadrare suspicatur. Si alteri favendum est lectioni, dubium, legendumne Μυριναίου a Lemni urbe, Μυρίνᾳ, an Μυῤῥινουσίου a pago Atticae Μυῤῥινοῦς.

σκοντος, Θηβαίων δὲ καὶ Ὀλυνθίων κατατρέχοντος, παρανας὘ς ἀρχαίων ποιητῶν μαρτυρίας προηνέγκατο περὶ τῶν Θηβαίοις καὶ Ὀλυνθίοις καλῶς πραχθέντων, ὡς παύσασθαί τε τολοιπὸν τὸν Λάμαχον, καὶ φυγεῖν ἐκ τῆς πανηγύρεως. Φίλιππον δὲ πρὸς τὰς ἀναφέροντας αὐτῷ τὰς κατ' αὐτὰ δημηγορίας, εἰπεῖν, ὅτι καὶ αὐτὸς ἂν ἀκάων λέγοντος Δημοσθένες, ἐχειροτόνησα τὸν ἄνδρα πρὸς τὸν κατ' ἐμὰ πόλεμον· ἐκάλει δὲ τὰς μὲν αὐτὰ λόγας ὁμοίας [1] τοῖς ςρατιώταις διὰ τὴν πολεμικὴν [2] δύναμιν, τὰς δ' Ἰσοκράτας, τοῖς ἀθληταῖς· τέρψιν γὰρ παρέχειν αὐτὰς θεατρικήν. ἑπ]ὰ δὲ καὶ τριάκοντα ἔτη γεγονὼς, λογιζομένοις ἀπὸ Δεξιθέα εἰς Καλλίμαχον, ἐφ' ἃ παρ' Ὀλυνθίων ἧκε πρεσβεία περὶ τῆς βοηθείας, ἐπεὶ ἐπιέζοντο ὑπὸ Φιλίππα τῷ πολέμῳ, ἔπεισεν ἐκπέμψαι τὴν βοήθειαν· τῷ δὲ ἑξῆς, ἐφ' ἃ Πλάτων ἐτελεύτησε, Φίλιππος Ὀλυνθίας κατεςρέψατο. ἔγνω δ' αὐτὸν καὶ Ξενοφῶν ὁ Σωκρατικὸς ἢ ἀρχόμενον, ἢ ἀκμάζοντα· τῷ μὲν γὰρ τὰ Ἑλληνικὰ ἐτελεῖτο εἰς τὰ περὶ τὴν [3] ἐν Μαντινείᾳ μάχην, ἄρχοντα δὲ Χαρικλείδην· ὁ δὲ πρότερον ἐπὶ Τιμοκράτας εἷλε τὰς ἐπιτρόπας. φεύγοντος δ' Αἰσχίνα μετὰ τὴν καταδίκην, ἵππῳ κατεδίωξεν αὐτόν· τὰ δ' οἰηθέντος, αὐτὸν συλλαμβάνεσθαι, καὶ προσπεσόντος καὶ συγκαλυψαμένα, ἀνας὘σας αὐτὸν παρεμυθήσατο, καὶ τάλαντον ἔδωκεν ἀργυρία. καὶ συνεβάλευσε δὲ τῷ δήμῳ ξενικὸν ἐν Θάσῳ τρέφειν, καὶ ἐπὶ τάτῳ τριηράρχης ἐξέπλευσε. σιτώνης δὲ γενόμενος, καὶ κατηγορηθεὶς

1 Ita R. legendum monuit, dedique cum W. id ex E. Lambin. Wolf. sumente. Vulgo ἀμοίως.

2 Ita apud Photium legitur, dedit Wolf. vertit Amiot. & probat Salmas. dedique cum W. pro vulg. πομπικήν. Neutrum probavit R. commendans πολιτικήν, quod Kaltw. vertendo exprimit.

3 Vulgo abest εἰς ante τὰ, quod cum W. dedi ex Wolf. Lambin. Xyl. Susp. R. τῷ γὰρ τὰ Ἑλληνικὰ τελεῖται περὶ μὲν τὴν ἐν M. *nam Xenophontis historia rerum Graecarum desinit in pugna ad Mantineam & Archonte Charicleida.*

ρηθεὶς κλοπῆς, ἀφείθη. Φιλίππε δ' Ἐλάτειαν καταλαμβανομένε [1], καὶ αὐτὸς τοῖς ἐν Χαιρωνείᾳ μαχεσαμένοις συνεξῆλθεν· ὅθεν [2] καὶ δοκεῖ τὴν τάξιν λιπεῖν, φεύγοντος δ' αὐτε βάτον ἐπιλαβέσθαι τῆς χλαμύδος, τὸν δ' ἐπιςραφέντα εἰπεῖν· Ζώγρει· εἶχε δὲ καὶ ἐπίσημον ἐπὶ τῆς ἀσπίδος· Ἀγαθὴν τύχην. εἶπε μέντοι τὸν ἐπιτάφιον ἐπὶ τοῖς πεσεσι [3]. μετὰ δὲ ταῦτα πρὸς τὴν ἐπισκευὴν τῆς πόλεως τῇ ἐπιμελείᾳ [4] προσελθὼν, καὶ τῶν τειχῶν ἐπιμελητὴς χειροτονηθεὶς, ἀπὸ τῆς ἰδίας ἐσίας εἰσήνεγκε τὸ ἀναλωθὲν ἀργύριον, μνᾶς ἑκατόν· ἐπέδωκε δὲ καὶ θεωροῖς μυρίας [5]. τριήρες τ' ἐπιβὰς, περιέπλευσε τὲς συμμάχες ἀργυρολογῶν. ἐφ' οἷς πολλάκις ἐςεφανώθη, πρότερον μὲν ὑπὸ Δημοτελες, Ἀριςονείκε, Ὑπερείδε χρυσῷ ςεφάνῳ, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος· καὶ γραφέντος τε ψηφίσματος παρανόμων ὑπὸ Διοδότε καὶ Αἰχίνε, ἀπολογέμενος ἐνίκησεν, ὥςε τὸ πέμπτον μέρος τῶν ψήφων τὸν διώκοντα μὴ μεταλαβεῖν. ὕςερον δ' Ἀλεξάνδρε ἐπὶ τὴν Ἀσίαν ςρατευομένε, καὶ φυγόντος Ἁρπάλε μετὰ χρημάτων εἰς Ἀθήνας, τὸ μὲν πρῶτον ἐκώλυσεν αὐτὸν εἰσδεχθῆναι· ἐπειδὴ δ' εἰσέπλευσε, λαβὼν Δαρεικὲς χιλίες μετετάξατο· βελομένων τ' Ἀθηναίων Ἀντιπάτρῳ παραδεναι τὸν ἄνθρωπον, ἀντεῖπεν, ἔγραψέ τ' ἀποθέσθαι τὰ χρήματα εἰς ἀκρόπολιν, ἤδη [6] τῷ δήμῳ τὸν ἀριθμὸν εἰπόντα·



1 E. καταλαβομένε: rectius forte, W. judice.

2 W. fufp. ὅτε.

3 Argumento refutari vult auctor fuperiorem traditionem, ut calumniam. Nemini enim licebat publice loqui, nedum loco & tempore tam illuftri, qui ex acie fugiffet & fcutum abjeciffet. R.

4 R. judice, videtur τῇ ἐπιμελείᾳ, ut redundans, amputari oportere.

5 fubintell. δραχμάς. Kaltw.

6 R. fufp. ἀκρόπολιν, αὐτὸν δὲ φρερεῖν ἤδη — *ipfum autem Harpalum in cuftodiam dare, ut qui jam indicaffet pecuniarum numerum.*

τα· φήσαντος δὲ Ἁρπάλου ἑπτακόσια καὶ πεντήκοντα [1], ἢ ὀλίγῳ πλείονα, ὥς φησι Φιλόχορος, μετὰ δὲ ταῦτα φυγόντος Ἁρπάλου ἐκ τοῦ δεσμωτηρίου, ἐν ᾧ ἐφυλάσσετο, μέχρις ἂν ἀφίκηταί τις παρ' Ἀλεξάνδρου, καὶ πορευθέντος εἰς τὴν Κρήτην, ἢ (ὡς ἔνιοι) ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, αἰτίαν ἔσχεν ὁ Δημοσθένης δωροδοκίας, καὶ διὰ τοῦτο μήτε τὸν ἀριθμὸν τῶν ἀνακομισθέντων μεμηνυκὼς, μήτε τὴν τῶν φυλασσόντων ἀμέλειαν. εἰσαχθεὶς δ' εἰς δικαστήριον ὑπὸ Ὑπερείδου, Πυθέου [2], Μενεσαίχμου, Ἱμεραίου [3], Πατροκλέους, οἳ ἐποίησαν καταγνῶναι αὐτοῦ τὴν ἐξ Ἀρείου πάγου βουλὴν, καὶ ἁλοὺς ἔφυγε, πενταπλάσιον ἀποτίσαι μὴ δυνάμενος, (εἶχε δ' αἰτίαν τριάκοντα τάλαντα λαβεῖν), ἢ (ὡς ἔνιοι) οὐχ ὑπομείνας τὴν κρίσιν. μετὰ δὲ τοῦτον τὸν χρόνον τῶν Ἀθηναίων Πολύευκτον πεμψάντων πρεσβευτὴν πρὸς τὸ κοινὸν τῶν Ἀρκάδων, ὥστ' ἀποστῆναι [4] αὐτοὺς τῆς τῶν Μακεδόνων συμμαχίας, καὶ τοῦ Πολυεύκτου πεῖσαι μὴ δυναμένου, ἐπιφανεὶς Δημοσθένης καὶ συνειπὼν ἔπεισεν. ἐφ' ᾧ θαυμασθεὶς μετὰ χρόνον τινὰ κάθοδον εὕρατο, ψηφίσματος γραφέντος, τριήρους ἀποσταλείσης, τῶν δ' Ἀθηναίων ψηφισαμένων εἰς ἃ ὤφειλε τριάκοντα, νῆσαι [5] αὐτὸν τὸν βωμὸν τοῦ σωτῆρος Διὸς ἐν Πειραιεῖ, καὶ ἀφεῖσθαι, τοῦτο γράψαντος τὸ ψήφισμα Δήμωνος Παιανιέως,

1 Vulgo ἢ πεντήκοντα. R. hoc ἢ deleri voluit, addens, a Photio haec verius & plenius narrari. Petav. ἑπτακόσια, ἢ πεντακόσια. Dedi καὶ pro ἢ e Baf. cum W. adsentientibus Xyl. Lambin. Wolf. Mez.

2 Πυθέου R. scribendum monuit, & e Petav. notatur, dedique cum W. adsentientibus Xyl. Wolf. Lambin.

3 R. mavult Ἱμερίου, addens tamen, Photium facere cum vulgata.

4 R. monente, ἀποστῆναι an ἀποστῆσαι legas, parum refert. W. mavult ἀποστῆσαι.

5 i. e. *exaggerare*, *in altius efferre*. Photius planius rem refert: ἀντὶ τῶν τριάκοντα ταλάντων, ἃ ὤφειλε, τὸν τοῦ Διὸς βωμὸν ἐν Πειραιεῖ ἐπισκευάσασθαι.

ως, ὃς ἦν ἀνεψιὸς αὐτῷ. πάλιν ἐν τέτοις ἦν πολιτευόμενος [1]. Ἀντιπάτρε δ' εἰς Λάμειαν ὑπὸ τῶν Ἑλλήνων συγκλεισθέντος, τῶν Ἀθηναίων εὐαγγέλια θυόντων, πρός τινα τῶν ἑταίρων, Ἀγησίςρατον, ἔφη, ᾽ε τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις περὶ τῶν πραγμάτων· ἐπίςαμαι γαρ (εἶπεν [2]) τὰς Ἕλληνας ςάδιον μὲν πολεμεῖν καὶ [3] εἰδότας καὶ δυναμένες, δόλιχον δ' ἐκέτι. Φάρσαλον δὲ ἑλόντος [4] Ἀντιπάτρε, καὶ πολιορκήσειν ἀπειλᾶντος Ἀθηναίες, εἰ μὴ τὰς ῥήτορας ἐκδοίησαν, καταλιπὼν ὁ Δημοσθένης τὴν πόλιν ἔφυγε, πρῶτον μὲν εἰς Αἴγιναν ἐπὶ τὸ Αἰάκειον [5] καθεζόμενος, φοβηθεὶς δ' εἰς Καλαβρίαν [6] μετέςη. ἐκδιδόναι δὲ τὰς ῥήτορας τῶν Ἀθηναίων ψηφισαμένων, κἀκεῖνον, καθέζετο ἱκέτης ἐν τῷ τε Ποσειδῶνος ἱερῷ, ἐλθόντος δ' ἐπ' αὐτὸν Ἀρχίε, τε Φυγαδοθήρε ἐπικαλεμένε, ὃς παρέβαλεν Ἀναξιμένει τῷ ῥήτορι, πείθοντος αὐτὸν ἀναςῆναι, ὡς φίλον Ἀντιπάτρῳ γενησόμενον, εἶπεν, ὅτι Οὔτε, ὅτε ἐτραγῴδεις, ἔπειθές με, ἔτε νῦν πείσεις συμβελεύων· τε δ' ἐπιχειρᾶντος βιάζεσθαι, ἐκώλυσαν αὐτὸν οἱ κατὰ τὴν πόλιν· καὶ Δημοσθένης ἔφη· Οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς Καλαβρίαν,



1 Lambin. corrigit ἦν πάλιν ἐν τοῖς πολιτευομένοις; Photius, καὶ ἦν παλιν κατὰ τὸ πρότερον πολιτευόμενος; R. mavult ἐν τοῖς αὐτοῖς ἦν.

2 Dedi fic e R. mente pro vulg. εἰπεῖν.

3 hoc καὶ deleri voluit R.

4 R. ad haec: „Quid Pharfali expugnationi cum obfidione Athenarum? Videtur nomen loci requiri, Athenis propinqui. Verumtamen Antipater tum in Theffalia bellum gerebat. Praeterea quoque Pharfalus in bello Lamiaco a fcriptoribus non nominatur."

5 Ita ex Plut. Vit. Demofth. reponendum monuit Xyl. dedique cum W. adfentientibus Wolf. & Lambin. At R. fufp. ἐπὶ τὸ Αἰάκειον, *ad Aiacis fanum.* Vid. Vol. V. p. 298. not. 7.

6 Turn. V. Petav. Καλαυρίαν. Vid. ib. p. 299. not. 2. Lambin. & Wolf. Καλαυρίαν hic & infra, rectius, W. judice, in libris autem Καλαβρίαν exftare notante.

ἀλλ' ὡς ἐλέγξων Μακεδόνας καὶ κατὰ τῶν θεῶν [1] βιασαμένους, αἰτήσας τε γραμματεῖον, ἔγραψεν (ὡς μὲν Δημήτριος ὁ Μάγνης Φησὶ) τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ἐπιγεγραμμένον ὑπὸ τῶν Ἀθηναίων ὕστερον·

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, ἔχες,
Οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

κεῖται δ' εἰκὼν πλησίον τοῦ περισχοινίσματος καὶ τοῦ βωμοῦ τῶν δώδεκα θεῶν, ὑπὸ Πολυεύκτου πεποιημένη. ὡς δ' ἔνιοί Φασι, τοῦτο εὑρέθη γεγραμμένον· Δημοσθένης Ἀντιπάτρῳ χαίρειν. ἀποθανεῖν δ' αὐτὸν Φιλόχορος μέν Φησι Φάρμακον πιόντα· Σάτυρος δὲ, ὁ συγγραΦεὺς, τὸν κάλαμον πεΦαρμάχθαι, ᾧ γράΦειν ἤρξατο τὴν ἐπιστολὴν, οὗ γευσάμενον ἀποθανεῖν. Ἐρατοσθένης δὲ, ἐκ πολλοῦ δεδοικότα Μακεδόνας, περὶ τῷ βραχίονι κρίκον περικεῖσθαι πεΦαρμαγμένον· εἰσὶ δ', οἵ Φασι, συσχόντα αὐτὸν τὸ πνεῦμα ἀποθανεῖν· οἱ δ' εἶπον, τοῦ κατὰ τὴν σΦραγίδα Φαρμάκου γευσάμενον [2]. Ἐβίω δὲ, ὡς μὲν οἱ τὰ πλείω λέγουσιν ἔτη ἑβδομήκοντα· ὡς δὲ οἱ τὰ ἐλάττω, ἑπτὰ καὶ ἑξήκοντα. Ἐπολιτεύσατο δὲ δύο καὶ εἴκοσιν. ἡνίκα δὲ Φίλιππος ἐτεθνήκει, λαμπρὰν ἐσθῆτα προῆλθεν ἔχων, καίτοι τῆς θυγατρὸς αὐτοῦ νεωστὶ τετελευτηκυίας, ἐΦηδόμενος τῷ τοῦ Μακεδόνος θανάτῳ. συνήργησε δὲ καὶ Θηβαίοις πρὸς Ἀλέξανδρον πολεμοῦσι, καὶ τοὺς ἄλλους Ἕλληνας ἐπέῤῥωσεν ἀεί· διόπερ Θήβας κατασκάψας, ἐζήτει παρ' Ἀθηναίων Ἀλέξανδρος αὐτὸν, ἀπειλῶν, εἰ μὴ δοίησαν. στρατευομένῳ δ' αὐτῷ ἐπὶ Πέρσας, καὶ αἰτοῦντι ναυτικὸν παρ' Ἀθηναίων, ἀντεῖπεν, ἄδηλον εἰπὼν, εἰ οὐ κατὰ τῶν παρασχόντων χρήσεται. κατέλιπε δύο παῖδας ἐκ μιᾶς γυναικὸς τῶν εὐδοκι-

1 R. mavult καὶ τὰ τῶν θεῶν, scil. ἱερὰ vel χρήματα, quo etiam supplices pertinent.

2 Vulgo post γευσάμενον est lacuna usque ad ἐπολιτεύσατο. Eam e Photio explevi cum W. jubente R. cum Salmas. Alii quidem aliter hos annos computant.

δοκίμων [1] Ἡλιοδώρου τινὸς θυγατρός· θυγατέρα μίαν ἔσχεν, ἣ παῖς ἔτι οὖσα, πρὸ γάμου ἐτελεύτησεν· εἶχε δὲ καὶ ἀδελφὴν, ἐξ ἧς καὶ Λάχου [2] Λευκονέως ἀδελφιδοῦς αὐτῷ Δημοχάρης ἐγένετο, ἀνὴρ καὶ κατὰ πόλεμον ἀγαθὸς, καὶ κατὰ τοὺς πολιτικοὺς λόγους οὐδενὸς χείρων. ἔστι δ' αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ εἰσιόντων πρὸς τὴν ἑστίαν δεξιᾷ, ὁ πρῶτος περιεζωσμένος [3] ἅμα τῷ ἱματίῳ καὶ ξίφος· οὕτω γὰρ δημηγορῆσαι λέγεται, ἡνίκα Ἀντίπατρος ἐζήτει τοὺς ῥήτορας. χρόνῳ δὲ ὕστερον Ἀθηναῖοι σίτησίν τ' ἐν πρυτανείῳ τοῖς συγγενέσι τοῦ Δημοσθένους ἔδοσαν, καὶ αὐτῷ τετελευτηκότι τὴν εἰκόνα ἀνέθεσαν ἐν ἀγορᾷ, ἐπὶ Γοργίου ἄρχοντος, αἰτησαμένου αὐτῷ τὰς δωρεὰς τοῦ ἀδελφιδοῦ Δημοχάρους· ᾧ καὶ αὐτῷ πάλιν ὁ υἱὸς Λάχης Δημοχάρους Λευκονεὺς ᾐτήσατο δωρεὰς, ἐπὶ Πυθαράτου ἄρχοντος δεκάτῳ δ' ἔτει [4] ὕστερον, εἰς τὴν τῆς εἰκόνος στάσιν [5] ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν πρυτανείῳ, αὐτῷ τε καὶ ἐγγόνων ἀεὶ [6] τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν ἅπασι τοῖς ἀγῶσι· καὶ ἔστι τὰ ψηφίσματα ὑπὲρ ἀμφοτέρων ἀναγεγραμμένα· ἡ δ' εἰκὼν τοῦ Δημοχάρους εἰς τὸ πρυτανεῖον μετεκομίσθη, περὶ ἧς προείρηται. Φέρονται δ' αὐτοῦ λόγοι γνήσιοι ἑξήκοντα πέντε. Φασὶ δέ τινες, καὶ ἀσώτως αὐτὸν βιῶναι, γυναικείαις τ' ἐσθῆσι χρώμενον, καὶ κωμάζοντα ἑκάστοτε, ὅθεν Βάταλον ἐπικληθῆναι· οἱ δὲ ὑποκορισικῶς

1 Secutus sum W. ita a Lambin. & Mez. sumentem. Vulgo τῶν εὐδοκίμου. R. susp. τῶν ἀδοκίμων, cum, si nobilis fuisset Heliodorus, non addidisset Plut. τινός.

2 Ergone a Λάχης non solummodo Λάχητος, sed etiam Λάχου formarunt? R. in voce Λευκονέως W. scripturam recepi, a Suida firmatam. Vulgo Λευκωνέως.

3 Subaud. ἀνὴρ, cum non ad εἰκὼν referatur.

4 Inserendo δ' ἔτει W. sum secutus, ita ex E. & H. sumentem. Vulgo δεκάτῳ ὕστερον. Xyl. Lambin. Wolf. δεκάτῳ ὕστερον ἔτει.

5 Ald. Bas. πᾶσιν. Xyl. e Ms. correxit.

6 Vid. monente R. ad h. l. Casaubon. ad Theophr. Char. 6.

κῶς ἀπὸ τῦ ὀνόματος τῆς τροφῦ λέγυσιν αὐτὸν ὕτω λελοιδορῆσθαι. Διογένης δὲ ὁ κύων θεασάμενος αὐτόν ποτ' ἐν καπηλείῳ αἰχυνόμενον καὶ ὑποχωρῦντα, εἶπεν· Ὅσῳ μᾶλλον ὑποχωρεῖς, τοσύτῳ μᾶλλον ἐν τῷ καπηλείῳ ἔσῃ. ἔλεγε δ' αὐτὸν παρασκώπτων ἐν μὲν τοῖς λόγοις Σκύθην εἶναι, ἐν δὲ ταῖς μάχαις ἀςικόν· ἔλαβε καὶ παρὰ Ἐφιάλτυ [1] χρυσίον, ἑνὸς τῶν δημαγωγῶν, ὃς πρεσβεύσας πρὸς βασιλέα χρήματα φέρων ἧκε λάθρα, ὅπως διανείμας τοῖς δημαγωγοῖς, τὸν πρὸς Φίλιππον ἐξάψῃ πόλεμον· καὶ ἰδίᾳ αὐτὸν δωροδοκῆσαι παρὰ βασιλέως φασὶ δαρεικὺς τριχιλίυς. Ἀναξίλαν δέ τινα Ὠρείτην, ξένον αὐτῦ γεγονότα, συλλαβὼν ἐβασάνιζεν ὡς κατάσκοπον, ὐδὲν δ' ἐξειπόντα ἐψηφίσατο τοῖς ἕνδεκα παραδῦναι. λέγειν δέ ποτε κωλυόμενος ὑπ' Ἀθηναίων ἐν ἐκκλησίᾳ, βραχὺ ἔφη βύλεσθαι πρὸς αὐτὺς εἰπεῖν· τῶν δὲ σιωπησάντων· Νεανίας (εἶπε) θέρυς ὥρᾳ ἐμισθώσατο ἐξ ἄςεος ὄνον Μεγάραδε· μεσύσης δὲ τῆς ἡμέρας, καὶ σφοδρῶς φλέγοντος τῦ ἡλίυ, ἑκάτερος αὐτῶν ἐβύλετο ὑποδύεσθαι ὑπὸ τὴν σκιάν· εἶργον δ' ἀλλήλυς, ὁ μὲν μεμισθωκέναι τὸν ὄνον, ὐ τὴν σκιὰν, λέγων· ὁ δὲ μεμισθωμένος, τὴν πᾶσαν ἔχειν ἐξυσίαν. καὶ ταῦτ' εἰπὼν, ἀπῄει. τῶν δ' Ἀθηναίων ἐπιχόντων, καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ [2]. Εἶθ' ὑπὲρ μὲν ὄνυ σκιᾶς (ἔφη) βύλεσθε ἀκύειν, λέγοντος δὲ ὑπὲρ σπυδαίων πραγμάτων ὐ βύλεσθε; Πώλυ δέ ποτε, τῦ ὑποκριτῦ, πρὸς αὐτὸν εἰπόντος, ὅτι δυσὶν ἡμέραις ἀγωνισάμενος τάλαντον λάβοι μισθόν· Ἐγὼ δὲ (εἶπε) πέντε τάλαντα, μίαν ἡμέραν σιωπήσας [3]. παραφθαρεὶς δὲ τὴν φωνὴν ἐν

1 Ald. Baſ. Ἀλφιάτυ; idem e Petav. notatur. Xyl. correxit. Ejd. Ms. Ἐλιφιάτυ. Hujus viri iterum fit mentio in *Hyperide*. Turn. deinde & V. χρυσίυ.

2 abſunt τῷ λόγῳ a Petav.

3 Rem hanc refert Gellius XI, 9. aliter quidem a Plut. in Vit. Demoſth. c. 25. propoſitam.

ἐν ἐκκλησίᾳ καὶ θορυβηθεὶς, τὰς ὑποκριτὰς ἔφη δεῖν κρίνειν ἐκ τῆς φωνῆς· τὰς δὲ ῥήτορας ἐκ τῆς γνώμης. ὀνειδίσαντος δ' αὐτὸν Ἐπικλέας, ὅτι ἀεὶ σκέπτοιτο· Αἰσχυνοίμην γὰρ, (εἶπεν) εἰ τηλικέτῳ δήμῳ συμβελεύων αὐτοσχεδιάζοιμι. ἱςορᾶσι δὲ, ὡς ἐδὲ λύχνον ἔσβεσεν, ἄχρι πεντήκοντα ἐτῶν ἐγένετο, διακρίνων [1] τὰς λόγας. αὐτὸς δέ φησιν ὑδροποσίᾳ χρήσασθαι. ἔγνω δ' αὐτὸν καὶ Λυσίας ὁ ῥήτωρ, καὶ Ἰσοκράτης εἶδε πολιτευόμενον ἄχρι τῆς ἐν Χαιρωνείᾳ μάχης, καί τινες τῶν Σωκρατικῶν φιλοσόφων. τὰς δὲ πλείςας λόγας εἶπεν αὐτοσχεδιάσας, εὖ πρὸς αὐτὰς [2] πεφυκώς. πρῶτος δ' ἔγραψε ςεφανωθῆναι αὐτὸν χρυσῷ ςεφάνῳ Ἀριςόνικος Νικοφάνας Ἀναγυράσιος, ὑπωμόσατο δὲ Διώνδας.

## Ὑπερείδης θ'.

Ὑπερείδης Γλαυκίππε μὲν ἦν πατρὸς τᾶ Διονυσίε, τὸν δὲ δῆμον Κολυττεύς. ἔσχε δὲ υἱὸν ὁμώνυμον τῷ πατρὶ Γλαύκιππον ῥήτορα, καὶ λόγας συγγράψαντα· ἃ πάλιν Ἀλφίνας [3] ἐγένετο. ἀκροατὴς δὲ Πλάτωνος γενόμενος τᾶ φιλοσόφε, ἅμα Λυκέργε καὶ Ἰσοκράτας τᾶ ῥήτορος, ἐπολιτεύσατο Ἀθήνησι, καθ' ὃν χρόνον Ἀλέξανδρος τῶν Ἑλληνικῶν ἥπτετο πραγμάτων· καὶ περὶ τῶν ςρατηγῶν, ὧν ᾔτει παρ' Ἀθηναίων, ἀντεῖπε, καὶ περὶ τῶν τριήρων· συνεβέλευσε δὲ [4] καὶ τὸ ἐπὶ Ταινάρῳ ξενικὸν μὴ διαλῦσαι, ὃ Χάρης ἡγεῖτο, εὐνόως [5] πρὸς τὸν ςρατηγὸν διακείμενος. τὸ δὲ πρῶτον μισθᾶ δίκας ἔλεγε.

1 Lambin. διατρίβων, quod rectius censet W.

2 W. cum R. susp. πρὸς αὐτὸ, sc. τὸ αὐτοσχεδιάζειν.

3 Dedi hoc nomen, quale infra iterum occurrit, Xyl. Ms. illud ita exhibente. R. aut Ἀλφίνας, aut Ἀλφίνου legi voluit. Notatur quoque in ind. Var. e cod. innominato, & a W. ex E. & H. Vulgo Ἀλφινός.

4 Dedi δὲ, quod vulgo abest, cum W. ex Petav. & Mez.

5 R. monente, εὐνόως analogiae quidem non adversatur, verum usus non fert.

λεγε. δόξας δὲ [1] κεκοινωνηκέναι τῶν Περσικῶν χρημάτων Ἐφιάλτῃ, τριήραρχός τε αἱρεθεὶς, ὅτε Βυζάντιον ἐπολιόρκει Φίλιππος, βοηθὸς Βυζαντίοις ἐκπεμφθεὶς κατὰ τὸν ἐνιαυτὸν τοῦτον, ὑπέστη χορηγῆσαι, τῶν ἄλλων λειτουργίας πάσης ἀφειμένων. ἔγραψε δὲ καὶ [2] Δημοσθένους [3] τιμὰς, καὶ τοῦ ψηφίσματος ὑπὸ Διώνδα παρανόμων γραφέντος, ἀπέφυγε. φίλος δ' ὢν τοῖς περὶ Δημοσθένην καὶ Λυσικλέα καὶ Λυκοῦργον, οὐκ ἐνέμεινε μέχρι τέλους· ἀλλ' ἐπεὶ Λυσικλῆς μὲν καὶ Λυκοῦργος ἐτεθνήκεσαν, Δημοσθένης δὲ ὡς παρὰ Ἁρπάλου δωροδοκήσας ἐκρίνετο, προχειρισθεὶς ἐξ ἁπάντων, (μόνος γὰρ ἔμεινεν ἀδωροδόκητος) κατηγόρησεν αὐτοῦ. κριθεὶς δὲ ὑπὸ τοῦ Ἀριστογείτονος παρανόμων ἐπὶ τῷ γράψαι μετὰ Χαιρώνειαν, τοὺς μετοίκους πολίτας ποιήσασθαι, τοὺς δὲ δούλους ἐλευθέρους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ ἀποθέσθαι, ἀπέφυγεν. αἰτιωμένων δέ τινων αὐτὸν, ὡς παριδόντα πολλοὺς νόμους ἐν τῷ ψηφίσματι· Ἐπεσκότει [4] (ἔφη) μοι τὰ Μακεδόνων ὅπλα, καὶ οὐκ [5] ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη. μετὰ [6] μέντοι τοῦτο νεκρῶν ἔδωκεν ἀναίρεσιν ὁ Φίλιππος φοβηθεὶς, πρότερον οὐ δοὺς τοῖς ἐλθοῦσιν ἐκ Λεβαδίας κήρυξιν. ὕστερον δὲ μετὰ τὰ περὶ Κράνωνα συμβάντα

1 R. susp. ἔδοξε δὲ καὶ.

2 Iterum δὲ e Petav. recepi. Vulgo abest.

3 R. mavult aut Δημοσθένει, aut τὰς Δημοσθένους τιμάς. Pro τιμὰς Bas. τινάς. Xyl. e Ms. & Ald. correxit.

4 Vulgo εἰ μὴ ἐπεσκότει, quod Steph. dederat, adsentientibus Leonic. Schott. Anon. Hinc R. [illegible]at, post ὅπλα videri excidisse οὐκ ἂν ἐποίησα, aut delendum εἰ μή. Absunt hae voculae ab Ald. & Bas. & delevi cum W. adsentientibus Xyl. E. H. Petav.

5 Inserendo καί, quod vulgo abest, secutus sum W., id e Phot. & Mez. sumentem.

6 Ita e Bas. restitui, quod W. ex E. H. Schott. Mez. sumsit, pro vulg. κατὰ, quod ex correctione quadam vitiose in Ald. dati μετὰ ortum videtur.

βαντα ἐξαιτηθεὶς ὑπ' Ἀντιπάτρȣ, καὶ μέλλων ἐκδίδοσθαι ὑπὸ τȣ̃ δήμȣ, ἔφυγεν ἐκ τῆς πόλεως εἰς Αἴγιναν, ἅμα τοῖς κατεψηφισμένοις· καὶ συμβαλὼν Δημοσθένει καὶ περὶ τῆς [1] διαφορᾶς ἀπολογησάμενος, ἀπαλλαγεὶς ἐκεῖθεν, ὑπ' Ἀρχίȣ τȣ̃ Φυγαδοθήρȣ ἐπικληθέντος, Θȣρίȣ μὲν τὸ γένος, ὑποκριτȣ̃ δὲ τὰ πρῶτα, τότε δὲ τῷ Ἀντιπάτρῳ βοηθȣ̃ντος, ἐλήφθη πρὸς βίαν ἐν τῷ ἱερῷ τȣ̃ Ποσειδῶνος, ἐχόμενος ἀγάλματος· καὶ ἀχθεὶς πρὸς Ἀντίπατρον εἰς Κόρινθον, ἔπειτα βασανιζόμενος, διέφαγε τὴν γλῶτταν, ὥστε μηδὲν ἐξειπεῖν τῶν τῆς πόλεως ἀποῤῥήτων δυνηθῆναι· καὶ ȣ̃τως ἐτελεύτησε, Πυανεψιῶνος ἐνάτῃ ἱσαμένȣ. Ἕρμιππος δέ φησιν, αὐτὸν γλωττοτομηθῆναι εἰς Μακεδονίαν ἐλθόντα καὶ ῥιφῆναι ἄταφον, Ἀλφίνȣ δὲ, ἀνεψιὸν ὄντα αὐτῷ, ἢ (ὥς τινες) Γλαυκίππȣ τινὸς τὸν υἱὸν [2] διὰ Φιλοπείθȣς τινὸς ἰατρȣ̃ λαβόντα ἐξȣσίαν τȣ̃ σώματος, καῦσαι αὐτὸν, καὶ τὰ ὀστᾶ κομίσαι εἰς Ἀθήνας τοῖς προσήκȣσι, παρὰ τὰ τῶν Ἀθηναίων καὶ Μακεδόνων δόγματα· ȣ̉ μόνον γὰρ κελεῦσαι αὐτȣ̀ς φυγεῖν, ἀλλὰ μηδ' ἐν τῇ οἰκείᾳ ταφῆναι. οἱ δ' ἐν Κλεωναῖς ἀποθανεῖν αὐτὸν λέγȣσιν, ἀπαχθέντα μετὰ τῶν ἄλλων, ὅπȣ γλωττοτομηθῆναι καὶ διαφθαρῆναι ὃν προείρηται τρόπον· τȣ̀ς δ' οἰκείȣς τὰ ὀστȣ̃ λαβόντας, θάψαι τε ἅμα τοῖς γονεῦσι πρὸ τῶν Ἱππάδων πυλῶν, ὥς φησιν Ἡλιόδωρος [3] ἐν τῷ τρίτῳ περὶ μνημάτων. νυνὶ δὲ κατερήρειπται τὸ μνῆμα, καὶ ἔστιν

1 Vulgo *Δημοσθένει διὰ τῆς διαφ.* Xyl. ex Ms. & ſententia poſtulante legendum monuit *καὶ περὶ τ. δ.* quod dedi cum W. adſentiente E. Etiam e Petav. pro *διὰ* notatur *περί*. R. ſuſp. *Δημοσθένει ἰδίᾳ, ὑπὲρ τῆς τίως* (vel *πρότερον*) *διαφορᾶς*.

2 Xyl. notante W. *τȣ̃ υἱȣ̃*: quo item ducere videtur E. H. *τῶν υἱῶν*.

3 Legendum, W. notante, *Διόδωρος* ex emendatione Ruhnken. Hiſt. crit. Or. p. 86. Hujus certe ejusque operis *περὶ τῶν μνημάτων* fit mentio a Plut. in vit. Themiſtocl. Vol. I. p. 318. add. ibid. p. 39. & III, p. 268.

ἔστιν ἄδηλον. πάντων δὲ κατὰ τὴν δημηγορίαν διενεγκεῖν λέγεται. τέτακται δὲ ὑπ' ἐνίων πρὸ Δημοσθένους. Φέρονται δ' αὐτοῦ λόγοι ἑβδομήκοντα ἑπτὰ, ὧν γνήσιοί εἰσι πεντήκοντα δύο. ἐγένετο δὲ καὶ πρὸς τὰ ἀφροδίσια καταφερὴς, ὡς ἐκβαλεῖν μὲν τὸν υἱὸν, εἰσαγαγεῖν δὲ Μυῤῥίνην, τὴν πολυτελεστάτην ἑταίραν· ἐν Πειραιεῖ δ' ἔχειν Ἀρισταγόραν· ἐν Ἐλευσῖνι δ' ἐν τοῖς ἰδίοις κτήμασι Φίλτην Θηβαίαν, εἴκοσι μνῶν λυτρωσάμενος. ἐποιεῖτό τε τὸν περίπατον ἐν τῇ ἰχθυοπώλιδι [1] ὁσημέραι. ὡς εἰκὸς δὲ, καὶ δίκῃ [2] Φρύνῃ τῇ ἑταίρᾳ ἀσεβεῖν κρινομένῃ συνεξητάσθη· αὐτὸς γὰρ τοῦτο ἐν ἀρχῇ τοῦ λόγου δηλοῖ· μελλούσης δ' αὐτῆς ἁλίσκεσθαι, παραγαγὼν εἰς μέσον καὶ περιῤῥήξας τὴν ἐσθῆτα, ἐπέδειξε τὰ στέρνα τῆς γυναικός· καὶ τῶν δικαστῶν εἰς τὸ κάλλος ἀπιδόντων, ἀφείθη. συνετίθη [3] δὲ ἡσυχῇ κατὰ τοῦ Δημοσθένους ἐγκλήματα, ὡς καὶ [4] φωραθῆναι· νοσοῦντος γὰρ τοῦ Ὑπερείδου, ἧκοντα εἰς τὴν οἰκίαν τὸν Δημοσθένη, ὡς ἐπισκεψόμενον, καταλαβεῖν κατέχοντα τὸ καθ' αὐτοῦ βιβλίον· τούτου δ' ἀγανακτοῦντος, εἶπε· Φίλον μὲν ὄντα οὐδὲν [5] λυπήσει, ἐχθρὸν δὲ γενόμενον κωλύσει τί κατ' ἐμοῦ πρᾶξαι. ἐψηφίσατο δὲ καὶ τιμὰς Ἰόλᾳ τῷ δόντι [6] Ἀλεξάνδρῳ τὸ φάρμακον δοῦναι. ἐκοινώνησε δὲ καὶ Λεωσθένει [7] τοῦ Λαμιακοῦ πολέμου, καὶ ἐπὶ τοῖς πεσοῦσιν εἶπε τὸν ἐπιτάφιον θαυμασίως. Φιλίππου

1 Subaud. R. monente, ἀγορᾷ.

2 R. susp. ὁσημέραι, ὡς εἰκός· καὶ δὴ καὶ Φρύνῃ.

3 Ald. Bas. Xyl. συνετίθει, quod W. recepit.

4 R. susp. ἐγκλήματα ἕως τοῦ φωραθῆναι.

5 Dedi sic e R. mente, ad rem certe apta. Vulgo οὐδένα.

6 R. susp. Ἰόλᾳ (vel Ἰόλλᾳ potius) τῷ δοκοῦντι — quem rumor ferebat Alexandro toxicum praebuisse. W. sequens δοῦναι deleri vult cum Phot. & Mez. A Petav. absunt καὶ τιμὰς

7 Dedi sic e correctione Xyl. Vulgo Δημοσθένει. Cf. Vit. Demosth. c. 27.

τε δὲ πλεῖν [1] ἐπ' Εὐβοίας παρεσκευασμένε, καὶ τῶν Ἀθηναίων εὐλαβῶς ἐχόντων, τεσσαράκοντα τριήρεις ἤθροισεν ἐξ ἐπιδόσεως, καὶ πρῶτος ὑπὲρ αὐτε καὶ τε παιδὸς ἐπέδωκε δύο τριήρεις. συςάντος δὲ πρὸς Δηλίες ἀμφισβητήματος, ποτέρες δεῖ προΐςασθαι τε ἱερε, αἱρεθέντος Αἰσχίνε συνειπεῖν, ἡ ἐξ Ἀρείε πάγε βελὴ Ὑπερείδην ἐχειροτόνησεν· καὶ ἔςιν ὁ λόγος Δηλιακὸς ἐπιγεγραμμένος. ἐπρέσβευσε δὲ καὶ πρὸς Ῥοδίες. ἡκόντων δὲ καὶ παρ' Ἀντιπάτρε πρέσβεων, ἐπαινέντων τὸν Ἀντίπατρον ὡς χρηςὸν, ἀπαντήσας αὐτοῖς εἶπεν· Οἴδαμεν [2], ὅτι χρηςὸς ὑπάρχει, ἀλλ' ἡμεῖς γ' ε δεόμεθα χρηςε δεσπότε. λέγεται δ' ἄνευ ὑποκρίσεως δημηγορῆσαι, καὶ μόνον διηγεῖσθαι τὰ πραχθέντα, καὶ τέτοις εκ ἐνοχλεῖν τὲς δικαςάς. ἐπέμφθη δὲ καὶ πρὸς Ἠλείες ἀπολογησόμενος ὑπὲρ Καλλίππε τε ἀθλητε, ἔχοντος αἰτίαν φθεῖραι τὸν ἀγῶνα [3]. καὶ ἐνίκησε. γραψάμενος δὲ καὶ τὴν Φωκίωνος δωρεὰν, ἣν εἶπε Μειδίας Μειδίε Ἀναγυράσιος ἐπὶ Ξενίε ἄρχοντος [4], Γαμηλιῶνος ἑβδόμῃ φθίνοντος, ἡττήθη.

## Δείναρχος ι.

Δείναρχος Σωκράτες, ἢ Σωςράτε, ὡς μέν τινες, ἐγχώριος, ὡς δέ τισι δοκεῖ, Κορίνθιος, ἀφικόμενος εἰς

1 Ita legendum apparet, non πλὴν, quod e Steph. in rell. male transiit.

2 Dedi sic e Xyl. & R. mente, pro vulg. οἶδα μέν.

3 Kaltw. vertendo haec exprimit — *daß er sich den Sieg in den Wettspielen von seinen Gegnern erkauft habe*, Pausaniam eadem L. V. c. 21. referentem secutus.

4 Multum hic loci contra temporis rationem peccari, docet Taylor. in praef. ad Orat. Demosth. contra Midiam, cum Xenias archon fuerit Olymp. 118, 4. Phocion cicutam biberit Olymp. 115, 3. & Midias jam Olymp. 112, 3. in vivis numerari desierit.

εἰς Ἀθήνας ἔτι νέος, καθ' ὃν χρόνον Ἀλέξανδρος ἐπήει [1] τὴν Ἀσίαν, κατοικήσας αὐτόθι, ἀκροατὴς μὲν ἐγένετο Θεοφράςȣ, τȣ̃ διαδεξαμένȣ τὴν Ἀριςοτέλȣς διατριβήν· ὡμίλησε δὲ καὶ Δημητρίῳ τῷ Φαληρεῖ· μάλιςα δὲ ἐπολιτεύσατο [2] μετὰ τὴν Ἀντιπάτρȣ τελευτὴν, τῶν μὲν ἀνῃρημένων ῥητόρων, τῶν δὲ πεφευγότων. φίλος δὲ Κασάνδρῳ γενόμενος, ὡς ἐπιπλεῖςον προέκοψε, χρήματα τῶν λόγων εἰσπραττόμενος, ȣ̓̃ς τοῖς δεομένοις συνέγραφεν· ἀντετάξατο δὲ πρὸς τȣ̀ς ἐπιφανεςάτȣς τῶν ῥητόρων, ȣ̓κ εἰς δῆμον παριὼν, (ȣ̓ γὰρ οἷός τ' ἦν) ἀλλὰ τοῖς ἐναντιȣμένοις λόγȣς συγγράφων· καὶ ἐπεὶ Ἅρπαλος διέδρα, πλείȣς λόγȣς συνέγραφε κατὰ τῶν αἰτίαν λαβόντων δωροδοκῆσαι, καὶ τȣ́τȣς τοῖς κατηγόροις ἐξέδωκε. χρόνῳ δὲ ὕςερον αἰτιαθεὶς εἰς λόγȣς παραγίνεσθαι Ἀντιπάτρῳ καὶ Κασάνδρῳ παρὰ [3] τὴν κατάληψιν τῆς Μȣνυχίας, ἡνίκα ὑπ' Ἀντιγόνȣ καὶ Δημητρίȣ ἐφρȣρήθη ἐπ' Ἀναξικράτȣς ἄρχοντος, ἐξαργυρισάμενος τὰ πλεῖςα τῆς ȣ̓σίας, ἔφυγεν εἰς Χαλκίδα. διατρίψας δ' ἐπὶ τῆς φυγῆς ὡς πεντεκαίδεκα ἔτη, καὶ πολλὴν ȣ̓σίαν κτησάμενος, κατῆλθε, πραξάντων αὐτῷ τὴν κάθοδον τῶν περὶ Θεόφραςον ἅμα τοῖς ἄλλοις φυγάσι. καταλύσας δὲ παρὰ Προξένῳ, ἑταίρῳ αὐτῷ, καὶ τὸ χρυσίον ἀπολέσας, ἤδη γηραιὸς ὢν, καὶ τὰς ὁράσεις ἀσθενὴς, ȣ̓ βȣλομένȣ [4] τȣ̃ Προξένȣ ἀναζητεῖν, λαγχάνει αὐτῷ δίκην, καὶ τότε πρῶτον εἶπεν ἐν δικαςηρίῳ. σώζεται δ' αὐτȣ̃ καὶ ὁ λόγος. φέρονται δ' αὐτȣ̃ καὶ λόγοι [5] γνήσιοι ἑξήκοντα τέσσαρες· τȣ́των ἔνιοι παραλαμ-

1 Recepi, quod Xyl. e Ms. commendat, pro vulg. ἐπί. Si hoc retinere malis, ex Phot. addendum διέβαινε, aut διέβη e R. mente.

2 Sic dedi e Mez. pro vulg. μάλιςα δὲ τῷ πολιτεύεσθαι. R. inseri voluit ἤνθει; W. mavult προσήει.

3 R. susp. διά. Petav. περί.

4 Vulgo βȣλομένȣ absque ȣ̓. Id inferendum monuit Xyl. & probavit W.

5 R. hoc καὶ aut delendum censuit, aut leg. καὶ ἄλλοι λόγοι.

λαμβάνονται, ὡς Ἀριςογείτονος [1]. ζηλωτὴς δ' ἐγένετο Ὑπερείδε, ἢ, (ὥς τινες) διὰ τὸ παθητικὸν, Δημοσθένες, καὶ τὸ σφοδρὸν [2]· τῶν σχημάτων δ' αὐτᾶ μιμητὴς ὑπάρχει.

## Ψηφίσματα.

### I.

Τιμοχάρης Λάχητος Λευκονεὺς [3] αἰτεῖ Δημοσθένει τῷ Δημοσθένες Παιανιεῖ δωρεὰν εἰκόνα χαλκῆν ἐν ἀγορᾷ, καὶ σίτησιν ἐν πρυτανείῳ, καὶ προεδρίαν αὐτῷ, καὶ ἐγγόνων ἀεὶ τῷ πρεσβυτάτῳ· εὐεργέτῃ καὶ συμβέλῳ γεγονότι πολλῶν καὶ καλῶν τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ τήν τε ἐσίαν εἰς τὸ κοινὸν καθεικότι τὴν ἑαυτᾶ, καὶ ἐπιδόντι τάλαντα ὀκτὼ καὶ τριήρη, ὅτε ὁ δῆμος ἠλευθέρωσεν Εὔβοιαν· καὶ ἑτέραν, ὅτε εἰς Ἑλλήσποντον Κηφισόδωρος ἐξέπλευσε· καὶ ἑτέραν, ὅτε Χάρης καὶ Φωκίων ςρατηγοὶ ἐξεπέμφθησαν εἰς Βυζάντιον [4] ὑπὸ τᾶ δήμε· καὶ λυτρωσαμένῳ πολλὰς τῶν ἁλόντων ἐν Πύδνῃ καὶ Μεθώνῃ καὶ Ὀλύνθῳ ὑπὸ Φιλίππε· καὶ χορηγίαν ἀνδράσιν ἐπιδόντι, ὅτε ἐκλειπόντων τῶν Πανδιονιδῶν τᾶ χορηγεῖν, ἐπέδωκε, καὶ καθώπλισε τὰς πολίτας τῶν ἐλλειπόντων· καὶ εἰς τὴν τειχοποιΐαν ἀνάλωσε χειροτονηθεὶς ὑπὸ τᾶ δήμε, ἐπιδόντος αὐτᾶ τρία τάλαντα· καὶ ἃς ἐπέδωκε δύο τάφρες περὶ τὸν Πειραιᾶ ταφρεύσας· καὶ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐπέδωκε τάλαντον· καὶ εἰς τὴν σιτωνίαν ἐπ-



1 Xyl. monente, legendum ὡς ὁ κατ' Ἀρις.

2 R. mavult ἢ, ὥς τινες, Δημοσθένες, διὰ τὸ παθητικὸν καὶ σφοδρόν.

3 Ita Xyl. legendum monuit, & dedi cum W. pro vulg. Λευκονθεύς. Supra in Demosth. idem nomen adfuit, & infra occurret. Forma frequentior Λευκονιεύς.

4 absunt a Petav. ὅτε εἰς Ἑλλήσποντον — εἰς Βυζάντιον.

ἐπέδωκεν ἐν τῇ σιτοδείᾳ τάλαντον· καὶ ὅτε εἰς συμμαχίαν τῷ δήμῳ προσηγάγετο πείσας, καὶ εὐεργέτης γενόμενος καὶ σύμβȣλος, δι' ὧν ἔπεισε Θηβαίȣς, Εὐβοεῖς, Κορινθίȣς, Μεγαρεῖς, Ἀχαιȣς, Λοκρȣς, Βυζαντίȣς, Μεσσηνίȣς, καὶ δυναμεις, ἃς συνεςήσατο τῷ δήμῳ καὶ τοῖς συμμάχοις, πεζȣς μὲν μυρίȣς, ἱππέας δὲ χιλίȣς, καὶ σύνταξιν χρημάτων, ἣν ἔπεισε πρεσβεύσας διδόναι, τȣς μὲν συμμάχȣς εἰς τὸν πόλεμον πλείω πεντακοσίων ταλαντων· καὶ ὡς ἐκώλυσε Πελοποννησίȣς ἐπὶ Θήβας Ἀλεξάνδρῳ βοηθῆσαι, χρήματα δȣς, καὶ αὐτὸς πρεσβεύσας· καὶ ἄλλων πολλῶν καὶ καλῶν τῷ δήμῳ συμβȣλῳ γεγονότι· καὶ πεπολιτευμένῳ τῶν καθ' ἑαυτὸν πρὸς ἐλευθερίαν καὶ δημοκρατίαν αριςα. Φυγόντι δὲ δι' ὀλιγαρχίαν, καταλυθέντος τȣ δήμȣ, καὶ τελευτήσαντος αὐτȣ ἐν Καλαβρίᾳ [1], διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, πεμφθέντων ςρατιωτῶν ἐπ' αὐτὸν ὑπὸ Ἀντιπάτρȣ, διαμείναντι ἐν τῇ πρὸς τὸ πλῆθος εὐνοίᾳ καὶ οἰκειότητι, καὶ ȣτε ὑποχείριῳ γενομένῳ τοῖς ἐχθροῖς, ȣτε ἀνάξιον [2] ἐν τῷ κινδύνῳ πράξαντι τȣ δήμȣ.

## II.

Ἄρχων Πυθάρατος· Λάχης Δημοχάρȣς Λευκονεὺς αἰτεῖ δωρεαν τὴν βȣλὴν καὶ τὸν δῆμον τῶν Ἀθηναίων Δημοχάρει Λάχητος Λευκονεῖ, εἰκόνα χαλκῆν ἐν ἀγορᾷ καὶ σίτησιν ἐν πρυτανείῳ, καὶ τῶν ἐγγόνων ἀεὶ τῷ πρεσβυτάτῳ, καὶ προεδρίαν ἐν πᾶσι τοῖς ἀγῶσιν, εὐεργέτῃ καὶ συμβȣλῳ γεγονότι ἀγαθῷ τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ εὐεργετηκότι τὸν δῆμον τάδε· πρεσβεύοντι καὶ γραφοντι καὶ πολιτευομένῳ, οἰκοδομὴν τειχῶν, παρασκευὴν [3] ὅπλων καὶ βελῶν καὶ μηχανημάτων, καὶ ὀχυ-

1 Iterum h. l. Ald. Baf. Xyl. Καλαυρίᾳ.
2 W. cum Mez. legi vult ȣτε τι ἀνάξιον.
3 Petav. praemittit καὶ ante παρασκευήν.

ὀχυρωσαμένῳ τὴν πόλιν ἐπὶ τοῦ τετραετοῦς πολέμου, καὶ εἰρήνην καὶ ἀνοχὰς καὶ συμμαχίαν ποιησαμένῳ πρὸς Βοιωτούς· ἀνθ' ὧν ἐξέπεσεν ἀπὸ τῶν καταλυσάντων τὸν δῆμον· καὶ ὡς κατῆλθεν ἐπὶ Διοκλέους [1] ἄρχοντος ὑπὸ τοῦ δήμου, συστείλαντι τὴν διοίκησιν πρώτῳ, καὶ Φεισαμένῳ [2] τῶν ὑπαρχόντων, καὶ πρεσβεύσαντι [3] πρὸς Λυσίμαχον, καὶ λαβόντι τῷ δήμῳ τριάκοντα τάλαντα ἀργυρίου, καὶ πάλιν ἕτερα ἑκατόν· καὶ γράψαντι πρεσβείαν πρὸς Πτολεμαῖον εἰς Αἴγυπτον, καθ' ἣν ἐκπλεύσαντες πεντήκοντα ἐκόμισαν τάλαντα ἀργυρίου τῷ δήμῳ· καὶ πρὸς Ἀντίπατρον πρεσβεύσαντι καὶ λαβόντι εἴκοσι τάλαντα ἀργυρίου· καὶ Ἐλευσίνια [4] κομισαμένῳ τῷ δήμῳ, καὶ ταῦτα πείσαντι ἑλέσθαι τὸν δῆμον καὶ πράξαντι, καὶ Φυγόντι μὲν ὑπὸ δημοκρατίας, μετεσχηκότι δὲ οὐδεμιᾶς ὀλιγαρχίας, οὐδὲ ἀρχὴν οὐδεμίαν ἠρχότι καταλελυκότος τοῦ δήμου· καὶ μόνῳ Ἀθηναίων τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν πολιτευσαμένων, μὴ μεμελετηκότι τὴν πατρίδα κινεῖν ἑτέρῳ πολιτεύματι ἢ δημοκρατίᾳ· καὶ τὰς κρίσεις, καὶ τοὺς νόμους, καὶ τὰ δικαστήρια, καὶ τὰς οὐσίας πᾶσιν [5] Ἀθηναίοις ἐν ἀσφαλεῖ ποιήσαντι διὰ τῆς αὐτοῦ πολιτείας, καὶ μηδὲν ὑπεναντίον τῇ δημοκρατίᾳ πεπραχότι μήτε λόγῳ μήτε ἔργῳ.

## III.

Λυκόφρων Λυκούργου Βουτάδης ἀπεγράψατο αὐτῷ εἶναι σίτησιν ἐν πρυτανείῳ κατὰ τὴν δοθεῖσαν δωρεὰν ὑπὸ



1 Aliis dicitur Philocles, & Polycles, teste Meurs. Arch. Ath. IV, 14.

2 Ita cum W. dedi ex Petav. & correctione Mez. & Salmas. Vulgo φεισαμένων.

3 Ita Mez. & Salmas. correxerunt, dedique cum W. Vulgo πρεσβευόντων

4 Xyl. πρὸς ante Ἐλευσίνια addendum censet. Amiot. notante W. καὶ Ἐλευσινάδε, & cum antecedentibus jungit.

5 Petav. πάσας.

ὑπὸ τῦ δήμῳ Λυκέργῳ Βυτάδῃ ἐπὶ Ἀναξικράτες ἄρχοντος, ἐπὶ τῆς Ἀντιοχίδος ἐν τῇ πρυτανείᾳ. Στρατοκλῆς Εὐθυδήμυ Διομειεὺς [1] εἶπεν. Ἐπειδὴ Λυκῦργο, Λυκόφρονος Βυτάδης παραλαβὼν παρὰ τῶν ἑαυτῦ προγόνων οἰκείαν ἐκ παλαιῦ τὴν πρὸς τὸν δῆμον εὐνοιαν, καὶ οἱ πρόγονοι οἱ Λυκέργυ, Διομήδης τε καὶ Λυκῦργος, καὶ ζῶντες ἐτιμῶντο ὑπὸ τῦ δήμυ, καὶ τετελευτηκόσιν αὐτοῖς δι' ἀνδραγαθίαν ἔδωκεν ὁ δῆμος δημοσίας ταφὰς ἐν κεραμεικῷ· καὶ Λυκῦργος αὐτὸς πολιτευόμενος, νόμυς τε πολλὺς καὶ καλὺς ἔθηκε τῇ πατρίδι, καὶ γενόμενος τῆς κοινῆς προσόδυ ταμίας τῇ πόλει, ἐπὶ τρεῖς [2] πενταετηρίδας, καὶ διανείμας ἐκ τῆς κοινῆς προσόδυ μύρια καὶ ὀκτακισχίλια καὶ ἐνακόσια τάλαντα· πολλὰ δὲ τῶν ἰδιωτῶν διὰ πίσεως λαβὼν, καὶ προδανείσας καὶ εἰς τὺς τῆς πόλεως καιρὺς, καὶ τῦ δήμυ τὰ πάντα ἑξακόσια καὶ πεντήκοντα τάλαντα [3]. δόξας δὲ, ἅπαντα ταῦτα δικαίως διῳκηκέναι, πολλάκις ἐςεφανώθη ὑπὸ τῆς πόλεως· ἔτι δὲ αἱρεθεὶς ὑπὸ τῦ δήμυ, χρήματα πολλὰ συνήγαγεν εἰς τὴν ἀκρόπολιν, καὶ παρασκευάσας τῇ θεῷ κόσμον, νίκας τε ὁλοχρύσυς, πομπεῖά τε χρυσᾶ καὶ ἀργύρεα, καὶ κόσμον χρυσῦν εἰς ἑκατὸν κανηφόρυς· χειροτονηθεὶς δὲ ἐπὶ τῆς τῦ πολέμυ παρασκευῆς, ὅπλα μὲν πολλὰ καὶ βελῶν μυριάδας πέντε ἀνήνεγκεν εἰς τὴν ἀκρόπολιν· τετρακοσίας τριήρεις πλωΐμυς κατεσκεύασε, τὰς μὲν ἐπισκευάσας, τὰς δὲ ἐξ ἀρχῆς ναυπηγησάμενος· πρὸς δὲ τύτοις, ἡμίεργα [4] παραλαβὼν τύς τε νεωσοίκυς καὶ τὴν σκε-

1 Ald & Xyl. Ms. Διομηδεὺς, quod in rell. tranfiit; Baf. Διοπειθεύς. Repofui nomen hujus pagi ex Xyl. mente.

2 Secutus fum W. ita reponentem e loco fupra in Lycurgo ab init. allato poft Mez. & Taylor. Vulgo ἐπιτρέπει.

3 Subeffe in his numeris aliquid vitii aut difficultatis, notat W.

4 Baf. ἡμερίεργα. Xyl. e Ms. correxit. Ald. quoque ἡμίεργα.

σκευοθήκην, καὶ τὸ θέατρον τὸ Διονυσιακὸν ἐξειργάσατο, καὶ ἐπετέλεσε τό τε ϛάδιον τὸ Παναθηναϊκὸν, καὶ τὸ Γυμνάσιον καὶ τὸ Λύκειον κατεσκεύασε, καὶ ἄλλαις πολλαῖς κατασκευαῖς ἐκόσμησε τὴν πόλιν· Ἀλεξάνδρȣ τε τȣ̃ βασιλέως ἅπασαν μὲν τὴν Ἀσίαν κατεϛραμμένȣ, κοινῇ δὲ πᾶσι τοῖς Ἕλλησιν ἐπιτάττειν ἀξιȣ̃ντος, ἐξαιτήσαντος [1] Λυκȣ̃ργον, ὡς ἐναντία πράττοντα αὐτῷ, ἐκ ἐξέδωκεν ὁ δῆμος παρ' Ἀλεξάνδρȣ φόβον [2]. καὶ διδȣ̀ς εὐθύνας πολλάκις τῶν πεπολιτευμένων ἐν [3] ἐλευθέρᾳ καὶ δημοκρατȣμένῃ τῇ πόλει, διετέλεσεν ἀνεξέλεγκτος καὶ ἀδωροδόκητος τὸν ἅπαντα χρόνον· ὅπως ἂν εἰδῶσι πάντες διότι τȣ̀ς προαιρȣμένȣς ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας δικαίως πολιτεύεσθαι, καὶ ζῶντας μὲν περὶ πλεῖϛον [4] ποιεῖται, καὶ τελευτήσασι δὲ ἀποδίδωσι χάριτας ἀειμνήϛȣς· ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ, ἐπαινέσαι μὲν Λυκȣ̃ργον Λυκόφρονος Βȣτάδην ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης, καὶ ϛῆσαι αὐτȣ̃ τὸν δῆμον χαλκῆν εἰκόνα ἐν ἀγορᾷ, πλὴν εἴπȣ ὁ νόμος ἀπαγορεύει μὴ ἱϛάναι, δȣ̃ναι δὲ σίτησιν ἐν πρυτανείῳ τῶν ἐγγόνων ἀεὶ τῶν [5] Λυκέργȣ τῷ πρεσβυτάτῳ εἰς ἅπαντα τὸν χρόνον, ἀναθεῖναι δ' αὐτȣ̃ καὶ εἶναι κύρια πάντα τὰ ψηφίσματα τὸν γραμματέα τȣ̃ δήμȣ ἐν ϛήλαις λιθίναις, καὶ ϛῆσαι ἐν ἀκροπόλει πλησίον τῶν ἀναθημάτων· εἰς δὲ τὴν ἀναγραφὴν τῶν ϛηλῶν δȣ̃ναι τὸν ταμίαν τȣ̃ δήμȣ πεντήκοντα δραχμὰς, ἐκ τῶν εἰς τὰ ψηφίσματα ἀναλισκομένων τῷ δήμῳ.

1 Sic W. cum Mez. & Taylor. legendum monuit, dedique pro vulg. ἐξαιτήσας Paulo poſt recepi Mez. correctionem πράττοντα αὐτῷ pro vulg. πράττοντος αὐτȣ̃.
2 W. legi vult διὰ τὸν παρ' Ἀλεξάνδρȣ φόβον.
3 abeſt ἐν a Petav.
4 Rectius cum Mez. cenſet W. περὶ πλείϛȣ.
5 Pro τῶν Petav. τȣ̃.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΠΙΤΟΜΗ ΤΗΣ ΣΥΓΚΡΙΣΕΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥ ΚΑΙ ΜΕΝΑΝΔΡΟΥ [1].

Ὡς μὲν κοινῶς καὶ καθόλε εἰπεῖν, πολλῷ προκρίνει τὸν Μένανδρον· ὡς δ' ἐπὶ μέρες καὶ ταῦτα προστίθησι [2]. τὸ φορτικὸν, φησιν, ἐν λόγοις καὶ θυμελικὸν καὶ βάναυσον ὥς [3] ἐςιν Ἀριςοφάνει, Μενάνδρῳ δ' ἐδαμῶς. καὶ γὰρ ὁ μὲν ἀπαίδευτος καὶ ἰδιώτης, οἷς ἐκεῖνος λέγει, ἁλίσκεται· ὁ δὲ πεπαιδευμένος, δυςχερανεῖ· λέγω δὲ τὰ ἀντίθετα καὶ ὁμοιόπτωτα καὶ παρωνυμίας. τέτοις γὰρ ὁ μὲν μετὰ τῦ προσήκοντος λόγε καὶ ὀλιγάκις χρῆται, ἐπιμελείας αὐτὰ ἀξιῶν, ὁ δὲ καὶ πολλάκις, καὶ ἐκ εὐκαίρως, καὶ ψυχρῶς· Ἐπαινεῖται γὰρ, (φησὶν) ὅτι τὲς ταμίας ἐβάπτισεν, ἐχὶ ταμίας, ἀλλὰ Λαμίας ὄντας [4]· καί·

Οὗτος ἤτοι κακίας ἢ συκοφαντίας πνεῖ [5].

καί·

1 W. judice, compendium perditi operis Plutarchei a posteriore homine factum Aristophanem, qui reprehenditur, defendit olim Nic. Frischlin. in peculiari scripto, editioni Aristophanis ab ipso curatae (Frft. 1586) praefixo. De argumento hujus libelli conf. Sympos. VII, quaest. VIII. c. 3. 4. Vol. XI. p. 326. 327.

2 Secutus sum W. ita ex B. & E. dantem pro vulg. προτίθησι. R. susp. καὶ διὰ ταῦτα προτίθ. aut καὶ ταῦτα παρατίθησι.

3 R. susp. ὅσον, *quantum est*, ut sit interrogatio cum admiratione.

4 abest hoc fragmentum a Brunckiana Aristophanis editione. De Lamia, Africae regina vid. Diodor. Bibl. XX, 41. Sensus est: *sie waren nicht Schazmeister sondern Blutigel, gefräßige Ungeheuer.*

5 Aristoph. Equ. 435. R. monente, sycophantam cum Caecia

καί·

Γαστρὶ ζῇ [1] καὶ τοῖς ἐντέροις καὶ τοῖς κώλοις·

καί·

Ὑπὸ γέλωτος εἰς τὸ γελᾷν [2] ἀφίξομαι·

καί·

Τί δέ σοι δράσω [3] κακόδαιμον ἀμφορεὺς ἐξοστρακισθείς·

καί·

Ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ [4] κακά,
Ἅτε ἐν ἀγρίοις τοῖς λαχάνοις αὐτὸς τραφείς·

καί·

Ἀλλ' αἱ τριχόβρωτες [5] τὸν λόφον μου κατέφαγον.

καί·

Φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον·
Κἀμοὶ πλακοῦντος τυρόνωτον [6] δὸς κύκλον·

καὶ πολλὰ τοιαῦτα. ἔνεστι μὲν οὖν ἐν τῇ κατασκευῇ τῶν ὀνομάτων αὐτῷ τὸ τραγικὸν, τὸ κωμικὸν, τὸ σοβαρὸν, τὸ πεζὸν, ἀσάφεια, κοινότης, ὄγκος καὶ δίαρμα, σπερμολο-

cla nubes cogente comparat. Kusterus Καικίας corrigendum monuit: & correxit Brunckius, ὡς οὗτος ἤδη Καικίας καὶ συκοφαντίας πνεῖ. W. notante, libri in vulgata consentiunt.

1 Ita, W. notante, omnes libri: rectius autem apud Comicum Equ. 457. γαστρίζε καὶ τοῖς ἐντέροις, καὶ τοῖς κόλοις.

2 Mez. & R. corrigunt εἰς Γέλαν, *ad urbem Gelan perveniam*: Eleganter, W. judice. Ita jam verterat Xyl.

3 R. mavult σὲ δράσω.

4 Sic R. cum Salmas. legendum monuit, dedique cum W. Idem ex loco Comici Thesmoph 462. sumente, pro vulg. ἄρα. Euripides est intelligendus, quem poëta invadit.

5 Ald. Bas. Petav. nec non B. E. Venet. τριχοβόστρυχες. Pro hac voce Xyl. ex Comici loco Acharn. 1110. repqnendum monuit τριχόβρωτες, quod Steph. ex Turn. recepit. Inserendo καὶ cum Xyl. vers. distinxi hunc versum a praecedentibus. Sensus, Xyl. interprete, est: pediculi verticem meum exederunt.

6 Ita Xyl. ex Aristoph. ipso Acharn. 1124. corrigendum monuit, dedique, Salmas. & R. adsentientibus. Vulgo γυρόνωτον. Licet istud verius putat W. retinet tamen vulgatam, Kustero probatam.

μολογία καὶ φλυαρία ναυτιώδης. καὶ τοσαύτας διαφορὰς ἔχουσα καὶ ἀνομοιότητας ἡ λέξις, οὐδὲ τὸ πρέπον ἑκάστῃ καὶ οἰκεῖον ἀποδίδωσιν· οἷον λέγω βασιλεῖ τὸν ὄγκον, ῥήτορι τὴν δεινότητα, γυναικὶ τὸ ἁπλοῦν, ἰδιώτῃ τὸ πεζὸν, ἀγοραίῳ τὸ φορτικόν· ἀλλ' ὥσπερ ἀπὸ κλήρου ἀπονέμει τοῖς προσώποις τὰ προστυχόντα τῶν ὀνομάτων, καὶ οὐκ ἂν διαγνοίης, εἴτε υἱός ἐστιν, εἴτε πατὴρ, εἴτ' ἄγροικος, εἴτε θεὸς, εἴτε γραῦς, εἴτε ἥρως, ὁ διαλεγόμενος.

II. Ἡ δὲ Μενάνδρου φράσις οὕτω συνέξεσται καὶ συμπέπνευκε κεκραμένη πρὸς ἑαυτὴν, ὥστε διὰ πολλῶν ἀγομένη παθῶν καὶ ἠθῶν, καὶ προσώποις ἐφαρμόττουσα παντοδαποῖς, μία τε φαίνεσθαι, καὶ τὴν ὁμοιότητα [1] τηρεῖν ἐν τοῖς κοινοῖς καὶ συνήθεσι καὶ ὑπὸ τὴν χρείαν ὀνόμασιν· ἐὰν δέ τινος ἄρα τερατείας εἰς τὸ πρᾶγμα καὶ ψόφου δεήσῃ, καθάπερ αὐλοῦ πάντρητον ἀνασπάσας, ταχὺ πάλιν καὶ πιθανῶς ἐπέβαλε, καὶ κατέστησε τὴν φωνὴν εἰς τὸ οἰκεῖον. πολλῶν δὲ γεγονότων εὐδοκίμων τεχνιτῶν, οὔτε ὑπόδημα δημιουργὸς, οὔτε προσωπεῖον σκευοποιὸς, οὔτε τις ἱμάτιον ἅμα ταυτὸν ἀνδρὶ καὶ γυναικὶ καὶ μειρακίῳ καὶ γέροντι καὶ οἰκότριβι πρέπον ἐποίησεν· ἀλλὰ Μένανδρος οὕτως ἔδειξε τὴν λέξιν, ὥστε πάσῃ καὶ φύσει καὶ διαθέσει καὶ ἡλικίᾳ σύμμετρον εἶναι, καὶ ταῦτα νέος μὲν ἔτι τοῦ πράγματος ἀψάμενος, ἐν ἀκμῇ δὲ τοῦ ποιεῖν καὶ διδάσκειν τελευτήσας, ὅτε μάλιστα καὶ πλείστην ἐπίδοσιν (ὡς Ἀριστοτέλης φησὶ) λαμβάνει τὰ περὶ τὴν λέξιν τοῖς γράφουσιν. εἰ οὖν πρὸς τὰ πρῶτα τῶν Μενάνδρου δραμάτων τὰ μέσα καὶ τὰ τελευταῖα παραβάλλοι τις, ἐξ αὐτῶν ἐπιγνώσεται, ὅσα ἔμελλεν, εἰ ἐπεβίω, καὶ τούτοις ἕτερα προσθήσειν.

III. Ὅτι τῶν διδασκόντων οἱ μὲν πρὸς τὸν ὄχλον καὶ τὸν δῆμον γράφουσιν, οἱ δὲ τοῖς ὀλίγοις· τὸ δ' ἐν ἀμφοῖν [2] ἁρμόττον τοῖς γένεσιν οὐ ῥᾴδιον ὅτῳ τῶν πάντων

1 W. susp ὁμαλότητα.
2 R. mavult τὸ δὲ συναμφοῖν.

των ὑπῆρξεν εἰπεῖν. Ἀριςοφάνης μὲν ἔν ἔτε τοῖς πολλοῖς ἀρεςὸς, ἔτε τοῖς Φρονίμοις ἀνεκτὸς, ἀλλ' ὥσπερ ἑταίρας τῆς ποιήσεως παρηκμακυίας, εἶτα μιμεμένης γαμετὴν, ἔτε οἱ πολλοὶ τὴν αὐθάδειαν περιμένεσιν [1], οἵ τε σεμνοὶ βδελύττονται τὸ ἀκόλαςον καὶ κακόηθες. ὁ δὲ Μένανδρος μετὰ χαρίτων μάλιςα ἑαυτόν αὐτάρκη παρέσχηκεν, ἐν θεάτροις, ἐν διατριβαῖς, ἐν συμποσίοις, ἀνάγνωσμα καὶ μάθημα καὶ ἀγώνισμα κοινότατον, ὧν ἡ Ἑλλὰς ἐνήνοχε καλῶν παρέχων [2] τὴν ποίησιν, δεικνὺς, ὅ τι δὴ καὶ ὁποῖον ἦν ἄρα δεξιότης λογε, ἐπιὼν ἁπανταχόσε μετὰ πειθες ἀφύκτε, καὶ χειρέμενος ἅπασαν ἀκοὴν καὶ διάνοιαν Ἑλληνικῆς Φωνῆς. τίνος γὰρ ἄξιον ἀληθῶς εἰς θέατρον ἐλθεῖν ἄνδρα πεπαιδευμένον, ἢ Μενάνδρε ἕνεκα; πότε δὲ θέατρα πίμπλαται ἀνδρῶν Φιλολόγων, ἢ [3] κωμικε προσώπε δειχθέντος; ἐν δὲ συμποσίοις τίνι δικαιότερον ἡ τράπεζα παραχωρεῖ, καὶ τόπον ὁ Διόνυσος [4] δίδωσι; Φιλοσόφοις δὲ καὶ Φιλοπόνοις [5], ὥσπερ ὅταν οἱ γραφεῖς ἐκπονηθῶσι τὰς ὄψεις, ἐπὶ τὰ ἀνθηρὰ καὶ ποώδη χρώματα τρέπεσιν, ἀνάπαυλα τῶν ἀκράτων [6] καὶ συντόνων ἐκείνων, Μένανδρός ἐςιν, οἷον εὐανθεῖ λειμῶνι καὶ σκιερῷ καὶ πνευμάτων μεςῷ δεχόμενος τὴν διάνοιαν.

Ἀλκμαιωνίδας ἀνασχεῖν ἀσπίδα νενικημένοις καὶ Φεύγουσι τοῖς βαρβάροις. καὶ μὴν ἐν οἷς περὶ Ἀλκμαιωνιδῶν ἀπολογῇ, σεαυτὸν ἀποφαίνεις συκοφάντην· εἰ γὰρ μᾶλλον, ἢ ὁμοίως Καλλίῃ τῷ Φαινίππου, Ἱππονίκου πατρὶ, Φαίνονται μισοτύραννοι ἐόντες (ὡς ἐνταῦθα γράφεις) Ἀλκμαιωνίδαι, ποῦ θήσεις αὐτῶν ἐκείνην τὴν [1] συνωμοσίαν, ἣν ἐν τοῖς πρώτοις γέγραφας; ὡς ἐπιγαμίαν ποιησάμενοι Πεισιστράτῳ κατήγαγον αὐτὸν ἀπὸ τῆς Φυγῆς ἐπὶ τὴν τυραννίδα, καὶ οὐκ ἂν [2] ἐξήλασαν αὖθις, ἕως διεβλήθη παρανόμως τῇ γυναικὶ μιγνύμενος. ταῦτα μὲν οὖν τοιαύτας ἔχει ταραχὰς, τῆς Ἀλκμαιωνιδῶν διαβολῆς καὶ ὑπονοίας τοῖς Καλλίου τοῦ Φαινίππου χρησάμενος ἐπαίνοις [3], καὶ προσάψας αὐτῷ τὸν υἱὸν Ἱππόνικον, ὃς ἦν καθ' Ἡρόδοτον ἐν τοῖς πλουσιωτάτοις Ἀθηναίων, ὡμολόγησεν, ὅτι μηδὲν τῶν πραγμάτων δεομένων, ἀλλὰ θεραπείᾳ καὶ χάριτι τοῦ Ἱππονίκου τὸν Καλλίαν παρενέβαλεν [4].

XXVIII. Ἐπεὶ δ' Ἀργείους ἅπαντες ἴσασιν οὐκ ἀπειπαμένους τοῖς Ἕλλησι τὴν συμμαχίαν, ἀξιώσαντας δὲ [5], ὡς μὴ Λακεδαιμονίοις, ἐχθίστοις καὶ πολεμιωτάτοις [6] οὖσι, ποιοῦντες ἀεὶ τὸ προστασσόμενον ἕπωνται, καὶ τοῦτο ἄλλως οὐκ ἦν, αἰτίαν κακοηθεστάτην ὑποβάλλεται,

1 Secutus sum W. ita ex B. & E. dantem. Ald. Baf. ἐκείνου. Jannot. Schott. Anon. ἐκείνων, receptum a Xyl. & Steph.

2 R. aut deleri vult ἂν, aut potius loco ἕως legi εἰ μή.

3 R. fufp. καὶ ταῖς Ἀλκμαιωνιδῶν διαβολαῖς καὶ πρὸς τοὺς Καλλίου — χρησάμενος ἐπαίνους. W. cum B. & E. inter Ἀλκμαιωνιδῶν & διαβολῆς habeant fpatium fex fere literarum, fufpicatur corrigi debere ταραχάς. Τῆς Ἀλκμαιωνιδῶν δὲ μεταξὺ διαβολῆς. Ita fere vertit Xyl.

4 Sic R. legendum monuit, dedique, W. probante cum Valcken. ad Herod. VI, 121.

5 R. legi mavult ἀξιώσαντας δὲ κατὰ τὸ ἥμισυ ἡγεῖσθαι. V. Herod. VII, 148.

6 Turn. V. πολεμικωτάτοις.

λεται, γράφων· Ἐπεὶ δὲ σφέας παραλαμβάνειν [1] τὰς Ἕλληνας ὅτω δὴ ἐπισαμένας, ὅτι ὁ μεταδώσασι τῆς αρχῆς Λακεδαιμόνιοι, μεταιτέειν, ἵν' ἐπὶ προφάσεως ἡσυχίαν ἄγωσι. τέτων δὲ ὕσερον ἀναμνῆσαι φησὶν Ἀρταξέρξην ἀναβάντας εἰς Σᾶσα πρέσβεις Ἀργείων, κἀκεῖνον εἰπεῖν, ὡς ἀδεμίαν νομίζοι πόλιν Ἄργεος φιλιωτέρην· εἶτα ὑπειπὼν, ὥσπερ εἴωθε, καὶ ἀναδυόμενος, ἀκ εἰδέναι, φησὶ, περὶ τέτων ἀτρεκέως, εἰδέναι δ', ὅτι πᾶσιν ἀνθρώποις ἐσὶν ἐγκλήματα, καὶ ἀκ Ἀργείοισιν αἴχισα πεποίηται· Ἐγὼ δὲ λέγειν ὀφείλω τὰ λεγόμενα, πείθεσθαί γε μὴν ἀ παντάπασι ὀφείλω, καί μοι τὸ ἔπος τᾶτο ἐχέτω ἐς πάντα τὸν λόγον· ἐπεὶ καὶ ταῦτα λέγεται, ὡς ἄρα Ἀργεῖοι ἦσαν, οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, ἐπειδὴ σφίσι πρὸς τὰς Λακεδαιμονίας κακῶς ἡ αἰχμὴ ἐσήκεε, πᾶν δὴ βαλόμενοι σφίσι εἶναι πρὸ [2] τῆς παρέσης λύπης. ἆρ' ἂν ἀχ, ὅπερ αὐτὸς τὸν Αἰθίοπα φησὶ πρὸς τὰ μύρα καὶ τὴν πορφύραν εἰπεῖν, ὡς δολερὰ μὲν τὰ ἀλείμματα [3], δολερὰ δὲ τὰ εἵματα τῶν Περσέων ἐσὶ, τᾶτο ἂν

1 Sic ex mente R. dedi, W. probante ex Herod. VII, 150. pro vulg. καταλαμβάνει. Dedi deinde ἅτω e Turn. & V. R. jubente pro vulg. αὐτό. Ald. Baf. αὐτῷ.

2 Ald. Baf. ἐσήκεν εἰ * δὴ βαλόμενοι σφίσι προσεῖναι τῆς π. λ. Steph. & rell. eum fecutae ἐσήκεε remoto εἰ & lacuna expleta vocabulo πᾶν. W. ἐσήκει. Nolui mutare, cum vulgatum ex dial. Jonica, quae pro ἐτετύφειν habet ἐτετύφεα, defumtum putem. At lubentius pro προσεῖναι recepi εἶναι πρὸ, R. jubente, ad Herod. VII. 152. Turn. & V. idem exhibent. Enotatur ex illis fic: ἐσήκεν εἰ * δὴ βαλόμενοι πᾶν δὴ εἶναι πρὸ τῆς παρέσης. W. judice εἶναι πρὸ reftituendum hic erat, nifi dubium effet, an προεῖναι fcripferit Plutarchus.

3 Ald. Baf. Xyl. B. E χείματα, pro quo Xyl. σχήματα legit. Steph. mutavit in vulgat. χρώματα, defumtum ex loco in *Quaeft. Rom.* Vol. VIII. p. 327. uti ipfe declaraverat in nota prolixiori ad Sympos III, 1, 2. (Vol. XI. p. 109.) ubi pro χρώματα receperat χρίσματα. At R. judice, Plut. hic fcripfit τὰ

ἄν τις εἴποι πρὸς αὐτὸν, ὡς δολερὰ μὲν τὰ ῥήματα, δολερὰ δὲ τὰ σχήματα τῶν Ἡροδότου λόγων,

Ἑλικτὰ καὶ οὐδὲν ὑγιὲς, ἀλλὰ πᾶν πέριξ [1],

ὥσπερ οἱ ζωγράφοι τὰ λαμπρὰ τῇ σκιᾷ τρανώτερα ποιοῦσιν, οὕτω ταῖς ἀρνήσεσι τὰς διαβολὰς ἐπιτείνοντος αὐτοῦ, καὶ τὰς ὑπονοίας ταῖς ἀμφιβολίαις βαθυτέρας ποιοῦντος. Ἀργεῖοι δ', ὅτι μὲν οὐ συναράμενοι τοῖς Ἕλλησιν, ἀλλὰ διὰ τὴν ἡγεμονίαν, καὶ τῆς ἀρετῆς Λακεδαιμονίοις ἐκστάντες, κατήσχυναν ἂν τὸν Ἡρακλέα καὶ τὴν εὐγένειαν, οὐδ' ἔστιν ἀντειπεῖν [2]. Σιφνίοις [3] γὰρ ἦν καὶ Κυθνίοις ἄμεινον ἐλευθεροῦν τοὺς Ἕλληνας, ἢ Σπαρτιάταις φιλονεικοῦντας ὑπὲρ ἀρχῆς ἐγκαταλιπεῖν τοσούτους καὶ τοιούτους ἀγῶνας. εἰ δ' αὐτοὶ ἦσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, διὰ τὴν κακῶς ἐστῶσαν αὐτοῖς αἰχμὴν πρὸς Λακεδαιμονίους, πῶς οὐκ ἐμήδιζον ἀναφανδὸν ἥκοντος, οὐδ', εἰ μὴ συστρατεύειν ἐβούλοντο βασιλεῖ, τὴν γοῦν Λακωνικὴν ὑπολειπόμενοι κακῶς ἐποίουν, ἢ Θυρέας ἥπτοντο πάλιν, ἢ τρόπον ἄλλον ἀντελαμβάνοντο καὶ παρηνώχλουν Λακεδαιμονίοις; μέγα βλάψαι δυνάμενοι τοὺς Ἕλληνας· ἢ μὴ παρῆκαν εἰς Πλαταιὰς ἐκείνους ἐκστρατεῦσαι τοσούτοις ὁπλίταις.

XXIX. Ἀλλ' Ἀθηναίους γε μεγάλους ἐνταῦθα τῷ λόγῳ πεποίηκε, καὶ σωτῆρας ἀνηγόρευκε τῆς Ἑλλάδος· ὀρθῶς;



τὰ ἀλείμματα, quod Wesseling. ad Herod. III, 22. probavit. Exhibent id Exempl. Turn. Amiot. Anon. & dedi cum W. correctionem quidem, sed veram tamen antiquae lectionis esse monente.

1 Euripid. Androm. v. 448. Vid. Casaub. ad Athen. p. 15.

2 Hoc ordine dandum monuit R. & dedi cum W. ex E. sic edente. Vulgo praepostere ἐκστάντες οὐδ' ἔστιν ἀντειπεῖν, κατήσχυναν ἂν τὸν Ἡρακλέα καὶ τὴν εὐγένειαν. Pro ἐκστάντες Turn. & V. ἐξίστησαν; & paulo ante συνήραντο pro συναράμενοι.

3 Mez. Σὺν Σιφνίοις. Sic Kaltw. vertit; W. judice tale quid requiritur. Verisimilius autem ei videtur Ὑπὸ Σιφνίοις, *sub ductu Siphniorum & Cythniorum.*

ὀρθῶς γε ποιῶν καὶ δικαίως, εἰ μὴ πολλὰ καὶ βλάσφημα προσῆν τοῖς ἐπαίνοις. νῦν δὲ προδοθῆναι μὲν ἄν, λέγων, ὑπὸ τῶν ἄλλων Ἑλλήνων Λακεδαιμονίους, μονωθέντας δ' ἄν, καὶ ἀποδειξαμένους [1] ἔργα μεγάλα ἀποθανεῖν γενναίως, ἢ πρὸ τούτου ὁρῶντας καὶ τοὺς [2] Ἕλληνας μηδίζοντας, ὁμολογίῃ ἂν χρήσασθαι πρὸς Ξέρξεα, δῆλός ἐστιν οὐ τοῦτο [3] λέγων εἰς τὸν Ἀθηναίων ἔπαινον, ἀλλ' Ἀθηναίους ἐπαινῶν, ἵνα κακῶς εἴπῃ τοὺς ἄλλους ἅπαντας. τί γὰρ ἄν τις ἔτι δυσχεραίνῃ [4], Θηβαίους ἀεὶ καὶ Φωκέας πικρῶς αὐτοῦ καὶ κατακόρως ἐξονειδίζοντος, ὅπου καὶ τῶν προκινδυνευσάντων ὑπὲρ τῆς Ἑλλάδος, τὴν οὐ γενομένην δ' ἄν, ὡς αὐτὸς εἰκάζοι [5], καταψηφίζεται προδοσίαν· αὐτοὺς δὲ Λακεδαιμονίους ἐν ἀδήλῳ θέμενος ἐπηπόρησεν, εἴτ' ἔπεσον ἂν μαχόμενοι τοῖς πολεμίοις, εἴτε παρέδωκαν

1 Reposui sic e R. mente. Probat W. cum Wessel. & Valcken. ad Herod. VII. 39. Vulgo ὑποδεξαμένους. Locum, male acceptum a Xyl. & Amiot. ita vertit W. „Nunc cum dicit, nisi Athenienses fortes se praestitissent, hunc belli eventum futurum fuisse, ut Lacedaemonii a reliquis Graecis deserti magnis editis facinoribus pugnando generose occumberent, vel, videntes reliquos se Graecos Persis dedisse, pacificationem cum Xerxe potius inirent: hoc ergo cum dicit, ostendit —."

2 R. mavult καὶ τοὺς ἄλλους Ἕλληνας.

3 Recepi sic ex Turn. V. Anon. & Xyl. vers. pro vulg. τούτους. R. legi voluit οὐ τούτους κακῶς λέγων, *non hos calumnians eo fine, ut laudaret Athenienses* —. W. judice, non sine specie ita conjicitur, alterum tamen est lenius.

4 Sic e R. & W. mente corrigendam censui vulgatam ἐπιδυσχεραίνῃ.

5 R. legendum censet τὴν οὐ γεγενημένην, γενομένην δ' ἄν, ὡς αὐτὸς εἰκάζει — *si proditionis Lacedaemonios accusat, quae nulla quidem reapse fuit, at ille sibi imaginatus est, procul dubio contigisset.* Etiam W. cum Mez. legi vult τὴν οὐ γεγενημένην μὲν, γενομένην δ' ἄν, *non factam illam, sed eam quam, ut ipse suspicatur, forte facturi fuissent.*

καν ἑαυτὲς, μικροῖς γε νὴ Δία τεκμηρίοις αὐτῶν ἀπιςήσας [1] τοῖς περὶ Θερμοπύλας.

XXX. Διηγέμενος δὲ συμπεσεσαν ναυαγίαν ταῖς βασιλικαῖς ναυσὶ, καὶ ὅτι, πολλῶν χρημάτων ἐκπεσόντων, Ἀμεινοκλῆς ὁ Κρησίνεω [2], Μάγνης ἀνὴρ, ὠφελήθη μεγάλως, χρύσεα ἄφατα καὶ χρήματα [3] περιβαλόμενος· ἐδὲ τῦτο [4] ἄδηκτον παρῆκεν, ἀλλ' ὁ μὲν τἄλλα (φησὶν) ἐκ εὐτυχέων, εὑρήμασι μέγα πλέσιος ἐγένετο· ἦν γάρ τις καὶ τέτῳ ἄχαρις συμφορὴ λυπεῦσα παιδοκτόνος [5]. τῦτο μὲν ἂν παντὶ [6] δῆλον, ὅτι τὰ χρυσᾶ χρήματα, καὶ τὰ εὑρήματα, καὶ τὸν ἐκβρασσόμενον ὑπὸ τῆς θαλάσσης πλῦτον, ἐπεισήγαγε τῇ ἱςορίᾳ, χώραν καὶ τόπον ποιῶν, ἐν ᾧ θήσεται τὴν Ἀμεινοκλέυς παιδοφονίαν [7].

XXXI. Ἀριςοφάνες δὲ τῦ Βοιωτῦ [8] γράψαντος, ὅτι

1 Sic R. legendum monuit, dedique cum W. idem ex E. sumente. Proxime accedit, quod e Turn. & V. notatur, ἐπισήσας. R. porro voluit ἐ σμικροῖς γε, cum tres hae literae ob eundem finem praecedentis vocis exciderint — *diffidens documentis Spartanae virtutis, apud Thermopylas editis, non profecto parvis aut contemnendis* — nisi ironice accipiatur vulgata.

2 Apud Herodotum VII, 188. sqq. legitur Κρητίνεω.

3 R. legi vult χρύσεα ποτήρια καὶ χρήματα ἄφατα, aut χρυσεῖα (vasa aurea) καὶ χρήμ. ἄφ.

4 R. susp. ἐδὲ τῦτον. Idem corrigit Mez.

5 Ald. Bas. ἐγένετο· τὴν γὰρ αἰτίαν, καὶ τῦτον ἄχαρις συμ * τῦτο μὲν —. Hinc Xyl. locum ex auctore integrandum monuit L. VII. c. 190. Praeter mancam illam lectionem e V. alia adhuc notatur ἦν γάρ τι καὶ τέτῳ χρήματα; e Turn. autem ἦν γάρ τι καὶ τέτῳ ἄχαρι.

6 Ald. Bas. πάντη.

7 De hac interpretatione Plutarchea conf. adnotationes Wesseling. & Valckenar. ad locum Herodoti, nec non Palmer. Exerc. p. 35.

8 Hujus historici, Thebani, nullam facit mentionem Voss. in opere de Histor. Gr.

ὅτι χρήματα μὲν αἰτήσας ἐκ ἔλαβε παρὰ Θηβαίων [1], ἐπιχειρῶν δὲ τοῖς νέοις διαλέγεσθαι καὶ συσχολάζειν, ὑπὸ τῶν ἀρχόντων ἐκωλύθη δι' ἀγροικίαν αὐτῶν καὶ μισολογίαν, ἄλλο μὲν ἐδὲν ἐςι τεκμήριον· ὁ δὲ Ἡρόδοτος τῷ Ἀριςοφάνει μεμαρτύρηκε, δι' ὧν τὰ μὲν ψευδῶς, τὰ δὲ διὰ [2] * τὰ δὲ ὡς μισῶν καὶ διαφερόμενος τοῖς Θηβαίοις, ἐγκέκληκε. Θεσσαλὰς μὲν γὰρ ὑπ' ἀνάγκης ἀποφαίνεται μηδίσαι τοπρῶτον, ἀληθῆ λέγων· καὶ περὶ τῶν ἄλλων Ἑλλήνων μαντευόμενος, ὡς προδόντων ἂν Λακεδαιμονίας, ὑπεῖπεν, ὡς ἐχ ἑκόντων, ἀλλ' ὑπ' ἀνάγκης, ἁλισκομένων κατὰ πόλεις. Θηβαίοις δὲ τῆς αὐτῆς ἀνάγκης ἐ δίδωσι τὴν αὐτὴν συγγνώμην, καίτοι πεντακοσίας μὲν εἰς τὰ Τέμπη καὶ Μναμίαν ςρατηγὸν ἔπεμψαν, εἰς δὲ Θερμοπύλας, ὅσες ἤτησε Λεωνίδας· οἳ καὶ μόνοι σὺν Θεσπιεῦσι παρέμειναν αὐτῷ, τῶν ἄλλων ἀπολιπόντων μετὰ τὴν κύκλωσιν· ἐπεὶ δὲ τῶν παρόδων κρατήσας ὁ βάρβαρος ἐν τοῖς ὅροις ἦν, καὶ Δημάρατος ὁ Σπαρτιάτης διὰ ξενίαν [3] εὔνες ὢν Ἀτταγίνῳ, τῷ προεςῶτι τῆς ὀλιγαρχίας, διεπράξατο φίλον βασιλέως γενέσθαι καὶ ξένον, οἱ δὲ Ἕλληνες ἐν ταῖς ναυσὶν ἦσαν, πεζῇ δ' ἐδεὶς προσήλαυνεν, ἕτω προσεδέξαντο τὰς διαλύσεις, ὑπὸ τῆς μεγάλης ἀνάγκης ἐγκαταληφθέντες [4]. ἔτε γὰρ θάλασσα καὶ νῆες αὐτοῖς παρῆσαν ὡς Ἀθηναίοις, ἔτ' ἀπωτάτω κατῴκεν ὡς Σπαρτιά-

1 Sic R. legendum monuit pro vulg. παρ' Ἀθηναίων. Confentiunt Mez. Amiot. W. Saepe in his nominibus permutationem turbaſſe, conſtat.

2 Lacunam hanc alii aliter explent. Turn. V. διὰ κολακείαν, vel δι' ἔχθραν; Mez. δι' ἄγνοιαν; R. ψευδῶς, νὴ Δία, τὰ δὲ ὡς μισ. aut verba τὰ δὲ διὰ una cum lacunae indicio prorſus tollenda cenſet; W. ſuſp. δι' ἀδικίαν.

3 Dedi ſic & deinde Ἀτταγίνῳ R. jubente, ex Herod. IX, 15. Poſterius quoque W. commendat. Vulgo ξενίας & Ἀπαγίνῳ.

4 Sic vulgatum ἐγκαταλειφθέντες corrigere, neceſſe duxi. Etiam W. judice, rectius videtur.

πίαται τῆς Ἑλλάδος ἐν μυχῷ, μιᾶς δὲ ἡμέρας ὁδῷ καὶ ἡμισείας ἀπέχοντι τῷ Μήδῳ συςάντες ἐπὶ τῶν ςενῶν καὶ διαγωνισάμενοι μετὰ μόνων Σπαρτιατῶν καὶ Θεσπιέων ἠτύχησαν. ὁ δὲ συγγραφεὺς ὕτως ἐςὶ δίκαιος, ὥςε Λακεδαιμονίυς μὲν μονωθέντας, καὶ γενομένυς συμμάχων ἐρήμυς, τυχὸν ἄν φησιν ὁμολογίῃ χρῆσθαι [1] πρὸς Ξέρξεα· Θηβαίοις δὲ τὸ αὐτὸ διὰ τὴν αὐτὴν ἀνάγκην παθῦσι λοιδορεῖται. τὸ δὲ μέγισον καὶ κάλλισον ἔργον [2] ἀνελεῖν μὴ δυνηθεὶς, ὡς ὐ πραχθὲν αὐτοῖς, αἰτίῃ [3] φαύλῃ καὶ ὑπονοίᾳ διαλυμαινόμενος, ταῦτ' ἔγραφεν· Οἱ μὲν ὖν ξύμμαχοι οἱ [4] ἀποπεμπόμενοι ᾤχοντό τε ἀπιόντες, καὶ ἐπείθοντο Λεωνίδῃ· Θεσπιεῖς δὲ καὶ Θηβαῖοι κατέμειναν μῦνοι παρὰ Λακεδαιμονίοισι. τύτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον, καὶ ὐ βυλόμενοι· κατεῖχε γὰρ σφέας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος· Θεσπιέες δὲ ἑκόντες μάλιςα, οἵ ὐδαμὰ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τὺς μετὰ τύτυ ἀπαλλάξεσθαι. εἶτ' ὐ δῆλός ἐςιν ἰδίαν τινὰ πρὸς Θηβαίυς ἔχων ὀργὴν καὶ δυσμένειαν, ὑφ' ἧς ὐ μόνον διέβαλε ψευδῶς καὶ ἀδίκως τὴν πόλιν, ἀλλ' ὐδὲ τῦ πιθανῦ τῆς διαβολῆς ἐφρόντισεν, ὐδὲ ὅπως αὐτὸς ἑαυτῷ τὰ ἐναντία λέγων παρ' ὀλίγυς ἀνθρώπυς [5] ὐ φανεῖται συνειδώς; προειπὼν γὰρ, ὡς ὁ Λεωνίδης, ἐπεί τ' ᾔσθετο τὺς συμμάχυς ἐόντας ἀπροθύμυς, καὶ ὐκ ἐθέλοντας συγκινδυνεύειν,

1 Quae sequuntur πρὸς Ξέρξεα — λοιδορεῖται vulgo absunt. Addidit ea W. ex B. & E.

2 R. mavult κάλλιςον Θηβαίων ἔργων.

3 W. monente, dubium utrum αἰτίᾳ scripserit Plutarchus, an illud prudens imprudensve ex hac Jonicae dictionis consuetudine tenuerit.

4 Vulgo abest οἱ. Inserendum monuit R. ex Herod. VII, 222.

5 R. susp. παρ' εὐλόγοις ἀνθρώποις, *neque cavit, ne ab hominibus sano sensu praeditis deprehenderetur ipse sibi suae secum in dicendo pugnae & inconstantiae conscius fuisse*: aut etiam παρ' ὀλίγυς σίχυς, *post paucos versus interjectos*; W. autem πᾶσιν ὀλίγυ ἀνθρώποις.

δυνεύειν, κελεύσαι [1] σφέας ἀπαλλάττεσθαι· πάλιν μετ' ὀλίγον λέγει, τὰς Θηβαίας ἄκοντας αὐτὸν καταχεῖν, ὡς εἰκὸς ἦν ἀπελάσαι [2] καὶ βυλομένυς παραμένειν, εἰ μηδίζειν αἰτίαν εἶχον. ὅπυ γὰρ ὐκ ἐδεῖτο τῶν μὴ προθύμων, τί χρήσιμον ἦν, ἀναμεμίχθαι μαχομένοις ἀνθρώπυς ὑπόπτυς; ὐ γὰρ δὴ φρένας εἶχε τοιαύτας ὁ τῶν Σπαρτιατῶν βασιλεὺς καὶ τῆς Ἑλλάδος ἡγεμὼν, ὥστε κατέχειν ἐν ὁμήρων λόγῳ τοῖς τριακοσίοις τὰς τετρακοσίυς ὅπλα ἔχοντας, καὶ προσκειμένων ἔμπροσθεν ἤδη καὶ ὄπισθεν ἅμα τῶν πολεμίων· καὶ γὰρ εἰ πρότερον ἐν ὁμήρων λόγῳ ποιέμενος ἦγεν αὐτὰς, ἔν γε τοῖς ἐσχάτοις εἰκὸς ἦν καιροῖς ἐκείνυς τε Λεωνίδᾳ μηδὲν φροντίσαντας ἀπαλλαγῆναι, καὶ Λεωνίδαν δεῖσαι τὴν ὑπ' ἐκείνων μᾶλλον ἢ τῶν βαρβάρων κύκλωσιν. ἄνευ δὲ τέτων, πῶς ὐ γελοῖος ὁ Λεωνίδας, τὰς μὲν ἄλλυς Ἕλληνας ἀπεῖναι [3] κελεύων, ὡς αὐτίκα μάλα τεθνηξόμενος [4], Θηβαίυς δὲ κωλύων, ὡς ὑπ' αὐτῦ φυλάττοιντο τοῖς Ἕλλησιν ἀποθνήσκειν μέλλοντος. εἰ γὰρ ὡς ἀληθῶς ἐν ὁμήρων [5] λόγῳ, μᾶλλον δ' ἀνδραπόδων, περιῆγε τὰς ἄνδρας, ὐ κατέχειν ὤφειλεν αὐτὰς μετὰ τῶν ἀπολυμένων [6], ἀλλὰ παραδῦναι τοῖς ἀπιῦσι τῶν Ἑλ-

1 Dedi sic, R. iubente, *praeceperit* in optat. pro vulg. κελεύσας. Susp. idem W. legendum, ut Herod. VII, 220.

2 Sic W. dedit ex B. & E. pro vulg. ἀπελᾶσθαι. Cum eodem deinde delevi auctoritate Bas. μὴ, quod vulgo inter καὶ & βυλομ. legebatur. Consentiunt Xyl. Amiot. R.

3 ἀπεῖναι, R. mouente, idem est atque ἀπιέναι.

4 Meo quidem sensu aptior est haec lectio sumta e Turn. Bong. Amiot. Schott. Leonic. Anon. item Xyl. vers. & Mez. quam vulgata τεθνηξομένυς.

5 Restitui sic e Bas. quod R. cum Salmas. legi voluit, & W. ex B. & E. sumsit. Vulgo ὁμήρυ. Porro mavult R. μὴ vel ὐ μᾶλλον δ' — *nam si reapse Leonidas Thebanos pro obsidibus, & non potius pro mancipiis, secum habuisset* — Salmas. consentiente.

6 Dedi sic e R. mente, probata W. pro vulg. ἀπολλυμένων.

Ἑλλήνων. ὃ δὲ λοιπὸν ἦν τῶν αἰτίων εἰπεῖν, ὅτι ὡς ἀπολυμένυς [1] κατεῖχε, καὶ τῦτο ἀνήρηκεν ὁ συγγραφεὺς, οἷς περὶ τῆς Φιλοτιμίας τῦ Λεωνίδυ κατὰ λέξιν γράφει [2]. ταῦτα δὲ δὴ ἐπιλεγόμενον Λεωνίδαν, καὶ βυλόμενον καταθέσθαι κλέος μύνων [3] Σπαρτιητέων, ἀποπέμψαι τὺς συμμάχυς μᾶλλον, ἢ τῆσι γνώμῃσι διενεχθέντας [4]. ὑπερβολὴ γὰρ εὐηθείας ἦν, ἧς ἀπήλαυνε [5] δόξης τὺς συμμάχυς κατέχειν μεθέξοντας τὺς πολεμίυς. ὅτι τοίνυν ὐ διεβέβλητο τοῖς Θηβαίοις ὁ Λεωνίδας, ἀλλὰ καὶ φίλυς ἐνόμιζε βεβαίυς, ἐκ τῶν πεπραγμένων δῆλον ἐςί. καὶ γὰρ παρῆλθεν εἰς Θήβας ἄγων τὸ ςράτευμα, καὶ δεηθεὶς ἔτυχεν, ὃ μηδὲ εἷς ἄλλος, ἐν τῷ ἱερῷ κατακοιμηθῆναι τῦ Ἡρακλέυς, καὶ τὴν ὄψιν ἣν εἶδεν ὄναρ [6] ἐξήγγειλε τοῖς Θηβαίοις· ἔδοξε γὰρ ἐν θαλάσσῃ πολὺν ἐχέσῃ καὶ τραχὺν κλύδωνα, τὰς ἐπιφανεςάτας

1 Vulgo εἰπεῖν, ἴσως δ' ἀπολυμένων κατεῖχε. Hiulca haec esse, Xyl. monuit. R. notat, se locum hunc non sarcire. Egregie rem expedit W. vocabula ἴσως δ' ἀπολυμένων, annotatiunculam in margine a correctore ad illud superius ἀπολλυμένων, quod vulgo legebatur, positam videri monens. Removenda ergo hinc fuerunt. Dedi lectionem, quam W. e Mez. probat, & Xyl. vertendo bene expressit. Firmatur simul cod. Turn. e quo ἀπολυμένυς notatur.

2 Vulgo post λέξιν est lacuna. Xyl. deesse εἴρηκε aut γράφει notat. R. mavult ὅτω γράφει; Turn. inserit φησί; W. nil nisi γράφει, aut simile desiderat. Non dubitavi tale quid recipere. R. porro mavult ταῦτά τε δή.

3 R. notat, se hic praeferre lectionem Plutarchi illi, quae est apud Herodotum μῦνον Enotatur haec e Turn. & V. Vulgo deinde Σπαρτιατέων. W. dedit Σπαρτιητέων ex B. & E.

4 R. ex Herod. VII, 220. locum ita integrandum esse monet, διενεχθέντας ὅτω ἀκόσμως οἴχεσθαι τὺς οἰχομένυς.

5 Sic, R. jubente, restitui e Bas. cum W. accedentibus E. & Xyl. pro vulg. ἀπήλαυε.

6 Sic W. ex B. & E. recepit. Vulgo Ἥραν, quod nihil valere Xyl. monuit, susp. ἱερὰν, sacrum somnium & vere divinum, utpote loco in sacro oblatum. R. conjecit ἣν εἶδεν ἐν ὀνείρῳ, ἐξήγγ. *speciem, quam in somnio viderat.*

στάτας καὶ μεγίστας πόλεις τῆς Ἑλλάδος ἀνωμάλως διαφέρεσθαι καὶ σαλεύειν, τὴν δὲ Θηβαίων ὑπερέχειν τε πασῶν, καὶ μετέωρον ἀρθῆναι πρὸς τὸν οὐρανὸν, εἶτ' ἐξαίφνης ἀφανῆ γενέσθαι· καὶ ταῦτα μὲν ἦν ὅμοια τοῖς ὕστερον χρόνῳ πολλῷ συμπεσοῦσι περὶ τὴν πόλιν.

XXXII. Ὁ δὲ Ἡρόδοτος ἐν τῇ διηγήσει τῆς μάχης, καὶ τοῦ Λεωνίδου τὴν μεγίστην ἠμαύρωκε πρᾶξιν [1], αὐτοῦ πεσεῖν πάντας εἰπὼν ἐν τοῖς στενοῖς περὶ τὸν Κολωνόν· ἐπράχθη δ' ἄλλως. ἐπεὶ γὰρ ἐπύθοντο νύκτωρ τὴν περίοδον τῶν πολεμίων, ἀναστάντες ἐβάδιζον ἐπὶ τὸ στρατόπεδον καὶ τὴν σκηνὴν (ὀλίγου δεῖν [2]) βασιλέως, ὡς ἐκεῖνον [3] αὐτὸν ἀποκτενοῦντες, καὶ περὶ ἐκείνῳ τεθνηξόμενοι· μέχρι μὲν οὖν τῆς σκηνῆς ἀεὶ τὸν ἐμποδὼν φονεύοντες, τοὺς δ' ἄλλους τρεπόμενοι προῆλθον· ἐπεὶ δ' οὐχ ηὑρίσκετο Ξέρξης, ζητοῦντες ἐν μεγάλῳ καὶ ἀχανεῖ στρατεύματι, καὶ πλανώμενοι, μόλις ὑπὸ τῶν βαρβάρων πανταχόθεν περιχυθέντων διεφθάρησαν. ὅσα μὲν οὖν ἄλλα πρὸς τούτῳ τολμήματα καὶ ῥήματα τῶν Σπαρτιατῶν καταλέλοιπεν, ἐν τῷ Λεωνίδου βίῳ γραφήσεται [4]. μικρὰ δ' οὐ χεῖρόν ἐστι καὶ νῦν διελθεῖν. ἀγῶνα μὲν γὰρ ἐπιτάφιον αὐτῷ [5] ἠγωνίσαντο πρὸ τῆς ἐξόδου, καὶ τοῦτον ἐθεῶντο πατέρες αὐτῶν καὶ μητέρες· αὐτὸς δὲ ὁ Λεωνίδας πρὸς μὲν τὸν εἰπόντα, παντελῶς ὀλίγους ἐξάγειν αὐτὸν

1 Vulgo comma post αὐτοῦ fuit. R. jubente post πρᾶξιν revocavi, ut αὐτοῦ sit *ibi apud collem.*

2 Quae uncis inclusi, R. delenda censet, cum evertant sequentia, ubi ait, eos ad ipsum usque Xerxis tentorium pervenisse, sed eum ibi non reperisse. W. notat, se huic dictioni quid faciat, non habere.

3 R. mavult legi ὡς ἐκεῖ αὐτόν.

4 Num Plut. hanc vitam conscripserit, latet. In catalogo Lampriae nulla ejus est mentio. Paulo ante W. mavult παραλέλοιπεν. Cum eodem delevi δή, quod vulgo inter ἐν & τῷ legitur. Abest nimirum a Baf. Xyl. B. & E. in Ald. autem fuit δὲ, quod Leonic. & Schott. in δὴ mutarunt, a Steph. vulgatum.

5 Turn. V. Bong. Leonic. Schott. Amiot. αὐτῶν.

αὐτὸν ἐπὶ τὴν μάχην, πολλὰς μὲν ἔφη τεθνηξομένας, πρὸς δὲ τὴν γυναῖκα, πυνθανομένην ἐξιόντος, εἴ τι λέγοι, μεταστραφεὶς εἶπεν· Ἀγαθοῖς γαμεῖσθαι, καὶ ἀγαθὰ τίκτειν. ἐν δὲ Θερμοπύλαις, μετὰ τὴν κύκλωσιν, δύο τῶν ἀπὸ γένους ὑπεξελέσθαι βουλόμενος, ἐπιστολὴν ἐδίδου ἑτέρῳ [1], καὶ ἔπεμπεν· ὁ δ' οὐκ ἐδέξατο, Φήσας μετ' ὀργῆς· Μαχατάς τοι, οὐκ ἀγγελιαφόρος, εἱπόμαν· τὸν δὲ ἕτερον ἐκέλευεν εἰπεῖν τι πρὸς τὰ τέλη τῶν Σπαρτιατῶν· ὁ δὲ ἀπεκρίνατο [2], τὰ πράγματα, καὶ τὴν ἀσπίδα λαβὼν, εἰς τάξιν κατέστη. ταῦτα τίς οὐκ ἂν [3] ἐπετίμησεν, ἄλλου παραλιπόντος; ὁ δὲ τὴν Ἀμάσιδος ἀποψόφησιν, καὶ τὴν τῶν ὄνων τοῦ κλέπτου προσέλασιν, καὶ τὴν τῶν ἀσκῶν ἐπίδοσιν, καὶ πολλὰ [4] τοιαῦτα συναγαγὼν, καὶ διαμνημονεύων, οὐκ ἀμελείᾳ δόξειεν

1 R. mavult ἐπιστολὴν μὲν ἐδίδου θατέρῳ. W. quoque desiderat articulum τῷ, aut legi vult θατέρῳ.

2 Vulgo ἀπεκρίνοντος. Turn. V. ἀπεκρίνατο, quod recepi cum W. consentiente E. Ex B. notatur ἀπεκρίνετο. At quid valeat τὰ πράγματα, dubius sum. R. susp. ὁ δὲ ὑποκρινόμενος διαγγελοῦντα τὸ πρόσταγμα, τὸ δόρυ καὶ τὴν ἀσπίδα λαβὼν — simulans, perlaturum imperata, sumta hasta scutoque. W. legendum censet τῷ πράγματι & vertit: *& hic facto respondens, scuto sumto in acie adstitit.* Sed fateor, me in hac lectione commodum sensum desiderare. Num forte: ὁ δὲ ἀπεκρίνατο· οὐ προσήκει μοι τὰ πράγματα, indignae me sunt hae res? an ἐκκρίνει με τὰ πρ. — ex meo ordine me removent — an ἐκκρίνειν με μέλλοντος τὰ πρ. res sunt, ab eo proficiscentes, qui me ex meo ordine removere vult? — Tale quid certe sensit Xyl. vertens: & hic apparitoris munus esse fatus —. Aliter quidem res refertur in Vol. VIII. p. 218.

3 Sic Steph. post Amiot. Turn. Leonic. Schott. Anon. At B. E. Ald. Bas. Xyl. οὐκ ἄν τις.

4 R. susp. καὶ ἄλλα πολλὰ τοιαῦτα.

ξειεν ἂν καὶ ὑπεροψίᾳ προΐεσθαι [1] καλὰ μὲν ἔργα, καλὰς δὲ φωνὰς, ἀλλ᾽ οὐκ εὐμενὴς ὢν πρὸς ἐνίους, οὐδὲ δίκαιος [2].

XXXIII. Τοὺς δὲ Θηβαίους πρῶτον [3] μέν, φησι μετὰ τῶν Ἑλλήνων ἐόντας μάχεσθαι ὑπ᾽ ἀνάγκης ἐχομένους. οὐ γὰρ μόνον Ξέρξης, (ὡς ἔοικεν) ἀλλὰ καὶ Λεωνίδας μαστιγοφόρους εἶχεν ἑπομένους, ὑφ᾽ ὧν οἱ Θηβαῖοι παρὰ γνώμην ἠναγκάζοντο μαστιγούμενοι μάχεσθαι· καὶ μάχεσθαι μὲν ὑπ᾽ ἀνάγκης φησὶ τοὺς ἀπελθεῖν καὶ φεύγειν δυναμένους, μηδίσαι δὲ ἑκόντας, οἷς οὐδεὶς παρῆν βοηθῶν. ἑξῆς δὲ τούτοις γέγραφεν, ὅτι, τῶν ἄλλων ἐπειγομένων ἐπὶ τὸν Κολωνὸν, ἀποσχισθέντες οἱ Θηβαῖοι χεῖράς τε προέτειναν, καὶ ἦσαν [4] ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς μηδίσειαν [5], καὶ γῆν τε καὶ ὕδωρ ἔδοσαν βασιλεῖ, ὑπὸ δ᾽ ἀνάγκης ἐχόμενοι εἰς Θερμοπύλας ἀπικέατο, καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος, τοῦ γενομένου βασιλεῖ· ταῦτα λέγοντες περιεγένοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς μάρτυρας τούτων τῶν λόγων. ὅρα διὰ τοσούτων ἐν βαρβάροις κραυγαῖς καὶ παμμιγέσι θορύβοις καὶ φυγαῖς καὶ διώξεσιν ἀκουομένην δικαιολογίαν, καὶ μαρτύρων ἀνάκρισιν, καὶ Θεσσαλοὺς μεταξὺ τῶν [6] φονευομένων καὶ πατουμένων ὑπ᾽ ἀλλήλων, παρὰ

1 R. monente, raro & non valde commodo modo προΐεσθαι posuit pro παραπέμψαι vel παριέναι; nam προΐεσθαι ἔργα insolens est, & προΐεσθαι φωνὰς notat *emittere, pronunciare voces.*

2 Sic R legi voluit, & habent omnes libri, except. Steph. & rell. Steph. secutis.

3 Recepi cum W. ex Bas. & Xyl. Refertur ad sequens ἑξῆς. Ald. B. E. πρῶτοι. Steph. ex Leonic. Schott. Anon. vulgavit πρώτους. R. ex Herod. legi censuit τέως.

4 Turn. V. Xyl. ἤϊσαν, ut Herod. VII, 233.

5 R. mavult μηδίζουσι, & ἐν πρώτοισι ἔδοσαν ἂν βασιλεῖ, *dedissent.* Turn. habet μηδίζουσι.

6 R. susp. καὶ Θεσσαλοὺς μαρτυροῦντας μεταξὺ πάντων (aut τῶν ἄλλων) φονευομένων.

παρὰ τὰ [1] ξενὰ, Θηβαίοις συνδικοῦντας, ὅτι τῆς Ἑλλάδος αὐτοὺς κρατοῦντας ἄχρι Θεσπιέων ἔναγχος ἐξήλασαν μάχῃ περιγενόμενοι [2], καὶ τὸν ἄρχοντα Λατταμίαν ἀποκτείναντες [3]. ταῦτα γὰρ ὑπῆρχε Βοιωτοῖς τότε καὶ Θετταλοῖς πρὸς ἀλλήλους, ἐπιεικὲς δὲ καὶ φιλάνθρωπον οὐδέν, ἀλλὰ δὴ τῶν Θεσσαλῶν μαρτυρούντων, πῶς περιεγένοντο Θηβαῖοι, τοὺς μὲν [4] αὐτῶν ἀπέκτειναν οἱ βάρβαροι προσιόντας, ὡς αὐτὸς εἴρηκε· τοὺς δ' ἔτι πλεῦνας [5] κελεύσαντος Ξέρξεω, ἔστιξαν στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ στρατηγοῦ Λεοντιάδεω. οὔτε [6] Λεοντιάδης ἐν Θερμοπύλαις ἦν στρατηγὸς, ἀλλ' Ἀνάξανδρος, ὡς Ἀριστοφάνης ἐκ τῶν κατὰ ἄρχοντας ὑπομνημάτων ἱστόρησε, καὶ Νίκανδρος ὁ Κολοφώνιος· οὔτε γινώσκει τὶς ἀνθρώπων πρὸ Ἡροδότου στιχθέντας ὑπὸ Ξέρξου Θηβαίους. ἐπεὶ μέγιστον ἦν ἀπολόγημα τῆς διαβολῆς, καὶ καλῶς εἶχε τὴν πόλιν ἀγάλλεσθαι τοῖς στίγμασιν ἐκείνοις, ὡς Ξέρξου δικάσαντος [7] ἐχθίστοις χρήσασθαι Λεωνίδῃ καὶ Λεοντιάδῃ.



1 Sic W. ex B. & E. dedit. Vulgo πάντα γὰρ ξενά. Hinc R. post ξενὰ deesse aliquid, susp. e. c. καὶ τίς οὐκ ἂν οἴοιτο τοὺς Θεσσαλοὺς ἐπιτιθεμένους μᾶλλον ἐν τῷ τότε καὶ ἐγκαλοῦντας ἢ μαρτυροῦντας Θηβαίοις καὶ συνδικοῦντας -- ecquis est, qui non existimet, Thessalos ea occasione potius usuros fuisse ad afferendum Thebanis damnum & adspergendas criminationes, quam ad perhibendum ipsis praeclarum testimonium & dicendam eorum causam. Kaltw. vulgatam parenthetice accipiendam censuit, nihil amplius desiderans.

2 Ita Mez. & R. corrigunt, & vertunt Amiot. & Xyl. deinque pro vulg. παραγενόμενοι. Ad rem ipsam cf. Vol. I, p. 342. not. 2. Ibi quoque dicitur Λατταμύας. E. Λατταμύαν.

3 Sic ex R. mente dedi. Vulgo ἀποκτείνοντες.

4 Addi vult R. post haec γάρ. Sunt Herodoti verba, quibus ad quaestionem respondetur, ex VII, c. 233.

5 Sic R. legendum monuit, dedique cum W. ita ex B. E. Xyl. & Herod. l. c. sumente. Vulgo πρεῦνας.

6 R. mavult ἀλλ' οὔτε.

7 R. & W. susp. δικαιώσαντος, *aequum & se dignum censente.*

ἀδῃ [1]. τȣ̃ μὲν γὰρ ἠκίσατο πεπτωκότος τὸ σῶμα· τȣ̃ δὲ ζῶντος ἔσιξεν. ὁ δὲ τὴν μὲν εἰς Λεωνίδαν ὠμότητα δήλωμα ποιȣ́μενος, ὅτι μάλιστα δὴ ἀνδρῶν ὁ βάρβαρος ἐθυμώθη ζῶντι Λεωνίδῃ, Θηβαίȣς δὲ καὶ μηδίζοντας λέγων ἐν Θερμοπύλαις σιχθῆναι, καὶ σιχθέντας αὖθις ἐν Πλαταιαῖς μηδίζειν προθύμως, δοκεῖ μοι, καθάπερ Ἱπποκλείδης, ὁ τοῖς σκέλεσι χειρονομῶν ἐπὶ τῆς τραπέζης, εἰπεῖν ἂν, ἐξορχȣ́μενος τὴν ἀλήθειαν· Οὐ φροντὶς Ἡροδότῳ [2].

XXXIV. Ἐν δὲ τῇ ὀγδόῃ, τȣ̀ς Ἕλληνάς, φησι, καταδειλιάσαντας, ἀπὸ τȣ̃ Ἀρτεμισίȣ δρησμὸν βȣλεύεσθαι ἔσω [3] εἰς τὴν Ἑλλάδα· καὶ τῶν Εὐβοέων δεομένων ὀλίγον ἐπιμεῖναι χρόνον, ὅπως ὑπεκθοῖντο γενεȣ̀ς [4] καὶ τὸ οἰκετικὸν, ὀλιγωρεῖν, ἄχρις ȣ̃ Θεμιςοκλῆς ἀργύριον λαβὼν Εὐρυβιάδῃ τε μετέδωκε, καὶ Ἀδειμάντῳ, τῷ Κορινθίων ςρατηγῷ· τότε δὲ μεῖναι καὶ διαναυμαχῆσαι πρὸς τȣ̀ς βαρβάρȣς. ὁ μὲν Πίνδαρος, ȣ̓κ ὢν συμμάχȣ πόλεως, ἀλλὰ μηδίζειν αἰτίαν ἐχȣ́σης, ὅμως τȣ̃ Ἀρτεμισίȣ μνησθεὶς ἐπιπεφώνηκε,

— Ὅθι [5] παῖδες Ἀθηναίων ἐβάλοντο
Φαεννὰν κρηπῖδ' ἐλευθερίας.

Ἡρό-

1 Sic, R. monente, dedi cum W. ita ex B. E. sumente. Vulgo Λεοντίδῃ, quod Steph. ex Ald. vulgaverat. Baſ. & Xyl. plane omittunt καὶ Λεοντιάδῃ.

2 Ita W. ex B. & E. recepit, ut accommodatius huic loco, quam vulgatum Ἱπποκλείδῃ, quod ex universa & vulgari eſt proverbii forma. Cf. Herod. VI. c. 126—130.

3 Addidit ἔσω W. ex B. & E. nec non Herod. ipſo VIII, 4. & Mez.

4 Ita Ald. Baſ. Xyl. B. E. & eſt, W. judice, qui idem recepit, vetus & exquiſiti uſus lectio, non intellecta Leonico, Schott. Anon. ab iisdem mutata in γυναῖκας, quod Steph. vulgavit, ipſique Herodoto reſtituenda l. c.

5 Sic legitur Vol. X. p. 228. & Schneid. in citando hoc fragm. Pindarico p. 71. edidit, & H. Steph. in Vit. Themiſtocl. Vol. I. p. 287. ſcribendum monuit, dedique cum W. idem ex B. & Mez. ſumente, pro vulg. ὅτι. Leguntur quoque haec Vol. IX. p. 97.

Ἡρόδοτος δὲ, ὑφ' οὗ κεκοσμῆσθαί τινες ἀξιοῦσι τὴν Ἑλλάδα, δωροδοκίας καὶ κλοπῆς ἔργον ἀποφαίνει τὴν νίκην ἐκείνην γενομένην, καὶ τοὺς Ἕλληνας ἀκουσίως ἀγωνισαμένους, ὑπὸ τῶν στρατηγῶν ἐξαπατηθέντας ἀργύριον λαβόντων. καὶ τοῦτο πέρας οὐ γέγονεν αὐτῷ τῆς κακοηθείας, ἀλλὰ πάντες μὲν ἄνθρωποι σχεδὸν ὁμολογοῦσι, ταῖς ναυμαχίαις αὐτόθι κρατοῦντας τοὺς Ἕλληνας, ὅμως ὑφέσθαι τοῦ Ἀρτεμισίου τοῖς βαρβάροις, τὰ περὶ Θερμοπύλας ἀκούσαντας· οὐδὲ γὰρ ἦν ὄφελος ἐνταῦθα καθημένους φρουρεῖν τὴν θάλασσαν, ἐντὸς Πυλῶν τοῦ πολέμου γεγονότος, καὶ Ξέρξου τῶν παρόδων κρατοῦντος. Ἡρόδοτος δὲ, πρὶν ἀπαγγελῆναι τὸν Λεωνίδου θάνατον, ἤδη ποιεῖ τοὺς Ἕλληνας βουλευομένους ἀποδιδράσκειν· λέγει δὲ οὕτως· Τρηχέως δὲ περιενεχθέντες [1], καὶ οὐχ ἥκιστα Ἀθηναῖοι, τῶν αἱ ἡμίσειαι τῶν νεῶν τετρωμέναι ἦσαν, δρησμὸν ἐβούλευον [2] εἰς τὴν Ἑλλάδα. καίτοι τὴν πρὸ τοῦ ἀγῶνος ἀναχώρησιν οὕτως ὀνομάσαι, μᾶλλον δ' ὀνειδίσαι, δεδόσθω [3]. ὁ δὲ καὶ πρότερον δρασμὸν εἶπεν, καὶ νῦν δρασμὸν ὀνομάζει, καὶ μετ' ὀλίγον πάλιν ἐρεῖ δρασμόν· οὕτω πικρῶς [4] τῷ ῥήματι προσπέφυκε· τοῖς δὲ βαρβάροισιν αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθεν ἀνὴρ Ἑστιαιεὺς, ἀγγέλλων τὸν δρησμὸν ἀπὸ [5] τοῦ Ἀρτεμισίου τὸν τῶν Ἑλλήνων· οἱ δὲ ὑπὸ ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νέας δὲ ταχείας ἀπέστειλαν προκατοψο-



1 R. mavult ex Herod. VIII, 18. περιεφθέντες; W. id quoque censet; B. περιερχθέντες.

2 Sic W. ex B. & E. recepit. Habet quoque Herod. l. c. Vulgo ἐβουλεύοντο.

3 Ita R. dandum monuit — *datum, indultum ipsi esto* — dedique cum W. e Turn. V. accedentibus B. E. Anon. Xyl. Vulgo δεδόσθαι.

4 W. dubitat, an rectius fuerit γλίσχρως.

5 Inserui ἀπὸ e R. mente. Ald Baf. pro τοῦ ante Ἀρτεμ. exhibent τόν; Turn. V. τὸν ἐπ' Ἀρτεμ. Paulo ante Ἑστιαιεὺς est in B. E. Ald. Baf. & alii servant. Xyl. ex correctione ipse sua Ἱστιαιεὺς, ut Herod. VIII, 23.

μένας. τί σὺ λέγεις; ἀποδιδράσκειν, ὡς κεκρατημένους, οὓς οἱ πολέμιοι μετὰ τὴν μάχην ἀπιστοῦσι φεύγειν, ὡς πολὺ κρατοῦντας; εἶτα πιστεύειν ἄξιον τούτῳ γράφοντι περὶ ἀνδρὸς ἢ πόλεως μιᾶς, ὃς ἑνὶ ῥήματι τὰ νίκημα τῆς Ἑλλάδος ἀφαιρεῖται, καὶ τὸ τρόπαιον καθαιρεῖ, καὶ τὰς ἐπιγραφάς, ἃς ἔθεντο παρὰ τῇ Ἀρτέμιδι τῇ Προσηῴᾳ [1] κόμπον ἀποφαίνει καὶ ἀλαζονείαν; ἔχει δὲ οὕτω τὸ ἐπίγραμμα·

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας
Παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
Ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
Σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

Ἐν μὲν οὖν ταῖς μάχαις οὐκ ἔταξε τοὺς Ἕλληνας, οὐδ' ἐδήλωσεν, ἣν ἑκάστη πόλις ἔχουσα χώραν ἐναυμάχησε· κατὰ δὲ τὸν ἀπόπλουν, ὃν αὐτὸς δρασμὸν προσαγορεύει, πρώτους φησὶ Κορινθίους πλεῖν, ὑστάτους δ' Ἀθηναίους.

XXXV. Ἔδει μὲν οὖν μηδὲ τοῖς μηδίσασιν Ἑλλήνων ἄγαν ἐπεμβαίνειν, καὶ ταῦτα Θούριον μὲν ὑπὸ τῶν ἄλλων νομιζόμενον, αὐτὸν δὲ Ἁλικαρνασσέων περιεχόμενον, οἳ Δωριεῖς ὄντες μετὰ τῆς γυναικωνίτιδος ἐπὶ τοὺς Ἕλληνας ἐστράτευσαν· ὁ δὲ τοσοῦτον ἀποδεῖ τοῦ πρότερον ὀνομάζειν [2] τὰς τῶν μηδισάντων ἀνάγκας, ὥστε περὶ Θετταλῶν διηγησάμενος, ὅτι Φωκεῦσιν, ἐχθροῖς καὶ πολεμίοις οὖσι, προσέπεμψαν, ἐπαγγελλόμενοι, τὴν χώραν αὐτῶν ἀβλαβῆ διαφυλάξειν, εἰ πεντήκοντα τάλαντα μισθὸν λάβοιεν, ταῦτα περὶ Φωκέων γέγραφεν αὐτοῖς ὀνόμασιν· Οἱ γὰρ Φωκεῖς μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδιζον, κατ' ἄλλο μὲν οὐδέν, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ηὖξον, ὡς ἐμοὶ δοκεῖ, ἐμή-

διζον

1 Vulgo τῇ πρὸς * κόμπον. Xyl. vit. Themistocl. Vol. I. p. 287. reponendum hic monuit Προσηῴᾳ, quod cum W. dedi. R. susp. τῇ Ἀγροτέρᾳ, aut τῇ Προπυλαίᾳ. Turn. & V. πρὸς ἀκρωτηρίῳ.

2 Verba πρότερον ὀνομάζειν suspecta sunt R.

διζον ἂν οἱ Φωκεῖς. καίτοι μετὰ μικρὸν αὐτὸς ἐρεῖ, τρισκαίδεκα πόλεις τῶν Φωκέων ὑπὸ τῦ βαρβάρυ κατακεκαῦσθαι, διεφθάρθαι τὴν χώραν, ἐμπεπρῆσθαι τὸ ἐν Ἄβαις ἱερὸν, ἄνδρας ἀπολωλέναι καὶ γυναῖκας, ὅσοι μὴ διαφυγόντες ἔφθησαν εἰς τὸν Παρνασόν. ἀλλ' ὅμως τὺς τὰ ἔχατα παθεῖν ἐπὶ τῷ μὴ προέσθαι τὸ καλὸν ὑπομείναντας, εἰς τὴν αὐτὴν ἔθετο κακίαν τοῖς προθυμότατα μηδίσασι· καὶ τὰ ἔργα τῶν ἀνδρῶν ψέξαι μὴ δυνηθεὶς, αἰτίας ἐκάθητο φαύλας καὶ ὑπονοίας ἐπὶ τῦ γραφεῖυ συντιθεὶς κατ' αὐτῶν, καὶ κελεύων [1], ὐκ ἀφ' ὧν ἔπραξαν, ἀλλ' ἀφ' ὧν ἔπραξαν ἂν, εἰ μὴ ταῦτα Θεσσαλοῖς ἔδοξε, κρίνεσθαι τὴν διάνοιαν αὐτῶν, ὥσπερ χώρας ἀντειλημμένης ὑφ' ἑτέρων, τῆς προδοσίας ἀπολειφθέντας. εἰ τοίνυν Θεσσαλός τις ἐπιχειρεῖ τῦ μηδισμῦ παραιτεῖσθαι, λέγων, ὡς ὐ ταῦτ' ἐβόλοντο, τῇ δὲ πρὸς Φωκέας διαφορῦ



1 W. sic dedit ex E. marg. B. Anon. pro vulg. κολύων. Turn. V. κελεύων & κωλύων. Verba, quae deinde sequuntur ἀλλ' ἀφ' ὧν ἔπραξαν ἂν, vulgo absunt, deditque W. ita Mez. ex codice vetere P. corrigente, & re ipsa loquente. Recepi denique cum eodem ἀντειλημμένης e Turn. V. accedentibus E. Leonic. Mez. licet ipsi praeferendum videatur κατειλημμένης. Etiam R. in corrigendo hoc loco operam posuit, ita suspicans: κατ' αὐτῶν, καὶ ἀφ' ὧν ὐκ ἔπραξαν ἂν, εἰ μὴ ταῦτα Θετταλοῖς ἔδοξε, δικαιῶν κρίνεσθαι τὴν αὐτῶν διάνοιαν, καὶ κολύων, ὥσπερ χώρας ἀντειλημμένης ὑφ' ἑτέρων τῆς προδοσίας ἀπολειφθέντας — & censens, jure merito ipsorum consilia ex iis aestimari, quae procul dubio non fecissent, nisi Thessalis visum fuisset ita facere, ut fecerunt, & carpens atque exagitans eos, tanquam si proditio castrum esset, quod ipsi voluerunt occupare, sed sero venissent, ea jam ab aliis praeoccupata: Vel, καὶ κολύων, δέον, ἀφ' ὧν ἔπραξαν, ἀλλ' ὐκ ἀφ' ὧν ἔπραξαν ἂν, εἰ μὴ τἀναντία Θετταλοῖς ἔδοξε, κρίνεσθαι τὴν αὐτῶν διάνοιαν, καὶ μὴ παρεισάγειν αὐτὰς ἀνάγκῃ ἐπιτηδεύοντας, ὥσπερ χώρας προκατειλημμένης ὑφ' ἑτέρων ἀπολειφθέντας — cum oportuisset eorum animum a rebus gestis judicare, non ab iis, quae fortassis peregissent, si contrariam inire viam Thessalis visum fuisset, neque eos introducere per necessitatem virtuti studentes, propterea quod exclusos se viderent proditione, tanquam agro jam ab aliis occupato.

ρᾷ τοῖς Ἕλλησι προστιθεμένους ὁρῶντες, αὐτοὶ παρὰ γνώμην ἐμήδισαν, ἆρ' οὐκ ἂν αἴσχιστα κολακεύειν ἔδοξε καὶ πρὸς ἑτέρων χάριν αἰτίας χρηστὰς ἐπὶ πράγμασι φαύλοις πορίζων διαστρέφειν τὴν ἀλήθειαν; ἐγὼ μὲν οἶμαι. πῶς οὖν οὐ περιφανέστατα δόξει συκοφαντεῖν ὁ μὴ δι' ἀρετὴν τὰ βέλτιστα Φωκεῖς ἑλομένους ἀποφαινόμενος, ἀλλ' ὅτι τἀναντία Θεσσαλοὺς ἔγνωσαν φρονοῦντας; οὐδὲ γὰρ εἰς ἑτέρους (ὥσπερ εἴωθεν) ἀνάγει τὴν διαβολὴν, ἀκηκοέναι λέγων, ἀλλ' αὐτὸς εὑρίσκειν συμβαλλόμενος. εἰπεῖν οὖν ἔδει τὰ τεκμήρια, δι' ὧν ἐπείσθη τοὺς ὅμοια πράττοντας τοῖς ἀρίστοις, τὰ αὐτὰ τοῖς φαυλοτάτοις διανοηθῆναι· τὸ γὰρ τῆς ἔχθρας γελοῖόν ἐστιν· οὔτε γὰρ Αἰγινήτας ἐκώλυσεν ἡ πρὸς Ἀθηναίους διαφορὰ, καὶ Χαλκιδεῖς ἡ πρὸς Ἐρετριέας, καὶ Κορινθίους ἡ πρὸς Μεγαρέας, τῇ Ἑλλάδι συμμαχεῖν· οὐδ' οὖν πάλιν Θεσσαλοὺς μηδίζοντες [1] οἱ πολεμιώτατοι Μακεδόνες, τῆς πρὸς τὸν βάρβαρον φιλίας ἀπέστρεψαν· τὰς γὰρ ἰδίας ἀπεχθείας ὁ κοινὸς ἀπέκρυψε κίνδυνος, ὥστε τῶν ἄλλων παθῶν ἐκπεσόντας, ἢ τῷ καλῷ δι' ἀρετὴν, ἢ τῷ συμφέροντι δι' ἀνάγκην προστίθεσθαι τὴν γνώμην. οὐ μὴν ἀλλὰ καὶ μετὰ τὴν ἀνάγκην ἐκείνην, ᾗ κατελήφθησαν ὑπὸ Μήδοις γενέσθαι, πάλιν μετεβάλοντο πρὸς τοὺς Ἕλληνας οἱ ἄνδρες [2], καὶ Λαοκράτης μὲν αὐτοῖς, ὁ Σπαρτιάτης, ἄντικρυς ἐμαρτύρησεν· αὐτὸς δὲ ὁ Ἡρόδοτος, ὥσπερ ἐκβιασθεὶς, ἐν τοῖς Πλαταιϊκοῖς ὁμολογεῖ καὶ Φωκέας παραγενέσθαι τοῖς Ἕλλησιν [3].

XXXVI. Οὐ δεῖ δὲ θαυμάζειν, εἰ τοῖς ἀτυχήσασιν ἔγκειται πικρῶς, ὅπου καὶ τοὺς παραγενομένους καὶ συγκινδυνεύσαντας εἰς τὴν τῶν πολεμίων μερίδα καὶ προδοτῶν

τῶν

1 Ita, sententia flagitante, R. legendum censuit, & dedit W. leviter corrigendo lectionem B. & E. μηδίζοντας.

2 scil. Phocenses. A Bas. abest articulus; Ald. vitiose ἐ ἄνδρες.

3 Herod. L. IX. 31.

τῶν μετατίθησι. Νάξιοι γὰρ τρεῖς [1] ἔπεμψαν τριήρεις συμμάχους τοῖς βαρβάροις, εἷς δὲ τῶν τριηράρχων Δημόκριτος ἔπεισε τοὺς ἄλλους ἑλέσθαι τὰ τῶν Ἑλλήνων. οὕτως οὐδ' ἐπαινεῖν ἄνευ τοῦ ψέγειν οἶδεν, ἀλλ' εἰ [2] εἷς ἀνὴρ ἐγκωμιασθῇ, πόλιν ὅλην δεῖ κακῶς ἀκοῦσαι καὶ δῆμον. μαρτυρεῖ δ' αὐτῷ [3] τῶν μὲν πρεσβυτέρων Ἑλλάνικος, τῶν δὲ νεωτέρων Ἔφορος, ὁ μὲν ἕξ, ὁ δὲ πέντε ναυσὶν τοὺς Ναξίους [4] ἐλθεῖν τοῖς Ἕλλησι βοηθοῦντας ἱστορήσας. αὐτὸς δὲ καὶ παντάπασιν ἑαυτὸν ὁ Ἡρόδοτος ἐξελέγχει ταῦτα πλαττόμενον. οἱ μὲν γὰρ Ναξίων ὡρογράφοι [5] λέγουσι, καὶ προτερον Μεγαβάτην ἀπώσασθαι ναυσὶ διακοσίαις ἐπιπλεύσαντα τῇ νήσῳ, καὶ Δᾶτιν αὖθις τὸν στρατηγὸν ἐξελάσαι καταπρήσαντα ποιῆσαι κακόν [6]. εἰ δὲ, ὡς Ἡρόδοτος εἴρηκεν ἀλλαχόθι [7], τὴν μὲν πόλιν αὐτῶν ἐμπρήσαντες διέφθειραν [8], οἱ δ' ἄνθρωποι καταφυγόντες εἰς τὰ ὄρη διεσώθησαν, ἦπου καλὴν αἰτίαν εἶχον, τοῖς ἀπολέσασι τὴν πατρίδα πέμπειν βοήθειαν, ἀλλὰ

X 5

1 Herod. VIII, 46. *quatuor* ait. Hinc R. quaerit, num h. l. legendum τέσσαρας.

2 R. mavult ἀλλ' ἵνα vel ὅπως εἷς ἀ. Turn. V. dant ἵνα.

3 R. monet, si αὐτῷ ad Herodotum redeat, legendum ἀντιμαρτυρεῖ; mavult autem αὐτοῖς. W. judice, sententia postulat ἀντιμαρτυρεῖ, quod Xyl. vertendo secutus est.

4 Vulgo αὐτοὺς Ναξίους. R. aut deleri vult Ναξίους, aut legi τοὺς Ναξ. W. αὐτοὺς delendum censet, aut mutandum in τούς. Postea ius observavi.

5 R. susp. χωρογράφοι, vel potius πατριογράφοι, *auctores τῶν apud Naxios πατρίων, antiquitatum Naxiarum.* Est autem apud Hesych. ὡρογράφοι· ἱστοριογράφοι, τὰ κατ' ἔτος πραττόμενα γράφοντες. Ὧροι γὰρ, οἱ ἐνιαυτοί.

6 Locum hunc se non expedire fatetur R. Ex Turn. & V. affertur καταπρήσαντα πόλεις ἑκατόν, ἢ πόλιν Ναξίων, vel αὐτῶν. Amiot. quidem reddidit primam harum lectionum., at, W. judice a rei natura abhorret, nisi forte pro πόλεις legas ἐπαύλεις. Alteram lectionem amplectitur Kaltw. Ipse W. susp. καταπλεύσαντα ναυσὶ ἑκατόν.

7 Herod. VI, 96.

8 scil. Persae.

λὰ μὴ τοῖς ἀμυνομένοις ὑπὲρ τῆς κοινῆς ἐλευθερίας ἀμύνειν. ὅτι δ' ἐκ ἐπαινέσαι βεληθεὶς Δημόκριτον, ἀλλ' ἐπ' αἰσχύνῃ [1] Ναξίων συνέθηκε τὸ ψεῦδος, δῆλός ἐςι τῷ παραλιπεῖν ὅλως καὶ παρασιωπῆσαι τὸ Δημοκρίτε κατόρθωμα, καὶ τὴν ἀριςείαν, ἣν ἐπιγράμματι Σιμωνίδης ἐδήλωσε·

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε παρ' Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει·
Πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ' ὑπὸ χεῖρα
Ῥύσατο βαρβαρικὴν [2] Δωρίδ' ἁλισκομένην.

XXXVII. Ἀλλὰ τί ἄν τις ἀγανακτοίη περὶ Ναξίων; εἰ γὰρ εἰσιν ἀντίποδες ἡμῶν, (ὥσπερ ἔνιοι λέγεσι) τῆς γῆς τὰ κάτω περιοικᾶντες, οἶμαι, μηδ' ἐκείνες ἀνηκόες εἶναι Θεμιςοκλέες καὶ τᾶ Θεμιςοκλέες βελεύματος, ὃ βελεύσας τῇ Ἑλλάδι ναυμαχῆσαι πρὸ τῆς Σαλαμῖνος, ἱδρύσατο ναὸν Ἀριςοβέλης [3] Ἀρτέμιδος ἐν Μελίτῃ, τᾶ βαρβάρε καταπολεμηθέντος. τᾶτο μὲν τᾶ Θεμιςοκλέες ὁ χαρίεις συγγραφεὺς, ὅσον ἐφ' ἑαυτῷ, παραιρέμενος [4], καὶ τὴν δόξαν εἰς ἕτερον μεταφέρων, ταῦτα γράφει κατὰ λέξιν· Ἐνταῦθα δὲ Θεμιςοκλέα, ἀφικόμενον ἐπὶ τὴν νέα, εἴρετο Μνησίφιλος, ἀνὴρ Ἀθηναῖος, ὅ τι σφιν εἴη

1 Ita Ursin. citat ad fragm. poët. lyric. p. 334. & R. legi voluit, dedique cum W. e Turn. V. Bong. Leonic. Mez. Vulgo αἰσχύνην.

2 Sic W. ex B. & E. recepit, quod satis esse ad correctionem monet. Vulgo βαρβαρικὸν; R. & Brunck. Analect. T. I. p. 133. ἀπὸ χειρῶν ῥ. βαρβαρικῶν. Turn. V. Bong. ἀπὸ χειρὸς ῥύσατο βαρβαρικῆς.

3 Sic Xyl. & R. legendum censuerunt, & dedi ex Themist. Vit. Vol. I. p. 305. pro vulg. βελῆς. Bryan. (Plut. Vit. T. I. p. 95.) conjecit Βελαίας. W. priorem correctionem huic praetulit. Melitam cave ne cum Ricardo insulam istam esse putes. Fuit regio quaedam Athenis ita dicta, in qua Themistocles habitabat.

4 Sic W. legendum monuit cum Valcken. ad Herod. VIII, 57. dedique pro vulg. τὸ Θεμιςοκλέες — παραιτέμενος.

εἴη βεβȣλευμένον· πυθόμενος δὲ πρὸς αὐτȣ̃, ὡς ἐςὶ δεδογμένον ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμὸν, καὶ πρὸ τῆς Πελοποννήσȣ ναυμαχέειν, εἶπε· Οὐκ ἄρα, ἢν ἀπαίρωσι τὰς νέας ἀπὸ Σαλαμῖνος, ȣ̓δὲ περὶ μιῆς ἔτι πατρίδος ναυμαχήσεις· κατὰ γὰρ πόλεις ἕκαςοι τρέψονται. καὶ μετ' ὀλίγον· Ἀλλὰ εἴ τις ἐςὶ μηχανὴ, ἴθι τε καὶ πειρῶ διαχέαι τὰ βεβȣλευμένα, ἤν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβȣλεύσασθαι, ὥςε αὐτȣ̃ μενεῖν. εἶτα ὑπειπὼν, ὅτι κάρτα τῷ Θεμιςοκλεῖ ἤρεσεν ἡ ὑποθήκη, καὶ ȣ̓δὲν πρὸς ταῦτα ἀμειψάμενος, ἀφίκετο πρὸς τὸν Εὐρυβιάδην, πάλιν αὐταῖς λέξεσι γέγραφεν· Ἐνταῦθα δὲ Θεμιςοκλῆς παρεζόμενος καταλέγει κεῖνά τε, ἃ ἤκȣσε Μνησιφίλȣ, ἑωϋτȣ̃ ποιεύμενος [1], καὶ ἄλλα προστιθείς. ὁρᾷς, ὅτι κακοηθείας προστρίβεται τῷ ἀνδρὶ δόξαν, ἴδιον αὐτȣ̃ βȣ́λευμα ποιεῖσθαι τὸ τȣ̃ Μνησιφίλȣ λέγων;

XXXVIII. Ἔτι δὲ μᾶλλον τῶν Ἑλλήνων καταγελῶν, Θεμιςοκλέα μὲν ȣ̓́τε φησὶ φρονῆσαι τὸ συμφέρον, ἀλλὰ παριδεῖν, ὃς Ὀδυσσεὺς ἐπωνομάσθη διὰ τὴν φρόνησιν· Ἀρτεμισίαν δὲ, τὴν Ἡροδότȣ πολῖτιν, μηδενὸς διδάξαντος, αὐτὴν ἀφ' ἑαυτῆς ἐπινοήσασαν, Ξέρξῃ προειπεῖν, ὡς ȣ̓̓χ οἷοί τε πολὺν χρόνον ἔσονταί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλὰ σφέας διασκεδᾷς, κατὰ πόλεις δὲ ἕκαςοι φεύξονται [2]· καὶ ȣ̓κ εἰκὸς, αὐτȣ̀ς, ἢν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν ςρατὸν, ἀτρεμήσειν, ȣ̓δέ σφιν μελήσειν πρὸ τῶν Ἀθηναίων ναυμαχέειν· ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαίνω, μὴ ὁ ναυτικὸς ςρατὸς κακωθεὶς καὶ τὸν πεζὸν προσδηλήσηται.

1 Sic W. ex E. & Anon. dedit. Vulgo ποιȣ́μενος. Paulo ante post Θεμιςοκλῆς Ald. & Baf. habent lacunam relicta parte sequentis vocabuli ζόμενος; & post κεῖνά τε addunt Turn. & V. πάντα.

2 Post h. v. addunt Turn. & V. ȣ̓́τε γὰρ σῖτος παρὰ σφισὶν ἐν τῇ νήσῳ ταύτῃ ὡς ἐγὼ πυνθάνομαι, καὶ ἑ. ἑ.

ται [1]. ταῦτα μὲν ὖν [2] μέτρων ἐνδεῖ τῷ Ἡροδότῳ, Σίβυλλαν ἀποφῆναι τὴν Ἀρτεμισίαν τὰ μέλλοντα προθεσπίζουσαν οὕτως ἀκριβῶς. διὸ καὶ Ξέρξης αὐτῇ παρέδωκε τὺς ἑαυτῦ παῖδας ἀπάγειν εἰς Ἔφεσον· ἐπελέλησο γὰρ ἐκ Σύσων (ὡς ἔοικεν) ἄγειν γυναῖκας, εἰ γυναικείας ἐδέοντο παραπομπῆς οἱ παῖδες.

XXXIX. Ἀλλ' ὃ μὲν ἔψευσαι, λόγος ἡμῖν ὐδείς. αδετ * ψεῦσαι μόνον ἐξετάζομεν [3]. Φησὶ τοίνυν, Ἀθηναίυς λέγειν, ὡς Ἀδείμαντος, ὁ Κορινθίων στρατηγὸς, ἐν χερσὶ τῶν πολεμίων γενομένων, ὑπερεκπλαγεὶς καὶ καταδείσας ἔφευγεν· ὐ πρύμναν κρυσάμενος, ὐδὲ διαδὺς ἀτρέμα διὰ τῶν μαχομένων, ἀλλὰ λαμπρῶς ἐπαιρόμενος τὰ ἱστία, καὶ τὰς ναῦς ἁπάσας ἀποστρέψας· εἶτα μέντοι κέλης ἐλαυνόμενος αὐτῷ συνέτυχε περὶ τὰ λήγοντα τῆς Σαλαμινίας, ἐκ δὲ τῦ κέλητος ἐφθέγξατό τις· Σὺ μὲν, ὦ Ἀδείμαντε, φεύγεις καταπροδὺς τὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικῶσι, καθάπερ ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν. ὁ δὲ κέλης ὖτος ἦν (ὡς ἔοικεν) ὐρανοπετής· τί γὰρ ἔδει τίθεσθαι [4] μηχανῆς τραγικῆς, ἐν

1 Sic ex Herodot. VIII. 68. legi voluit R. — *simul quoque corrumpat* — & dedi, W. probante, pro vulg. προδηλήσεται. In Ald. & Baf. deest vocabulum πεζόν.

2 W. fusp. ταῦτα μόνων; & R. deinde Ἡροδότῳ, ὡς Σίβυλλαν — nihil praeter carmen Herodoto deest, ut Sibyllam ex Artemisia efficiat.

3 R. fusp. ἀλλ' ὧν μὲν ἔψευσαι, λόγος ἡμῖν ὐδείς· ἃ δὲ κακοήθως ἔψευσαι, μόνων ἐξετάζωμεν — *eorum quidem, quae mentitus fuit, nullam habemus rationem; at ea sola examinemus, quae cum malignitate fuit mentitus.* W. fusp. ἃ δὲ τῶν Ἑλλήνων κατέψευσαι, addens, aliter Xyl. & aliter Amiot. vertisse. Pro ἀλλ' ὃ Ald. ἄλλω; Baf. ἄλλων. Turn. V. ἀλλ' ὧν, nec non ὐδεὶς ἃ δέ γε κατεψεῦσαι.

4 R. fusp. τί γὰρ ἔδει τίθεσθαι μηχανὴν τραγικὴν, *quid enim necesse erat admovere machinam tragicam?* aut τί γὰρ ἔδει ἐπιτίθεσθαι μηχανῇ τραγικῇ, *animum adjicere ad tragicam machinam?* Valcken. correxit τητᾶσθαι, quod quidem ad sententiam, non ad consuetudinem Plutarchi accommodatum esse judicat W., ἀπέχεσθαι aut simile requirens.

ἐν πᾶσι τοῖς ἄλλοις ὑπερπαίοντα τὰς τραγῳδὰς ἀλαζονείᾳ; πιςεύσας ἂν ὁ Ἀδείμαντος ἐπανῆλθεν εἰς τὸ στρατόπεδον ἐπ' ἐξειργασμένοις [1]. αὕτη Φάτις ἔχει ὑπὸ Ἀθηναίων· ὐ μέντοι Κορίνθιοι ὁμολογέουσιν, ἀλλὰ ἐν πρώτοισι σφέας αὐτὰς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρεῖ δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς. τοιοῦτός ἐςιν ἐν πολλοῖς ὁ ἄνθρωπος, ἑτέρας καθ' ἑτέρων διαβολὰς καὶ κατηγορίας κατατίθησιν, ὅπως μὴ διαμάρτῃ [2] τοῦ Φανῆναί τινα πάντως πονηρόν· ὥσπερ ἐνταῦθα περίεςιν αὐτῷ, πιςευομένης μὲν τῆς διαβολῆς, Κορινθίους ἀδοξεῖν, ἀπιςουμένης δὲ, Ἀθηναίους, ἣν οἶμαι μηδὲ Κορινθίων Ἀθηναίους, ἀλλὰ τοῦτον [3] ἀμφοτέρων ὁμοῦ καταψεύδεσθαι. Θουκυδίδης [4] γοῦν ἀντιλέγοντα ποιῶν τῷ Κορινθίῳ τὸν Ἀθηναῖον ἐν Λακεδαίμονι, καὶ πολλὰ περὶ τῶν Μηδικῶν λαμπρυνόμενον ἔργων, καὶ περὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας, οὐδεμίαν αἰτίαν προδοσίας ἢ λειποταξίας, ἐπενήνοχε Κορινθίοις· οὐδὲ γὰρ εἰκὸς ἦν Ἀθηναίους [5] ταῦτα βλασφημεῖν περὶ τῆς Κορινθίων πόλεως, ἣν τρίτην μὲν ἑώ-

1 *post operam confectam* — Sic R. legendum monuit ex Herod. VIII, 94. dedique cum W. e Turn. V. & marg. B. Vulgo *ἐπεξειργασμένος.*

2 Ald. Bas. *οὕτως μὴ διαμαρτυρεῖν*; Turn. V. *ὅπως μὴ διαμαρτεῖν.*

3 Vulgo Ἀθηναίους, ἢ οἳ μηδὲ K. Ἀ. ἀλλὰ τούτων. Sic B. Ald. Steph. & reli. Non melius E. Bas. Ἀθηναίους, οἵ μηδὲ — τούτων; Xyl. *εἰ μηδὲ.* Correctionem, quam dedi, debemus W. ita simul vertenti: *quam equidem calumniam non ab Atheniensibus in Corinthios, sed ab isto in utrosque ementitam arbitror.* Idem Kaltw. expressit. Turn. firmat τοῦτον pro τούτων, & idem reponi voluit R. monens simul οἳ delendum vel cum μᾶλλον mutandum.

4 L. I. c. 73—78.

5 Vulgo Ἀθηναίοις. R. legendum monuit aut Ἀθηναίους, aut *χαριζόμενον τοῖς* Ἀθηναίοις, ut redeat ad oratorem Atheniensem. W. voluit aut Ἀθηναίους, aut Ἀθηναῖον. Dedi prius. Consequenter autem mox sequens *ἑώρα* mutandum fuit in *ἑώρων*, ut verterunt Xyl. Amiot. & R. & W. cum Mez. monuerunt.

ἑώρων μετὰ Λακεδαιμονίας καὶ μετ' αὐτὰς [1] ἐγχαραττομένην τοῖς ἀπὸ τῶν βαρβάρων ἀναθήμασιν· ἐν δὲ Σαλαμῖνι παρὰ τὴν πόλιν ἔδωκαν αὐτοῖς θάψαι τε τὰς ἀποθανόντας, ὡς ἄνδρας ἀγαθὰς γενομένας, καὶ ἐπιγράψαι τόδε τὸ ἐλεγεῖον·

Ὦ ξένε, εὔυδρόν ποτ' ἐναίομεν ἄςυ Κορίνθε,
Νῦν δ' ἄμμ' Αἴαντος [2] νᾶσος ἔχει Σαλαμίς.
Ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
Καὶ Μήδας, ἱερὰν Ἑλλάδα ῥυόμεθα.

τὸ δ' ἐν Ἰσθμῷ κενοτάφιον ἐπιγραφὴν ἔχει ταύτην·

Ἀκμᾶς [3] ἑςακυῖαν ἐπὶ ξυρᾶ Ἑλλάδα πᾶσαν
Ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.

Διοδώρε δέ τινος τῶν Κορινθίων τριηράρχων ἐν ἱερῷ Λητᾶς ἀναθήμασι κειμένοις καὶ τᾶτο ἐπιγέγραπται·

Ταῦτ' ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρε
Ὅπλ' ἀνέθεντο Λατοῖ, μνάματα ναυμαχίης.

αὐτός γε μὴν ὁ Ἀδείμαντος, ᾧ πλεῖςα λοιδορέμενος Ἡρόδοτος διατελεῖ, καὶ λέγων [4], μᾶνον ἀπαίρειν τῶν ςρατηγῶν, ὡς φευξόμενον ἀπ' Ἀρτεμισίε, καὶ μὴ περιμένοντα, σκόπει, τίνα δόξαν εἶχεν.

Οὗτος Ἀδειμάντε κείνε [5] τάφος, ὃν δία πᾶσα
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο ςέφανον.

ὅτε

1 *post ipsos*, Athenienses puta. Sic R. e Turn. & V. dandum monuit, dedique cum W. accedentibus B. & Anon. pro vulg. μετ' αὐτῶν: cui ut antecedens congrueret, Λακεδαιμονίων edidit Xyl. perperam, W. judice, cum utroque loco sententia postulet Accusativum.

2 Dedi sic cum Brunck. Analect. T. I. p. 133. pro vulg. Νῦν δὲ ἀνάματος. R. ex Dion. Chrys. Or. 37. & ex Theodor. Cancer. V. L. 2. 7. corrigi voluit: Νῦν δε μετ' Αἴαντος. W. non mutavit vulgatum, ut in omnibus Plutarchi libris servatum.

3 Ald. & Bas. ἡμᾶς; Turn. V. ἡμεῖς.

4 R. mavult λέγει.

5 Inseri κείνε, quod vulgo abest, voluit R. dedique cum W. idem ex B. & E. sumente, confirmatum quoque Dion. Chrys. l. c. Aliter explent versum Turn. & V. τάφος, ὦ ξένε, ὃν διὰ πᾶσα. Pro ὃν δ. π. Dio Chrys. habet ὃ διὰ βελάς.

ὅτε γὰρ τελευτήσαντι τοιαύτην εἰκὸς ἦν ἀνδρὶ δειλῷ καὶ προδότῃ γενέσθαι τιμὴν, οὔτ' ἂν ἐτόλμησε τῶν θυγατέρων ὄνομα θέσθαι τῇ μὲν Ναυσινίκην, τῇ δ' Ἀκροθίνιον, τῇ δ' Ἀλεξιβίαν, Ἀριστέα δὲ καλέσαι τὸν υἱὸν, εἰ μή τις ἦν ἐπιφάνεια καὶ λαμπρότης περὶ αὐτὸν ἀπὸ τῶν ἔργων ἐκείνων. καὶ μὴν ὅτι μόναι τῶν Ἑλληνίδων αἱ Κορίνθιαι γυναῖκες εὔξαντο τὴν καλὴν ἐκείνην καὶ δαιμονίην [1] εὐχὴν, ἔρωτα τοῖς ἀνδράσι τῆς πρὸς τοὺς βαρβάρους μάχης ἐμβαλεῖν τὴν θεὸν [2], οὐχ ὅπως τοὺς [3] περὶ τὸν Ἡρόδοτον ἀγνοῆσαι πιθανὸν ἦν, ἀλλ' οὐδὲ τὸν ἔσχατον Καρῶν· διεβοήθη γὰρ τὸ πρᾶγμα, καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα, χαλκῶν εἰκόνων ἀνασταθεισῶν ἐν τῷ ναῷ τῆς Ἀφροδίτης, ὃν ἱδρύσασθαι Μήδειαν λέγουσιν, οἱ μὲν αὐτὴν παυσαμένην [4] τοῦ ἀνδρὸς, οἱ δ' ἐπὶ τῷ τὸν Ἰάσονα τῆς Θέτιδος [5] ἐρῶντα παῦσαι τὴν θεόν. τὸ δ' ἐπίγραμμα τοῦτό ἐστιν·

Αἵδ' [6] ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν
Ἔσταθεν εὐξάμεναι Κύπριδι δαιμόνιαι.
Οὐ γὰρ τοξοφόροισιν ἐμήδετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

ταῦτ'

1 W. susp. δαιμόνιον.

2 Venerem puta. R.

3 Vulgo abest τὰς. Inserendum censuit R. & habent Turn. & V. dedique cum W. accedentibus Anon. & Mez. Omisso τὰς, delendum quoque fuisset περί. Sic habet Ursin. ad fragm. poët. lyric. p. 330. οὐχ ὅπως τὸν Ἡρόδ.

4 W. monente vel addendum ἐρῶσαν, aut ἐρῶν, vel legendum ἐπὶ τῷ αὐτὴν παῦσαι ἐρῶσαν, quod verterunt Amiot. & Xyl.

5 Mez. Κρεοντίδος. W. judice, vulgatum vix sanum videtur. Idem sensit Kaltw. coll. Diodor. IV, 54.

6 W. nil mutandum videbatur in vulgata horum versuum lectione, in qua omnes ipsius libri consentiant: & ita fere Brunck. Anal. T. I. p. 132. R. pro αἵδ' legi voluit ᾇδε, *hic loci*, coll. Fulv. Ursin. l. c. p. 329. Xyl. ex Athenaei L. XIII. emendari voluit.

ταῦτ' ἔδει γράφειν καὶ τούτων μεμνῆσθαι μᾶλλον, ἢ τὴν Ἀμεινοκλέους ἐμβαλεῖν παιδοφονίαν.

XL. Τῶν τοίνυν αἰτιῶν τῶν κατὰ Θεμιστοκλέους ἀναίδην [1] ἐμφορηθεὶς, ἐν οἷς κλέπτοντα καὶ πλεονεκτοῦντα λάθρα τῶν ἄλλων στρατηγῶν οὔ φησι παύσασθαι περὶ τὰς νήσους· τέλος αὐτῶν Ἀθηναίων τὸν στέφανον ἀφελόμενος, Αἰγινήταις ἐπιτίθησι, γράφων ταῦτα· Πέμψαντες ἀκροθίνια οἱ Ἕλληνες εἰς Δελφοὺς, ἐπηρώτων τὸν θεὸν κοινῇ, εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ ἀκροθίνια· ὁ δὲ παρ' Ἑλλήνων μὲν τῶν ἄλλων ἔφησεν ἔχειν, παρ' Αἰγινητέων δ' οὔ. ἀλλ' ἀπαίτεε [2] αὐτοὺς τὰ ἀριστεῖα τῆς ἐν Σαλαμῖνι ναυμαχίας. οὐκ ἔτι Σκύθαις, οὐδὲ Πέρσαις, οὐδ' Αἰγυπτίοις τοὺς ἑαυτοῦ λόγους ἀνατίθησι πλάττων, ὥσπερ Αἴσωπος κόραξι καὶ πιθήκοις, ἀλλὰ τῷ τοῦ Πυθίου προσώπῳ χρώμενος, ἀπωθεῖ τῶν Σαλαμῖνι [3] πρωτείων τὰς Ἀθήνας. Θεμιστοκλεῖ δὲ τῶν δευτερείων ἐν Ἰσθμῷ γενομένων, διὰ τὸ τῶν στρατηγῶν ἕκαστον αὐτῷ μὲν τὸ πρωτεῖον, ἐκείνῳ δὲ τὸ δευτερεῖον ἀποδοῦναι, καὶ τέλος τῆς κρίσεως μὴ λαβούσης, δέον αἰτιάσασθαι τὴν φιλοτιμίαν τῶν στρατηγῶν, πάντας ἀποπλεῦσαί, φησι, τοὺς Ἕλληνας ὑπὸ φθόνου, μὴ βουληθέντας ἀναγορεῦσαι τὸν ἄνδρα πρῶτον.

XLI. Ἐν δὲ τῇ ἐνάτῃ καὶ τελευταίᾳ τῶν βίβλων, ὅσον ἦν ὑπόλοιπον ἐν τῇ πρὸς Λακεδαιμονίους [4] αὐτῷ δυσμενείᾳ, ἐκχέαι σπεύδων, τὸ παρ' αὐτὸν ἀφείλετο τὴν ἀοίδιμον νίκην καὶ τὸ περιβόητον Πλαταιᾶσι κατόρθωμα τῆς πόλεως· γέγραφε γὰρ, ὡς πρότερον μὲν ὠρ-

1 Omnes quidem libri, W. teste, ita: legitima tamen forma ἀνέδην, & frequentissima est permutatio.

2 Ald. Bas. ἐπῆλθεν ἑαυτοὺς; Turn. V. ἀπήτεε αὐτούς.

3 W. susp. τῶν ἐν Σαλαμῖνι πρ.

4 Quae sequuntur αὐτῷ — νίκην, vulgo absunt. Addidit W. ex B. & E. Conjectura R. haec est: ὑπόλοιπον ἐν τῇ ψυχῇ κακόηθες (vel κακοηθείας) τοῦτο πᾶν ἐξίχεε πρὸς Λακεδ. & deinde post πόλεως addi voluit ἠμαύρωσε vel ἀφῄρει.

ὀῤῥώδουν τοὺς [1] Ἀθηναίους μὴ πεισθέντες ὑπὸ Μαρδονίου τοὺς Ἕλληνας ἐγκαταλίπωσιν· τοῦ δ' Ἰσθμοῦ τειχισθέντος, ἐν ἀσφαλεῖ θέμενοι τὴν Πελοπόννησον, ἠμέλουν ἤδη τῶν ἄλλων καὶ περιεώρων, ἑορτάζοντες οἴκοι, καὶ τοὺς πρέσβεις τῶν Ἀθηναίων κατειρωνευόμενοι καὶ διατρίβοντες. πῶς οὖν ἐξῆλθον εἰς [2] Πλαταιὰς πεντακισχίλιοι Σπαρτιᾶται, περὶ αὐτὸν ἔχων ἀνὴρ ἕκαστος ἑπτὰ εἵλωτας; ἢ πῶς κίνδυνον ἀράμενοι τοσοῦτον, ἐκράτησαν, καὶ κατέβαλον μυριάδας τοσαύτας; ἄκουσον αἰτίας πιθανῆς. Ἔτυχε (φησὶν) ἐν Σπάρτῃ παρεπιδημῶν [3] ἐκ Τεγέας ἀνὴρ, ὄνομα Χείλεως, ᾧ φίλοι τινὲς καὶ ξένοι τῶν Ἐφόρων ἦσαν· οὗτος οὖν ἔπεισεν αὐτοὺς ἐκπέμψαι τὸ στράτευμα, λέγων, ὅτι τοῦ διατειχίσματος οὐδὲν ὄφελός ἐστι Πελοποννησίοις [4], ἂν Ἀθηναῖοι Μαρδονίῳ προσγένωνται. τοῦτο Παυσανίαν ἐξήγαγεν εἰς Πλαταιὰς μετὰ τῆς δυνάμεως· εἰ δέ τι κατέσχεν οἰκεῖον ἐν Τεγέᾳ πρᾶγμα τὸν Χείλεων ἐκεῖνον, οὐκ ἂν ἡ Ἑλλὰς περιεγένετο.

XLII. Πάλιν δὲ τοῖς Ἀθηναίοις οὐκ ἔχων ὅ τι χρήσαιτο, ποτὲ δὲ [5] καταβάλλει τὴν πόλιν ἄνω καὶ κάτω μεταφέρων, οὓς Τεγεάταις μὲν εἰς ἀγῶνα λέγει περὶ τῶν δευτερείων καταστάντας, Ἡρακλειδῶν τε μεμνῆσθαι, καὶ τὰ πρὸς Ἀμαζόνας πραχθέντα προφέρειν, ταφάς τε Πελοποννησίων τῶν ὑπὸ τῇ Καδμείᾳ πεσόντων

1 Sic R. &. W. legendum monuerunt ductu Herod. VIII, 144. dedique pro vulg. ὀῤῥωδοῦντας Ἀθηναίους.


5 Stob. περιέδραμε. Verba κυκλοτ. — Φαέθ. absunt a Stob. Mosq. Φαέθοντος. Post ἐμπρησμῦ Gal. addit: διὰ τῆς ἐκείνυ παρόδυ.

οἱ δὲ [1] τὸν ἡλιακὸν ταύτῃ φασὶ κατ' ἀρχὰς γεγονέναι δρόμον. τινὲς δὲ, κατοπτρικὴν εἶναι φαντασίαν, τοῦ ἡλίου τὰς αὐγὰς πρὸς τὸν οὐρανὸν ἀνακλῶντος, ὅπερ καὶ ἐπὶ τῆς ἴριδος καὶ ἐπὶ τῶν νεφῶν συμβαίνει. Μητρόδωρος, διὰ τὴν πάροδον τοῦ ἡλίου· τοῦτον γὰρ εἶναι τὸν ἡλιακὸν κύκλον. Παρμενίδης, τὸ τοῦ πυκνοῦ καὶ ἀραιοῦ [2] μίγμα γαλακτοειδὲς ἀποτελέσαι χρῶμα. Ἀναξαγόρας, τὴν σκιὰν τῆς γῆς κατὰ τοῦτο τὸ μέρος ἵστασθαι τοῦ οὐρανοῦ, ὅταν ὑπὸ τὴν γῆν [3] ὁ ἥλιος γινόμενος μὴ πάντα φωτίζῃ. Δημόκριτος [4], πολλῶν καὶ μικρῶν καὶ συνεχῶν ἀστέρων συμφωτιζομένων ἀλλήλοις συναυγασμὸν, διὰ τὴν πύκνωσιν. Ἀριστοτέλης, ἀναθυμιάσεως ξηρᾶς ἔξαψιν, πολλῆς τε καὶ συνεχοῦς· καὶ οὕτω κόμην πυρὸς ὑπὸ τὸν αἰθέρα, κατωτέρω τῶν πλανητῶν [5]. Ποσειδώνιος, πυρὸς σύστασιν ἄστρου μὲν μανωτέραν, αὐγῆς δὲ πυκνοτέραν [6].

Περὶ

1 Deest οἱ δὲ in Stob. — Gal. ita: οἱ δὲ ἡλιακὴν ταῦτά φασι κατ' ἀρχὰς γεγονέναι δίοδον· τινὲς δὲ τοῦτο μικρὰν εἶναι φαντασίαν τοῦ πλείονος οὐρανίου πυρὸς πρὸς τὸν οὐρανὸν, τὰς αὐγὰς ἀνακλῶντα· ὅπερ ἐπὶ τῶν τῆς Ἴριδος νεφῶν συμβαίνειν εἴωθεν. Pro τὰς αὐγὰς Turn. Pet. τὰς αὐτάς; Stob. ὅπερ κ' ἀπ' ἴριδος ἐπὶ τ. ν. σ.

2 Stob. τοῦ ἀραιοῦ; Pro ἀποτελέσαι Gal. ἀποτελεῖ.

3 Mosq. ἐπὶ τὴν γῆν; Stob. περὶ τὴν γῆν, & paulo ante τόδε τὸ μέρος; Gal. ὅταν τὰ ὑπὸ τὴν γῆν ὁ ἥλιος μὴ πάντῃ περιφωτίζῃ; Etiam Stob. περιφωτίζῃ.

4 In Stob. nomen Democriti excidit; Mosq. καὶ ante μικρῶν; Gal. ante ἀλλήλοις addit εἶναι, sed verba διὰ τὴν πύκν. omittit.

5 Verba καὶ οὕτω — πλανητῶν Stob. omittit. Pro κόμην Mosq. κόσμην; idem ὑπὸ τὴν αἰθ. Gal. αἶρα pro αἰθ. & deinde πλανητῶν φαίνεται· οἱ Στωϊκοὶ τοῦ αἰθερίου πυρὸς ἀραιότητα ἀνώτερον τῶν πλανητῶν. Hinc excidisse quaedam ap. Nostrum susp. Beck.

6 Sic Beck. & W. e Stob. receperunt, & Bud. jam vertendo expressit pro vulg. ἄστρου μὲν λαμπρότερον, αὐγῆς δὲ πυκνότερον. Pro λαμπρότ. Corsin. commendavit μανώτερον. Pro eodem varias lectiones in margine habent E. ἀραιότερον & ἀμαυρότερον; Voss. ἀραιότερον.

## Περὶ κομητῶν, καὶ διαττόντων, καὶ δοκίδων. β΄ [1].

Τῶν ἀπὸ Πυθαγόρε τινὲς [2] μὲν ἀςέρα φασὶν εἶναι τὸν κομήτην τῶν ἐκ ἀεὶ φαινομένων [3], διά τινος δὲ ὡρισμένε χρόνε περιοδικῶς ἀνατελλόντων· ἄλλοι δὲ, ἀνάκλασιν τῆς ἡμετέρας ὄψεως πρὸς [4] τὸν ἥλιον, παραπλησίως ταῖς κατοπτρικαῖς ἐμφάσεσιν. Ἀναξαγόρας, Δημόκριτος, σύνοδον ἀςέρων δυεῖν, ἢ καὶ [5] πλειόνων, κατὰ συναυγασμόν. Ἀριςοτέλης, τὴν ἐκ τῆς ξηρᾶς ἀναθυμιάσεως διάπυρον σύςασιν. Στράτων, ἄςρε φῶς περιληφθὲν νέφει πυκνῷ, καθάπερ ἐπὶ τῶν λαμπτήρων γίνεται. Ἡρακλείδης ὁ Ποντικὸς, νέφος μετάρσιον ὑπὸ μεταρσίε φωτὸς καταυγαζόμενον. ὁμοίως δ' αἰτιολογεῖ πωγωνίαν, ἅλω [6], δοκίδα, κίονα, καὶ τὰ συγγενῆ τέτοις, καθάπερ ἀμέλει πάντες οἱ Περιπατητικοὶ, παρὰ τὰς τε νέφες ταυτὶ [7] γίνεσθαι σχηματισμές. Ἐπιγένης, πνεύματος ἀναφορὰν γεωμιγᾶς [8] πεπυρωμένε. Βοηθὸς, ἀέρος ἀνειμένε [9] φαντασίαν. Διογένης, ἀςέρας εἶναι τὰς κομήτας. Ἀναξαγόρας, τὰς καλεμένας διάττοντας, ἀπὸ τε αἰθέρος, σπινθήρων δίκην, καταφέρε-



1 Gal. XVIII. p. 40. Stob. p. 62. sq.

2 Gal. Stob. Τῶν Πυθαγορείων τινές.

3 Stob. ante φασι. addit μὲν; tum habet διωρισμένε & περιοδικῶν.

4 Mosq. εἰς τ. ἥ. & deinde cum Gal. παραπλησίαν.

5 abest καὶ a Gal. Tum idem: Ἀρις. δὲ τῆς ξηρᾶς ἐκ τῆς γῆς ἀναθ. δ. σ. Stob. Ἀρ. τῆς ξηρ. ἐκ γῆς ἀ. δ. σ.

6 Olim legebatur ἄλλοι δοκίδα. Hinc Xyl. e Ms. laudat ἄλλο, quod etiam e Pet. notatur. Inde a Steph. exhibetur ἅλω, quod etiam Bud. vertendo expressit. Stob. omittit ἅλω, & dat δοκίδας.

7 Secutus sum W. ita e var. lect. Voss. reponentem pro vulg. ταύτῃ. Stob. ταῦτα. Inter παρὰ & τὰς Beck. inserit τὸ.

8 Stob. γαιομιγῆ; Mosq. γεομιγῆς.

9 Stob. ἀνημμένε, quod Beck. recepit, probantibus Mez. & Corsin. Decretum Diogenis omittit Stob.

φέρεσθαι· διὸ καὶ παραυτίκα κατασβέννυσθαι [1]. Μητρόδωρος, τὴν εἰς τὰ νέφη τοῦ ἡλίου βιαίαν ἔμπτωσιν [2] σπινθηρίζειν. Ξενοφάνης, πάντα τὰ τοιαῦτα τῶν νεφῶν [3] πεπυρωμένων συστήματα, καὶ κινήματα.

## Περὶ βροντῶν, ἀστραπῶν, κεραυνῶν, πρηστήρων καὶ τυφώνων. γ' [4].

Ἀναξίμανδρος, ἐκ τοῦ πνεύματος ταυτὶ πάντα συμβαίνειν· ὅταν γὰρ περιληφθὲν [5] νέφει παχεῖ βιασάμενον ἐκπέσῃ, τῇ λεπτομερείᾳ καὶ τῇ κουφότητι, τότε ἡ μὲν ῥῆξις τὸν ψόφον, ἡ δὲ διαστολὴ παρὰ τὴν μελανίαν τοῦ νέφους τὸν διαυγασμὸν ἀποτελεῖ. Μητρόδωρος, ὅταν εἰς νέφος πεπηγὸς ὑπὸ πυκνότητος ἐμπέσῃ πνεῦμα, τῇ μὲν θραύσει [6] τὸν κτύπον ἀποτελεῖ, τῇ δὲ πληγῇ καὶ τῷ σχισμῷ διαυγάζει· τῇ δ' ὀξύτητι τῆς φορᾶς προσλαμβάνον [7] τὴν ἀπὸ τοῦ ἡλίου θερμότητα, κεραυνοβολεῖ· τοῦ δὲ κεραυνοῦ τὴν ἀσθένειαν εἰς πρηστῆρα περιΐστησιν. Ἀναξαγόρας, ὅταν τὸ θερμὸν εἰς τὸ [8] ψυχρὸν

1 Stob. σβέννυσθαι.

2 Mosq. ἔμπωσιν; Gal. ἔμπτωσιν, ὡς βέλος, πολλάκις σπινθ. Stob. quoque addit πολλάκις post ἔμπτ.

3 τῶν ante νεφ. omittit Mosq.; nec non Stob. in quo & τὰ ante τοιαῦτα deest. Mosq. porro ordine inverso κινήμ. ἢ συστ. Stob. ἢ καὶ κινήμ.

4 Gal. XIX, p. 40. Stob. p. 64. Mosq. ante καὶ inserit τε.

5 Gal. ἐκ τοῦ πνεύματος ὑπιόντος ταυτὰ π. σ., ὅταν περιλ. absque γὰρ; Stob. ταῦτ' εἶπε συμβαίνειν. Gal deinde βιαζόμενον; τῇ ante κουφότ. omittunt Gal. Mosq Stob. Etiam post ψόφον Gal addit ἀποτελεῖ. Pet. τὸν διαυγασμὸν διατελεῖ, τῇ δὲ πληγῇ omissis iis, quae interjecta leguntur.

6 Stob. συνθραύσει; Gal. ποιεῖ pro ἀποτελεῖ. Pro σχισμῷ Stob. σεισμῷ.

7 Ita R. dedit, quod e Pet. notatur. Consentiunt Gal. Mosq. Stob. Colleg. Nov. Mez. & receperunt Beck. & W. Vulgo προλαμβάνον.

8 articulum τὸ omittit Pet.

χρὸν ἐμπέσῃ, (τοῦτο δ' ἐςὶν αἰθέριον μέρος εἰς ἀερῶδες) τῷ μὲν ψόφῳ τὴν βροντὴν ἀποτελεῖ, τῷ δὲ παρὰ τὴν μελανίαν τοῦ νεφώδους [1] χρώματι τὴν ἀςραπὴν, τῷ δὲ πλήθει καὶ μεγέθει τοῦ φωτὸς τὸν κεραυνὸν, τῷ δὲ πολυσωματωτέρῳ πυρὶ [2] τὸν τυφῶνα, τῷ δὲ νεφελοειδεῖ τὸν πρηςῆρα. οἱ Στωϊκοὶ βροντὴν μὲν συγκρουσμὸν [3] νεφῶν, ἀςραπὴν δ' ἔξαψιν ἐκ παρατρίψεως, κεραυνὸν δὲ σφοδροτέραν ἔλλαμψιν, πρηςῆρα δὲ, νωχελεςέραν. Ἀριςοτέλης, ἐξ ἀναθυμιάσεως καὶ τὰ τοιαῦτα γίνεσθαι τῆς ξηρᾶς [4]· ὅταν οὖν ἐντύχῃ μὲν τῇ ὑγρᾷ, παραβιάζηται δὲ τὴν ἔξοδον, τῇ μὲν παρατρίψει καὶ τῇ ῥήξει τὸν ψόφον τῆς βροντῆς γίνεσθαι, τῇ δ' ἐξάψει τῆς ξηρότητος, τὴν ἀςραπήν· πρηςῆρας δὲ καὶ τυφῶνας τῷ πλεονασμῷ τῆς ὕλης, ἣν ἑκάτερος αὐτῶν συνεφέλκεται, θερμοτέραν μὲν ὁ πρηςὴρ, παχυτέραν δὲ ὁ τυφών.

Περὶ νεφῶν, ὑετῶν, χιόνων, χαλαζῶν. δ' [5].

Ἀναξιμένης [6], νέφη μὲν γίνεσθαι παχυνθέντος ὅτι πλεῖςον τοῦ ἀέρος, μᾶλλον δ' ἐπισυναχθέντος ἐκθλίβεσθαι



1 Verba παρὰ τ. μ. τ. ν. Beck. uncinis inclusit, ut spuria, a superioribus male repetita, & ordinem reliquorum verborum turbantia. Pro τοῦ νεφώδους Stob. τοῦ νέφους.

2 Pet. περὶ; Mox Stob. νεφελομιγεῖ.

3 Stob. προσκρουσμὸν; mox idem ἔκλαμψιν pro ἔλλαμψιν, & deinde πρηςῆρα δὲ νωθεςέραν; Gal. τὴν δὲ ἀςραπὴν, ἔξαψιν.

4 Gal. Ἀρις. ἐξ ἀναθυμιάσεως πάντα τὰ τοιαῦτα φησὶ συμβαίνειν τ. ξ. Stob. ὅταν τύχῃ μὲν —; omittit deinde τῆς βρ. γίν. tum habet τῇ δ' ἐμφάσει τ. ξ. τ. ἀ. παρίςησι. Aristotelis sententiam de typhonibus & presteribus copiosius exponit, ut, Beck. judice, quaedam hic a nostro male contracta esse videantur. Gal. omittit μὲν ante τῇ ὑγ. & δὲ post παραβ. Ante τῇ μὲν παρατρ. addit καὶ; habet deinde πρηςῆρα δ. κ. τυφῶνα πλεονασμῷ — θερμότερος μὲν ὁ πρηςὴρ, παχύτερος δὲ ὁ. τ. Mosq. παραβιάζεται.

5 Gal. XIX. p. 41. Stob. p. 60. unam refert Platonis sententiam e Timaeo excerptam.

6 Gal. Ἀναξ. ἔφη συμβαίνειν παχυνθ. ἐπὶ πλεῖςον τ. ἀ. — ἐκθλίβεσθαι καὶ τ. ὁ. γ.

θαι τὰς ὄμβρους· χιόνα δ', ἐπειδὰν τὸ καταφερόμενον ὕδωρ παγῇ [1]. χάλαζαν δὲ, ὅταν συμπεριληφθῇ τῷ ὑγρῷ πνεύματι. Μητρόδωρος, ἀπὸ τῆς ὑδατώδους ἀναφορᾶς συνίσταθαι τὰ νέφη. ὁ δ' Ἐπίκουρος, ἀπὸ τῶν ατμῶν [2]. ςρογγυλαίνεσθαι δὲ τὴν χάλαζαν καὶ τὸν ὑετὸν ἀπὸ τῆς μακρᾶς καταφορᾶς ὑποπεπλησμένον [3].

## Περὶ ἴριδος. ε' [4].

Τῶν μεταρσίων παθῶν τὰ μὲν καθ' ὑπόςασιν γίνεται, οἷον ὄμβρος [5], χάλαζα· τὰ δὲ κατ' ἔμφασιν, ἰδίαν οὐκ ἔχοντα ὑπόςασιν· αὐτίκα γοῦν, πλεούντων ἡμῶν ἡ ἤπειρος κινεῖσθαι δοκεῖ· ἔςιν οὖν κατ' ἔμφασιν ἡ ἶρις [6]. Πλάτων φησὶ, Θαύμαντος [7] αὐτὴν γενεα-

1 Post παγῇ addit Gal. ὑπὸ ψύξεως. Tum idem: χ. δ. ὅταν παρασυλληφθῇ —. Mosq. χάλαζα. Pro τῷ ante ὑγρῷ Pet. Mosq. τι. Pro ὑγρῷ R. susp. ψυχρῷ. Ante Μητρ. Gal. addit καὶ.

2 W. notante, Gal. Stobaei Excerpta Damascen. Pol. ἀτόμων. Idem Beck. ex Eus. notat, verumque videri posse monet ex Diog. L. X, 99. Paulo ante Gal. omittit ὁ δὲ.

3 Gal. ςρογγυλίζεσθαι δ. τ. χ. καὶ τὸν ὑετὸν γίγνεσθαι ἀπὸ τῆς μακροτέρας φορᾶς διὰ τοῦ ἀέρος συμβαινούσης ἀποπληττομένην. Pro καταφ. Pet. ἐπιφορᾶς. Pro ὑποπεπλησμ. Stobaeus Damasc. Mosq. ὑποπεπλασμένον. Beck. quaerit, num ὑποκεκλασμένον? Var. lect. Vofs. & Anon. συμπεπιλημένον. R. leg. censuit ὑπὸ τῆς καταφορᾶς ὑποπεπληγμένον, *decussis, vel detritis, particulis inaequalibus exstantibus*. Beck. in textum recepit ἀποπεπληγμένον, ut quoque Gal. auctoritate firmatum. Gafs. teste Corsin. legi voluit ὑποπεπληγμένην, *subtusam*.

4 Gal. XIX. p. 41. 42. Stob. p. 67. in quo tamen pleraque desunt.

5 Gal. κ. ὑ. οἷον γίγνεται ὅ.

6 Gal. quaedam omittit & ita scribit: ἔςιν οὖν κατ' ἔμφασιν ἡ Ἶρις, περὶ ἧς μὲν λέξομεν, εἰ πρότερον διδάξομεν, πῶς αὐτὴν ὁρῶμεν· κατὰ δὲ γραμμὰς ἢ κατ' εὐθ. — ἀσωμάτους ὁρῶμεν.

7 Pet. Mosq. θαύματος. Stob. θαυμαςῶς. Locus Platon. est in Theæt. c. 11. extr.

γενεαλογῆσαι τὲς ἀνθρώπες, διὰ τὸ θαυμάσαι ταύτην. Ὅμηρος [1].

Ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσει.

διὸ καὶ ἐμυθεύσαντό τινες, αὐτὴν ταύρε κεφαλὴν ἔχεσαν ἀναῤῥοφεῖν τὲς ποταμές.

Πῶς γὲν γίνεται ἶρις [2]; ὁρῶμεν δὴ κατὰ γραμμὰς, ἢ κατ' εὐθείας, ἢ κατὰ καμπύλας, ἢ κατ' ἀνακλωμένας γραμμὰς ἀδήλες, λόγῳ θεωρητὰς καὶ ἀσωμάτες. κατὰ μὲν ἒν εὐθείας ὁρῶμεν τὰ ἐν ἀέρι καὶ τὰ διὰ τῶν λίθων τῶν διαυγῶν [3] καὶ κεράτων· λεπτομερῆ γὰρ ταῦτα πάντα. καμπύλας δὲ γραμμὰς καθ' ὕδατος βλέπομεν γινομένας. κάμπτεται γὰρ ἡ ὄψις βίᾳ διὰ τὴν πυκνοτέραν τε ὕδατος ὕλην· διὸ καὶ τὴν κώπην ἐν τῇ θαλάσσῃ μακρόθεν καμπτομένην ὁρῶμεν. τρίτος τρόπος [4] τε βλέπειν τὰ ἀνακλώμενα, ὡς τὰ κατοπτρικά· ἔςιν ἒν τὸ τῆς [5] ἴριδος πάθος τοιἒτον. δεῖ γὰρ ἐπινοῆσαι τὴν ὑγρὰν ἀναθυμίασιν εἰς νέφος μεταβάλλεσαν, εἶτ' ἐκ τε κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας νοτιζέσας [6]· ὅταν ἒν ὁ ἥλιος γένηται εἰς δυσμὰς, ἀνάγκη [7] πᾶσαν ἶριν ἄντικρυς ἡλίε φαίνεσθαι, ὅτε ἡ ὄψις προσπεσἒσα ταῖς ῥανίσιν ἀνακλᾶται, ὥςε γίνεσθαι τὴν ἶριν. εἰσὶ δὲ αἱ ῥανίδες, ἐ χήματος μορφὴ, ἀλλὰ χρώματος· καὶ

 ἔχει

1 Iliad. XVII. 547. Stob. Ὅμηρος habet, sed omnia seqq. usque ad καὶ οἱ ὀφθαλμ. desunt.

2 R. mavult: πῶς ἒν γίνεται ἡ ἶρις. E Mosq. notatur πῶς ἒν.

3 Pet. τῶν δι' αὐγῶν; id. deinde βλέπωμεν.

4 Pet. τόπος. Mox Mosq. ἀνακτώμενα.

5 Pet. τὸ τῶν ἴριδος.

6 Gal. τὴν ἀναθυμίασιν τὴν ὑγρὰν ἐς νέφος μεταβάλλεσθαι· εἶτα ἐκ τε κατὰ βραχὺ εἰς μικρὰς ῥανίδας δροσίζειν νοτιζέσας. Hoc Beck Nostrum contraxisse putat; neque tamen propterea in texta recipiendum. Var. lect. Voss. Anon. δροσιζέσαι.

7 Post ἀνάγκη Gal. addit γὰρ, & τε ante ἡλίε, & pro γίνεσθαι dat συμβαίνειν.

ἔχει τὸ μὲν πρῶτον φοινικοῦν [1]· τὸ δὲ δεύτερον, ἁλουργὲς καὶ πορφυροῦν· τὸ δὲ τρίτον, κυάνεον καὶ πράσινον. μήποτ' οὖν [2] τὸ μὲν φοινίκεον, ὅτι ἡ λαμπρότης τοῦ ἡλίου προσπεσοῦσα, καὶ ἡ ἀκραιφνὴς λαμπηδὼν ἀνακλωμένη, ἐρυθρὸν ποιεῖ καὶ φοινικοῦν τὸ χρῶμα· τὸ δὲ δεύτερον μέρος ἐπιθολούμενον καὶ ἐκλυόμενον μᾶλλον τῆς λαμπηδόνος διὰ τὰς ῥανίδας, ἁλουργές· ἄνεσις γὰρ τοῦ ἐρυθροῦ τοῦτο. ἔτι δὲ πάλιν ἐπιθολούμενον τὸ δροσίζον [3] εἰς τὸ πράσινον μεταβάλλει. ἔστιν οὖν τοῦτο δοκιμάσαι δι' ἔργων· εἰ γάρ τις ἀντικρὺ τῶν ἡλίου ἀκτίνων λάβῃ ὕδωρ καὶ πτύσῃ [4], αἱ δὲ ῥανίδες ἀνάκλασιν πρὸς τὸν ἥλιον λάβωσιν, εὑρήσει γινομένην ἶριν· καὶ οἱ ὀφθαλμιῶντες δὲ τοῦτο πάσχουσιν, ὅταν εἰς τὸν λύχνον ἀποβλέψωσιν [5].

Ἀναξιμένης ἶριν γίνεσθαι [6] κατ' αὐγασμὸν ἡλίου πρὸς νέφει πυκνῷ καὶ παχεῖ καὶ μέλανι, παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖνας εἰς τὸ πέραν διακόψαι [7] ἐπισυνισταμένας αὐτῷ. Ἀναξαγόρας ἀνάκλασιν ἀπὸ νέφους πυκνοῦ τῆς ἡλιακῆς περιφεγγείας, καταντικρὺ δὲ τοῦ κατ-

εκτρί-

1 Gal. σχήματος μορφαὶ, ἀλλὰ χρώματα φαίνεται· τρία γὰρ ἶρις ἔχει χρώματα· τὸ μὲν γὰρ πρῶτον ἔχει φοιν.

2 Gal. μήποτε τὸ μὲν φ.

3 Vulgo τὸ διορίζον. R. quaerit, num τὸ τρίτον, an τὸ δροσίζον? Posterius e marg. Voss. & Anon. susp. W. dedique, Bud. consentiente. Gal. ἔστι δὲ πάλιν ἐ. τὸ διορίζον μεταβάλλεται εἰς τὸ πράσινον.

4 Ald. Bas. Herw. Mosq. πιτύσει; Steph. & rell. πιτύσῃ; E Ms. notavit Xyl. πτύσει; idem W. notat e Pet. Venet. Voss. Colleg. Nov. Anon. nec non e Pol. & Jannot. ποτίσει. Cum Beck. & W. dedi πτύσῃ e Gal. & E. Paulo ante Pet.: ἀντικρὺ τοῦ ἡλίου τῶν ἀκτίνων; Gal. εἰς τὸ ἄντικρυ τοῦ ἡλίου λάβῃ. Mox idem: ἀνάκλασιν λάβοιεν πρὸς τὸν ἥλιον, εὑρ. γιγνομένην.

5 Stob. ὑποβλέψωσιν.

6 Post γίν. Gal. addit νομίζει.

7 Gal. Mosq. διακόπτειν. Pro αὐτῷ Gal. αὐτῶν.

εντρίζοντος αὐτὸ [1] ἀςέρος διαπαντὸς ἵςαθαι. παραπλησίως δὲ Φυσιολογεῖται [2] τὰ καλέμενα παρήλια, γινόμενα δὲ κατὰ τὸν Πόντον. Μητρόδωρος, ὅταν διὰ νεφῶν ἥλιος [3] διαλάμψῃ, τὸ μὲν νέφος κυανίζειν, τὴν δ᾽ αὐγὴν ἐρυθραίνεθαι.

## Περὶ ῥάβδων. ϛ´ [4].

Τὰ κατὰ τὰς ῥάβδες καὶ ἀνθηλίες συμβαίνοντα, μίξει τῆς ὑποςάσεως καὶ ἐμφάσεως ὑπάρχειν [5], τῶν μὲν νεφῶν ὁρωμένων, ἐ κατ᾽ οἰκεῖον δὲ χρῶμα, ἀλλ᾽ ἕτερον, ὅπερ [6] κατὰ τὴν ἔμφασιν Φαίνεται. ἐν δὲ τέτοις πᾶσι τά τε κατὰ Φύσιν καὶ κατ᾽ ἐπίκτησιν ὅμοια συμβαίνει πάθη.

## Περὶ ἀνέμων. ζ´ [7].

Αναξίμανδρος [8], ἄνεμον εἶναι ῥύσιν ἀέρος, τῶν λεπτοτάτων ἐν αὐτῷ καὶ ὑγροτάτων ὑπὸ τῦ ἡλίε κινεμένων ἢ τηκομένων. οἱ Στωϊκοὶ, πᾶν πνεῦμα ἀέρος εἶναι ῥύσιν, ταῖς τῶν τόπων δὲ παραλλαγαῖς τὰς ἐπωνυμίας

1 Sic jubente R. dedi cum Beck. ut redeat ad νέφος — ἄστρι, h. e. solis, *illam nubem in speculum vertentis*: Mosq. αὐτὴν. Vulgo αὐτόν.

2 Mosq. αἰτιολογεῖται. R. mavult Φυσιολογεῖ καὶ τὰ κ.

3 Gal. ὁ ἥλιος. Post ἐρυθρ. addit idem Φησί.

4 Beck. monente, videtur superioris capitis abscissa particula. In Gal. & Stob. adjicitur praecedentibus.

5 Gal. addit οἴονται. Id. δὲ ante χρῶμα omittit.

6 Petav. ὥσπερ. Pro κατὰ ἐπίκτ. Mosq. τὰ ἐπίκτητα. Cors. docente, ἐπικτήσεως nomine indicatur affectio, quae substantiae veraeque naturae superaddita f. adscititia est.

7 Gal. XX. p. 42. Stob. non haec, sed Aristotelis sententiam retulit.

8 Gal. addit οἴεται. Id. deinde ὑ. τ. ἡ. τηκομένων ἢ κινεμένων. Omittit simul οἱ ante Στ. & addit δὲ post hanc vocem.

μίας παραλλάττεσαν [1]. οἷον, ἀπὸ τῦ ζόφυ καὶ τῆς δύσεως, ζέφυρον [2]. ἀπὸ τῆς ἀνατολῆς καὶ τῦ ἡλίυ, ἀπηλιώτην· τὸν δ' ἀπὸ τῶν [3] ἄρκτων, εἶναι βορέαν· τὸν δ' ἀπὸ τῶν νοτίων, λίβα [4]. Μητρόδωρος, ὑδατώδες ἀναθυμιάσεως διὰ τὴν ἡλιακὴν ἔκκαυσιν γίνεσθαι ὁρμὴν πνευμάτων θείων [5]. τὰς δ' ἐτησίας πνεῖν, τῦ πρὸς τοῖς ἄρκτοις παχυνθέντος ἀέρος, ὑποχωρῦντι τῷ ἡλίῳ κατὰ τὴν θερινὴν τροπὴν ἐπισυῤῥέοντας [6].

## Περὶ χειμῶνος καὶ θέρυς. ή [7].

Ἐμπεδοκλῆς, καὶ οἱ Στωϊκοὶ, χειμῶνα μὲν γίνεσθαι, τῦ ἀέρος ἐπικρατῦντος τῇ πυκνώσει, καὶ εἰς τὸ ἀνωτέρω [8] βιαζομένυ· θέρος [9] δὲ, τῦ πυρὸς, ὅταν εἰς

1 Non dubitavi, sic e W. mente recipere pro vulg. παραλλάττεσιν. Gal. ῥύσιν λεγεσιν' ἡγῦνταί τε κατὰ τὰς τῶν τόπων παραλλαγὰς τ. ἐ. παραλλάττειν.

2 Gal. ζέφ. ὠνόμαζον, τὸν ἀ. τ. ἀ. Mosq. omittit καὶ ante τῦ ἡ.

3 abest τῶν a Pet. & Gal. & εἶναι a Mosq. & Gal.

4 Pro τὸν — λίβα Gal. τὸν ἀπὸ τῆς μεσημβρίας νότον. Tum idem: Μητρόδ. δὲ ὑδάτων ἀναθυμίασιν.

5 R. susp. πνεύματι ὁμοίαν, aut πνεῦμα ὀνομαζομένην. Cors. reddit *currentium*, Beck. judice, contra usum & analogiam: Beck. ipse quaerit, num θόων, an θείαν (h. e. vehementem) an ὁρμὴν πνευματώδη? — A Gal. abest. Etiam W. delendum censet cum Bud. Amiot. Mez.

6 Pet. παχυνθέντος ἀέρος ὑποχωρῦσι; Gal. ἀέρος παχυνθέντος, ὑποχωρῦντος δὲ τῦ ἡλίυ κ. τ. θ. τρ. omisso verbo ἐπισυῤῥέοντας. R. docente hoc verbum recte cum dat. construitur, — *confluentes adversus solem.*

7 Gal. XX. p. 42. In Stob. deest hoc caput. (Ita quidem Beck. notat. Cors. vero docente, Galenus hoc caput omisit; Stob. autem Empedoclis & Stoicorum sententiam ex Plutarcho accurate expressit. Utriusque W. mentionem facit in notanda lectione.)

8 Gal. ἀνώτερον. Cors. susp. post ἀνωτέρω inserendum esse πυρός. Beck. non probat, cum βιάζεσθαι activi sensu capi possit: vi operari & agere.

9 Vulgo θερείαν. Pet. θερίαν. Gal. θέρος, & ita quoque marg.

εἰς τὸ κατωτέρω βιάζηται [1]. Περιγεγραμμένων δέ μοι τῶν μεταρσίων, ἐφοδευθήσεται καὶ τὰ πρόσγεια.

Περὶ γῆς, καὶ τίς ἡ ἐσία αὐτῆς καὶ πόση. θʹ [2].

Θαλῆς, καὶ οἱ ἀπ' αὐτȣ̃, μίαν εἶναι τὴν γῆν. Ἱκέτης [3] ὁ Πυθαγόρειος, δύο, ταύτην καὶ τὴν ἀντίχθονα. οἱ Στωϊκοὶ, τὴν γῆν μίαν καὶ [4] πεπερασμένην. Ξενοφάνης, ἐκ τȣ̃ κατωτέρȣ [5] μέρȣς, εἰς ἄπειρον βάθος ἐῤῥιζῶσθαι, ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι. Μητρόδωρος, τὴν μὲν γῆν ὑπόςασιν εἶναι καὶ τρύγα τȣ̃ ὕδατος· τὸν δὲ ἥλιον, τȣ̃ ἀέρος.

Περὶ σχήματος γῆς. ιʹ [6].

Θαλῆς, καὶ οἱ Στωϊκοὶ, καὶ οἱ ἀπ' αὐτῶν [7], σφαιροειδῆ τὴν γῆν. Ἀναξίμανδρος, λίθῳ κίονι τὴν γῆν [8] προσ-

marg. E. qui in contextu habet θερείαν. Probat W. dedique. Cum vulgata consentiunt Stob. p. 21. & reliqui libri.

1 Gal. εἰς τὸ κάτω β. Mosq. βιάζεται. Pro περιγεγρ. R. mavult προγεγραμμένων. Verba Περιγεγρ. — πρόσγεια omittit Gal.

2 Gal. XXI. p. 42. Euf. XV, 55. Mosq. in infer. — καὶ τίς ἡ ταύτης ἐσία, καὶ πόσαι. In Gal. tantum περὶ γῆς.

3 Poft τὴν γῆν Gal. addit ὑπολαμβάνȣσι. Deinde vulgo Οἰκέτης. Euf. Ἱκαίτης. E Mosq. recepit Beck. Ἱκέτης. Idem dat W. ut veram nominis formam, docentibus viris doctis, memoratis T. Davisio ad Cic. Ac. II, 39. & confentiente M. In Gal. eft: τῶν δὲ Πυθαγορείων τινὲς δύο, καὶ ταύτην εἶναι κ. τ. ἀ. φασιν.

4 A Petav. τὴν γῆν & καὶ abfunt. Gal. inferit εἶναι inter γῆν & μίαν.

5 Pet. κάτω. Euf. omittit deinde βάθος; pro eo Mosq. μέρος. Gal. Μητρ. δὲ τὴν γῆν ὑ. εἶ. καὶ οἱονεὶ τ. τ. ὕ. νομίζει, ὡς τὸν ἥλ. τ. ἀ. Pet. τρίγα; Euf. omittit τȣ̃ ante αἴρος.

6 Gal. XXI. p. 42. Euf. XV. 56. In infer. Gal. σχημάτων.

7 Gal. Θαλῆς καὶ οἱ ἀπ' αὐτȣ̃, omiffis Stoicis. Poft γῆν addit νομίζȣσι. In Euf. defunt καὶ οἱ ἀπ' αὐτῶν.

8 Euf. omittit τὴν γῆν. Mosq. τῇ γῇ. R. legi vult λίθῳ, ἢ κίονι, lapidi aut columnae cuidam e genere planarum fimilem. Gal. προσφερεῖ.

προσφερῆ τῶν ἐπιπέδων. Ἀναξιμένης, τραπεζοειδῆ· Λεύκιππος, τυμπανοειδῆ. Δημόκριτος, δισκοειδῆ μὲν τῷ πλάτει, κοίλην δὲ τὸ μέσον [1].

## Περὶ θέσεως γῆς. ιά [2].

Οἱ ἀπὸ Θάλεω, τὴν γῆν μέσην [3]. Ξενοφάνης, πρώτην, εἰς ἄπειρον [4] ἐῤῥιζῶσθαι. Φιλόλαος ὁ Πυθαγόρειος, τὸ μὲν πῦρ μέσον· τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν· δευτέραν [5] δὲ τὴν ἀντίχθονα· τρίτην δὲ, ἣν οἰκοῦμεν γῆν ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῇ ἀντίχθονι· παρ᾽ ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν [6] ἐν τῇδε τοὺς ἐν ἐκείνῃ.

## Περὶ ἐγκλίσεως γῆς. ιβ' [7].

Λεύκιππος παρεκπεσεῖν τὴν γῆν εἰς τὰ μεσημβρινὰ μέρη, διὰ τὴν ἐν τοῖς μεσημβρινοῖς ἀραιότητα, ἅτε δὴ πεπηγότων τῶν βορείων, διὰ τὸ κατεψύχθαι τοῖς κρυμοῖς, τῶν δ' ἀντιθέτων πεπυρωμένων. Δημόκριτος, διὰ τὸ ἀσθενέστερον εἶναι τὸ μεσημβρινὸν τοῦ περιέχοντος, αὐξομένην τὴν γῆν κατὰ τοῦτο ἐγκλιθῆναι· τὰ γὰρ

1 Gal. post τὸ μέσ. addit τῷ μεγέθει. Euf. τῷ μέσῳ.

2 Gal. XXI. p. 43. Euf. XV. 57, qui in infcr. τῆς addit ante γῆς.

3 Gal. μέσην τὴν γῆν οἴονται εἶναι.

4 Euf. πρώτην· εἰς ἄπειρον γὰρ ἐῤῥ. Xyl. id probavit vertitque. Rectius quoque efle W. judicat. Cum Beck. dedi comma poft πρώτην, quod vulgo abeft. Gal. πρώτην τὴν γῆν ἐκ τοῦ κατωτέρου μέρους εἰς ἄπ. ἐῤῥ., ἐξ ἀέρος δὲ καὶ πυρὸς συμπαγῆναι. Vid. c. 9.

5 Gal. ἑτέραν; mox idem τρίτην δὲ τὴν οἰκουμένην; omittit deinde τε ante καὶ.

6 Mosq. ὑπὸ τοῖς. Verba παρ' ὃ — ἐκείνῃ in Gal. defunt. Quae vulgo de Parmenide fub fin. Cap. adjecta leguntur, cum Beck. fub fin. cap. XIV. repofui.

7 Gal. XXI. p. 43.

γὰρ βόρεια ἄκρατα, τὰ δὲ μεσημβρινὰ κέκραται· ὅθεν κατὰ τοῦτο βεβάρηται, ὅπου περισσή ἐστι τοῖς καρποῖς καὶ τῇ αὐξήσει [1].

## Περὶ κινήσεως γῆς. ιγ' [2].

Οἱ μὲν ἄλλοι, μένειν τὴν γῆν [3]. Φιλόλαος δὲ ὁ Πυθαγόρειος, κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλου λοξοῦ [4], ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ. Ἡρακλείδης ὁ Ποντικὸς καὶ Ἔκφαντος ὁ Πυθαγόρειος κινοῦσι μὲν τὴν γῆν, οὐ μήν γε μεταβατικῶς, τροχοῦ δὲ [5] δίκην ἐνζωνισμένην [6] ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς, περὶ τὸ ἴδιον αὐτῆς κέντρον. κατ' ἀρχὰς μὲν πλάζεσθαι [7] τὴν γῆν, φησὶν ὁ Δημόκριτος, διά τε μικρότητα καὶ κουφότητα, πυκνωθεῖσαν δὲ τῷ χρόνῳ καὶ βαρυνθεῖσαν καταστῆναι.

Περὶ

1 Mosq. τῇ αὔξῃ. R. susp. τοῖς καρποῖς ἢ αὐξήσεσι. Improbat hanc conjecturam Beck. uti aliam a Cors. probatam, qua vocabula αὐξομ. τὴν γῆν κατὰ τοῦτο ἐγκλιθῆναι transponenda & ad Leucippi sententiam referenda esse censet.

2 Gal. XXI. p. 43. Euſ. XV. 58.

3 Gal. addit ὑπολαμβάνουσι.

4 R. legi vult κατὰ κύκλον λοξόν; male, Beck. judice.

5 Addendo δὲ secutus sum W. id ex Voſs. sumentem. Vulgo abest. Beck. cum Xyl. vers. ex Euſ. adjecit ἀλλὰ τροπικῶς τρ. δ. Gal κινητὴν γῆν, οὐ. μ. γ. μ. ἀλλὰ τροχοῦ δ.

6 Marg. Voſs. Mosq. ἐνιζωνισμένην; E. Colleg. Nov. Voſs. ἐνιζομένην; Utrumque e Petav. notatur; M. ἐνι * ἀπὸ δυσμῶν, cum lacuna. Euſ. ἄξονι στρεφομένην ἀπὸ δυσμῶν ἐπ' α. Haec lectio a Xyl. recepta, vera videtur W. judice. R. susp. τροχοῦ δὲ δίκην ἐνηξωνισμένου, *sed instar rotae, cui axis sua inserta est*, seu instar rotae ad axin suam adstrictae, ut ab ea decidere nequeat. Gal. habet vulgatum. Dedi deinde περὶ τὸ ἴδ. pro vitiosa lectione τὴν τὸ ἴδ. quae est in Frft. & R.

7 Xyl. vertit *efficiam fuisse*. Hinc Cors. & Beck. susp. eum legisse πλάσσεσθαι sive πλασθῆναι. Bud. vertit *multivagam fuisse*.

### Περὶ διαιρέσεως γῆς, πόσαι αὐτῆς εἰσι ζῶναι. ιδʹ[1].

Πυθαγόρας [2] τὴν γῆν ἀναλόγως τῇ τοῦ παντὸς οὐρανοῦ σφαίρᾳ διῃρῆσθαι εἰς πέντε ζώνας, ἀρκτικὴν, θερινὴν, ἰσημερινὴν, χειμερινὴν [3], ἀνταρκτικήν· ὧν ἡ μέση τὸ μέσον τῆς γῆς ὁρίζει, παρ' αὐτὸ τοῦτο διακεκαυμένη καλουμένη· ἡ δὲ [4] οἰκητήριόν ἐστιν, ἡ μέση τῆς θερινῆς καὶ χειμερινῆς, εὔκρατός τις [5] οὖσα. Παρμενίδης πρῶτος ἀφώρισε τῆς γῆς τοὺς οἰκουμένους τόπους ὑπὸ ταῖς δυσὶ ζώναις ταῖς τροπικαῖς.

### Περὶ σεισμῶν γῆς. ιεʹ[6].

Θαλῆς μὲν καὶ Δημόκριτος ὕδατι τὴν αἰτίαν τῶν σεισμῶν προσάπτουσιν. οἱ δὲ Στωϊκοὶ [7] φασί· Σει-

σμός

1 Gal. XXI. p. 43. ubi in inscr. verba desunt πόσαι — ζῶναι.

2 Gal. τῶν Πυθαγορείων τινές.

3 Transposui duo haec vocabula cum Beck. jubente R. Vulgo χειμερινὴν, ἰσημερινήν. Gal. ἀρκτικὴν, ἀνταρκτικὴν, θερινὴν, χειμ. ἰσημ. ὧν ἡ μὲν μέση τ. μ. τ. γ. ὁρίζεσθαι διακεκαυμένης. ἡ δὲ —. In Mosq. ἀνταρκτικὴν deest.

4 Edd. priores οἱ δέ; Xyl. e Ms. notavit ἡ δὲ, susp. ἧ δὲ οἰκητήριον, quae vox vulgo legebatur. Dedi pro ea cum Beck. οἰκητὴ e Gal. & Mosq. Conjecerat R. οἰκητήριος. Sequens ἡ ante μέση omittit Gal. sed ante χειμ. addit articulum τῆς, Beck. judice, recte. R. καὶ χειμερινῆς accipiendum monet pro καὶ ἡ μέση τῆς χειμερινῆς — terra habitabilis illa est, quae in circulo, tam aestivo, quam brumali, abest, quantum illinc ab arctico & aequidiali, tantum hinc ab eodem aequidiali & antarctico.

5 Deest τις in Gal. Adjeci, quae vulgo sub fin. cap. XI. legebantur. In Gal. est Π. ὁ πρ. ἀ. τὰς οἰκ. τ. ὑπὸ τὰς δύο ζώνας τροπικὰς εἶναι τὴν γῆν. Beck. monente, ἀφορίζειν non est h. l. separare, sed *definire*.

6 Gal. XXI. p. 43. Stob. p. 68. ubi autem tantum Platonis opinio & Aristotelis.

7 Gal. οἱ δὲ Στ. σεισμὸν εἶναι λέγουσι τὸ ἐκ τῆς γῆς ὑ.

σμος ἐςι τὸ ἐν τῇ γῇ ὑγρὸν εἰς ἀέρα διακρινόμενον καὶ ἐκπῖπτον. Ἀναξιμένης, ξηρότητα καὶ ὑγρότητα [1] τῆς γῆς, αἰτίαν τῶν σεισμῶν, ὧν τὴν μὲν αὐχμοὶ γεννῶσι, τὴν δ' ἐπομβρίαι. Ἀναξαγόρας, ἀέρος ὑποδύσει [2], τῇ μὲν πυκνότητι τῆς ἐπιφανείας προσπίπτοντος, τῷ δ' ἔκκρισιν [3] λαβεῖν μὴ δύνασθαι, τρόμῳ τὸ περιέχον κραδαίνοντος. Ἀριςοτέλης [4], διὰ τὴν τῦ ψυχρῦ πανταχόθεν ἀντιπερίςασιν, κάτωθεν καὶ ἄνωθεν αὐτῇ περιςάντος· τὸ γὰρ θερμὸν ἀνωτέρω γενέσθαι σπεύδει, ἅτε δὴ κῦφον ὄν [5]. διὰ τῦτο ἐν ἀπολήψει γινομένης τῆς ξηρᾶς ἀναθυμιάσεως, τῇ σφηνώσει καὶ τοῖς ἀνθελιγμοῖς διαταράττεσθαι. Μητρόδωρος, μηδὲν ἐν τῷ οἰκείῳ τόπῳ σῶμα κινεῖσθαι, εἰ μή τις προσώσειεν [6], ἢ καθελκύσειε κατ' ἐνέργειαν· διὸ μηδὲ τὴν γῆν, ἅτε δὴ κειμένην φυσικῶς, κινεῖσθαι, τόπες δέ τινας αὐτῆς νοσεῖν

1 Sic cum Beck. e Gal. dedi, monente Cors. & probante W. pro vulg. ἀραιότητα. Turn. ξηρότητα τῆς γῆς omissis intermediis.

2 Sic cum Beck. dedi pro vulg. ἀποδύσει, consentientibus Mosq. Venet. Voss. Colleg. Nov. Idemque Bud. & Amiot. vertentibus, & W. probante. Accedit quoque Pet. ὑποδήσει

3 Mosq. τὸ δὲ ἔκκρ. Deinde ex eod. notatur κερδαίνεσθαι pro κραδαίνοντος.

4 Gal. Ἀριςοτέλης δὲ, πνεῦμα τῆς κινήσεως, ὅταν ἔσω τύχῃ ῥυὲν τὸ ἔξω ἀναθυμιώμενον, διὰ τὴν τῦ ψυχρῦ παντ. — ἄνωθεν αὐτῦ περις. R. susp. τῦ ψυχρῦ τῷ πυρὶ, vel τῷ θερμῷ, ἀντιπερίςασιν, & deinde pro αὐτῇ mavult αὐτῷ, nisi praecesserit nomen foemininum, hodie in Plutarchi codd. desideratum, e. c. τῇ θερμότητι, propterea quod frigus ubique se calori opponit, idque undecunque premit. Beck. praefert αὐτῦ e Gal.

5 abest ὂν a Petav. Mox cum Beck. dedi ἀπολήψει e Mosq. Id quoque R. legendum censuit — *quum intercepta fuerit sicca exhalatio*, & impedita, quo minus exhalaret. Pet. ἀπολήσει. Vulgo ἀπολείψει. Gal. καὶ διὰ τ. ἰ. ἀπολείψει γ τῆς ὑγρᾶς ἀναθυμιάσεως τῇ ἀντισπάσει καὶ τοῖς ἀντελιγμοῖς τὸν σεισμὸν ποιεῖ. Μητρ. —.

6 W. ex E. notat προώσειεν.

νοσεῖν [1] τοῖς ἄλλοις. Παρμενίδης, Δημόκριτος, διὰ τὸ πανταχόθεν ἴσον ἀφεςῶσαν μένειν ἐπὶ τῆς ἰσοῤῥοπίας, ἐκ ἔχεσαν αἰτίαν, δι' ἣν δεῦρο μᾶλλον ἢ ἐκεῖσε ῥέψειεν ἄν· διὰ τἕτο μόνον μὲν κραδαίνεσθαι, μὴ κινεῖσθαι δέ. Ἀναξιμένης, διὰ τὸ πλάτος ἐποχεῖσθαι τῷ ἀέρι. οἱ δὲ φασὶν, ἐφ' ὕδατος [2], καθάπερ τὰ πλατανώδη [3] καὶ σανιδώδη ἐπὶ τῶν ὑδάτων, διὰ τἕτο κινεῖσθαι. Πλάτων, πάσης μὲν κινήσεως ἓξ εἶναι περιςάσεις, ἄνω, κάτω [4], ἐπὶ τὰ δεξιὰ καὶ θάτερα, ἔμπροσθεν καὶ ὄπισθεν· κατ' ἐδεμίαν δὲ τέτων ἐνδέχεσθαι τὴν γῆν κινεῖσθαι [5], ἐν τῷ πανταχόθεν κατωτάτην κειμένην, μένειν μὲν [6] ἀκίνητον, μηδὲν ἔχεσαν ἐξαίρετον εἰς τὸ ῥέπειν [7] μᾶλλον, τόπες δ' αὐτῆς κατ' ἀραιότητα σαλεύεσθαι. Ἐπίκερος, ἐνδέχεσθαι μὲν ὑπὸ πάχες τἕ ἀέρος [8] τἕ ὑποκειμένε, ὑδατώδες ὄντος, ἀνακρεομένην αὐτὴν [9], καὶ οἷον ὑποτυπτομένην, κινεῖσθαι.

1 R. explicat: *locos alios motu vago & erroneo in alios incurrere*, bene tamen monens, hoc modo obscurum aeque obscuro alio illustrari. Beck. e Mosq. recepit νοσεῖν, *laborare*. W. mendum subesse notat.

2 subintell. ἐποχεῖσθαι.

3 Mosq. πλαταμώδη; R. susp. πλαταγώδη, *corpora similia* πλατάγῃ, vel *crepitaculo*. Pro seq. διὰ τἕτο idem voluit διὰ τὸ κἕφον κ. Petav. δ. τ. κινεῖσθαι ἐπὶ τὰ δεξιὰ κ. θ. reliquis omissis.

4 Mosq. Stob. ἄνω καὶ κάτω. Mox Stob. ἐπὶ δεξιᾷ καὶ καθ' ἑτέρᾳ, πρόσθεν καὶ ὄ.

5 Pet. ἐδὲ μίαν δὲ τέτων ἐνδέχεται τὴν γῆν κινεῖσθαι. ἐνδέχεσθαι δὲ καὶ συραγγώδη — reliquis omissis.

6 Mez. μένειν μὲν ἕν. Ita quoque Bud. vertit. Stob. ἐν τῷ πανταχόθεν ἰσωτάτῳ κειμένην (huic lectioni favet Cors. *in spatio unde quaque maxime aequali constitutam*) μένειν ἀκίνητον, ἅτε δὴ μηδὲν ἐξ.

7 Mosq. Stob. ῥέψαι. W. requirit ῥέπειν δεῦρο μᾶλλον ἢ ἐκεῖσε, vel simile.

8 Sic, R. jubente, cum Beck. dedi. Vulgo ὑπὸ τἕ πάχες ἀέρος. In Mosq. deest τἕ ante πάχες.

9 Mosq. δι' αὐτήν.

θαι· ἐνδέχεσθαι δὲ καὶ σηραγγώδη [1] τοῖς κατωτέρω μέρεσι καθεςῶσαν ὑπὸ τοῦ διασπειρομένου πνεύματος εἰς τὰς ἀντροειδεῖς κοιλότητας ἐμπίπτοντος [2] σαλεύεσθαι.

## Περὶ θαλάσσης, πῶς συνέςη καὶ πῶς ἐςὶ πικρά. ιϛ΄ [3].

Ἀναξίμανδρος τὴν θάλασσάν φησιν εἶναι τῆς πρώτης ὑγρασίας λείψανον, ἧς τὸ μὲν πλεῖον μέρος ἀνεξήρανε τὸ πῦρ, τὸ δὲ ὑπολειφθὲν διὰ τὴν ἔκκαυσιν [4] μετέβαλεν. Ἀναξαγόρας, τοῦ κατ᾽ ἀρχὴν [5] λιμνάζοντος ὑγροῦ περικαέντος ὑπὸ τῆς ἡλιακῆς περιφορᾶς, καὶ τοῦ λιπαροῦ ἐξατμισθέντος, εἰς ἀλυκίδα καὶ πικρίαν τὸ λοιπὸν ὑποςῆναι. Ἐμπεδοκλῆς, ἱδρῶτα τῆς γῆς ἐκκαιομένης ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἐπιπόλαιον πλύσιν [6]. Ἀντιφῶν, ἱδρῶτα θερμοῦ [7], ἐξ οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη. τῷ κατεψῆσθαι παραλυκίσαν [8], ὅπερ ἐπὶ παντὸς



1 Gal. Pet. συραγγώδη.

2 Ita Ald. Herw. nec non E. Mosq. Mez. & ita vertunt Bud. Amiot. Xyl. dedique cum Cors. Beck. & W. pro vulg. ἐμπίπτοντας.

3 Gal. XXII. p. 44. Euſ. XV, 59. Inſcriptio apud Gal. haec eſt: περὶ θαλάττης, διάτι ἁλμυρά ἐςιν.

4 Euſ. olim ἔγκλισιν, quod Xyl. jam repudiavit, & Vig. mutavit.

5 Euſ. κατ᾽ ἀρχὰς, quod probat Beck.

6 Xyl. ex Euſ. edidit & vertit ἐπὶ πλεῖον πίλησιν. Junius fide correxit ἐπιπόλαιον πίλησιν. W. judice, alterutrum verum, & utrumque rectius vulgato. R. quaerit, num καῦσιν? Pet. πλῆσιν. Beck. ſervavit vulgatum, modo poſt ἡλίου commate poſito, ut ſubintelligatur, eum reddere mare ſalſum, quoniam ſuperficiem eluat. In Gal. deſunt διὰ τὴν ἐπιπ. πλ.

7 Euſ. τοῦ θερμοῦ, quod probat Beck. Deinde Mosq. περιλειφθέν.

8 Vulgo παρακυλίσασα. Xyl. legendum monuit παραλυκίζοντα. R. id probavit, & Beck. dedit. Idem haud dubie voluit Cors. in quo operarum errore extat παρακυλίσαντα. Equidem

τὸς ἱδρῶτος συμβαίνει. Μητρόδωρος, τὸ διηθῆσαν [1] διὰ τῆς γῆς μετειληφέναι τȣ̃ περὶ αὐτὴν πάχȣς, καθάπερ τὰ διὰ τῆς τέφρας ὑλιζόμενα. οἱ ἀπὸ Πλάτωνος, τȣ̃ ςοιχειώδȣς ὕδατος τὸ μὲν ἐξ ἀέρος κατὰ περίψυξιν συνιςάμενον, γλυκὺ γίνεσθαι, τὸ δ' ἀπὸ γῆς [2] κατὰ περίκαυσιν καὶ ἐκπύρωσιν ἀναθυμιώμενον, ἁλμυρόν.

## Πῶς ἀμπώτιδες γίνονται καὶ πλημμύραι. ιζ' [3].

Ἀριςοτέλης, Ἡρακλείδης [4], ὑπὸ τȣ̃ ἡλίȣ, τὰ πλεῖςα [5] τῶν πνευμάτων κινȣ̃ντος καὶ συμπεριφέροντος· ὑφ' ὧν ἐμβαλλόντων [6] μὲν, προωθȣμένην ἀνοιδεῖν

dem secutus sum W. ita levi mutatione reponentem ex παραλυκίσασα, quod habent Euſ. Colleg. Nov. Mosq. margo Voſs. Anon. Mez. Eundem ſenſum expreſſit Bud.

1 Vulgo διὰ τὸ διηθ. W. monente, delevi hoc διὰ. Euſ. διὰ τὸ διηθηθεῖσαν; Mosq. διηθεῖσθαι. Gal. διὰ τὸ διηθῆσαι, quod Beck. probante Cors. recepit. Ald. Baſ. Herw. Petav. διηθεῖσαν. Cf. Vol. XI. Sympos. I, 9.

2 Vulgo ἀπὸ τῆς. E Ms. & Euſ. legendum monuit vertitque Xyl. ἀπὸ γῆς, quod cum W. recepi, conſentientibus Voſs. Anon. Mosq. Bud. & editianum Gr. Lat. una 1624. Notatur eadem lectio in ſuppl. lect. var. ed. Frſt. Gal. ἀπὸ τῆς γῆς.

3 Gal. XXII. p. 44. Stob. p. 69. In inſcr. Gal. πλημμυρίαι.

4 Ita cum Beck. e Mosq. & Stob. (conſentientibus quoque ejusdem Exc. Damaſc.) dedi pro vulg. Ἡράκλειτος. Gal. ſolum Ariſtotelis nomen exprimit, ita hoc caput exhibens: Ἀριςὑπὸ τȣ̃ ἡλίȣ τὰ πλεῖςα τ. πν. κινεῖσθαι καὶ περιφέρεσθαι. ὧν ἐμβαλόντων ἐνοιδεῖν τὴν Ἀ. θ. κ. κατασκευάζειν τὰς πλημμύρας, ληγόντων δὲ καὶ ἀντίπερ. ὑ. ὁ. ει. τ. ἄμπωσιν Πυθ. ὁ Μασσιλιώτης τ. π. τ. σ. τ. πλημμύρας, τῇ δ' ἐλλείψει τὰς ἄμπ. Verba Πλάτων — πελάγη omittit; tum Τίμαιος — προωθ. μὲν τὰς ἐφόδȣς καὶ πλημμυρίαν ποιȣ̃ντας, ληγόντων δὲ τὰς ἀμπώτιδας γίνεσθαι, reliquis omnibus omiſſis.

5 Vulgo τὰ γὰρ πλεῖςα. R. γὰρ delendum monuit; & in Stob. deeſt. Beck. mutavit in γε.

6 Ita Ald. Baſ. Herw. Steph. Cors. & Beck. in rell. ἐμβαλόντων

δεῖν τὴν Ἀτλαντικὴν θάλασσαν, καὶ παρασκευάζειν τὴν πλημμύραν, καταληγόντων δ' ἀντιπερισπωμένην ὑποβαίνειν, ὅπερ εἶναι τὴν ἄμπωτιν [1]. Πυθέας ὁ Μασσαλιώτης, τῇ πληρώσει τῆς σελήνης τὰς πλημμύρας γίνεσθαι, τῇ δὲ μειώσει τὰς ἀμπώτιδας. Πλάτων ἐπὶ τὴν αἰώραν φέρεται [2] τῶν ὑδάτων· εἶναι γάρ τινα αἰώραν διά τινος (ςομίυ) τρήματος [3] περιφέρυσαν παλίρροιαν, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη. Τίμαιος, τὰς ἐμβάλλοντας ποταμὺς εἰς τὴν Ἀτλαντικὴν διὰ τῆς Κελτικῆς ὀρεινῆς αἰτιᾶται, προωθῦντας μὲν ταῖς ἐφόδοις καὶ πλημμύραν ποιῦντας, ὑφέλκοντας [4] δὲ ταῖς ἀναπαύλαις, καὶ ἀμπώτιδας κατασκευάζοντας. Σέλευκος ὁ μαθηματικός, κινῶν καὶ ὗτος τὴν γῆν, ἀντικόπτειν αὐτῆς τῇ δίνῃ φησὶ καὶ τῇ κινήσει τὴν περιςροφὴν τῆς σελήνης· τῦ δὲ μεταξὺ ἀμφοτέρων τῶν σωμάτων ἀντιπερισπωμένυ πνεύματος καὶ ἐμπίπτοντος εἰς τὸ Ἀτλαντικὸν πέλαγος, κατὰ λόγον αὐτῷ συγκυκᾶσθαι τὴν θάλασσαν.

 Περὶ

λόντων, quod quoque in Gal. eſt; in Stob. ἐμφ' ὧν ἐμβαλλόντων, qui mox καὶ addit ante προωθ. & κατασκευάζειν habet, & deinde δ' ἄν τι περισπωμένην.

1 Ita Ald. Baſ. Herw. Steph. Pet. Mosq. Stob. dedique cum Cors. Beck. W. pro vulg. ἄμπωσιν.

2 Vulgo ἐπὶ τὴν ἐώραν φέρεσθαι. Dando αἰώραν ſecutus ſum W. ita ſumentem ex Stob. cum edito, tum ſcripto Damaſc. conſentientibus Colleg. Nov. & ipſo Platone in Phaedon. Pro φέρεσθαι recepi φέρεται, refert, ex Pet. Mosq. Stob. cum Beck. jubente R. Ferri quidem poſſe vulgatum monet W. Apud Stob. locus hic eſt: Πλ. ἐπὶ τὴν αἰώραν φέρεται τῶν ὑδάτων· εἶναι γάρ τινα φυσικὴν αἰώραν διά τινος ἐγγείυ τρήματος περιφέρυσαν τὴν παλίρροιαν, ὑφ' ἧς ἀντικυμαίνεσθαι τὰ πελάγη.

3 Cum Beck. uncinis incluſi ςομίυ, ut ſpurium & ex interpretamento vel varia lectione ſequentis vocabuli natum. R. voluit διά τινος ἐγγείυ τρήματος ἐπιφέρυσαν. Dedi ſimul cum Beck τὴν παλίρρ. e Stob. Vulgo abeſt τὴν.

4 R. ſuſp. ὑπείκοντας. Beck. judice, vulgatum commodiſſime reſpondet oppoſito προωθῦντας.

## Περὶ ἅλω. ιή [1].

Η δὲ ἅλως ὅτωσὶ ἀποτελεῖται. μεταξὺ τῆς σελήνης, ἢ τινος [2] ἄλλȣ ἄστρȣ, καὶ τῆς ὄψεως, ἀὴρ παχὺς καὶ ὀμιχλώδης ἵσαται· εἶτ᾽ ἐν τούτῳ τῆς ὄψεως κατακλωμένης καὶ εὐρυνομένης, κἆθ᾽ ὅτω τῷ κύκλῳ τȣ̃ ἄστρȣ προσπιπτούσης κατὰ τὴν ἔξω περιφέρειαν, κύκλος δοκεῖ περὶ τὸ ἄστρον φαίνεσθαι· ὃς κύκλος φαινόμενος ἅλως καλεῖται, ὅτι ἐσὶν ἅλως προσεχῶς [3] ἐκεῖ δοκȣ̃ντος τȣ̃ φάσματος γίνεσθαι, ἔνθα νῦν ἔπεσε τὸ πάχος τῆς ὄψεως.

1 Caput hoc ex suo loco, qui debebat esse proximus capiti secundo vel quinto, librarii culpa huc translatum fuisse, uno animo monent Cors. Beck. W. In Gal. non extat. Mosq. in inscr. ἅλως, initio autem cap. ἅλω pro ἅλως.

2 Pet. καί τινος.

3 R. susp. ὅτι ἐσὶν ἅλωνι προσφερὴς, *quia similis est areae*, — & deinde ἔνθα συνέπεσε τὸ πάθος τῆς ὄψεως. Beck. vulgatam explicat, ut verba ὅτι — ita struantur: ὅτι ἐ. ἅ. πρ. τȣ̃ φάσματος τȣ̃ ἐκεῖ δοκ. γ. & ea non causam reddere proxime praecedentium. ὃς — καλεῖται, sed superiorum, κύκλος δοκεῖ — φαίνεσθαι, putentur, sed πάχος τ. ὄψ. referatur ad verba εὐρυνομένης τ. ὄψεως, & ἔνθα ἔπεσε sit: ubi accidit, vel in quem locum incidit. Ad hanc quidem sententiam sese vertendo accommodat Kaltw. suspicans tamen, locum esse corruptum. W. susp. ὅτι ἐσὶν ἅλως τῆς ὄψεως, προσεχῶς ἐκεῖ δοκȣ̃ντος τȣ̃ φάσματος γίνεσθαι, ἔνθα συνέπεσε τὸ πάχος.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΠΕΡΙ ΤΩΝ ΑΡΕΣΚΟΝΤΩΝ ΤΟΙΣ ΦΙΛΟΣΟΦΟΙΣ

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

---

Περιωδευμένων δὲ τῶν τȣ͂ κόσμȣ μερῶν, διαβήσομαι πρὸς τὰ κατὰ μέρος.

### Περὶ Νείλȣ ἀναβάσεως. α΄. [1]

Θαλῆς τȣς ἐτησίας [2] ἀνέμȣς οἴεται πνέοντας τῇ Αἰγύπτῳ ἀντιπροσώπȣς ἐπαίρειν τȣ͂ Νείλȣ τὸν ὄγκον, διὰ τὸ τὰς ἐκροὰς αὐτȣ͂ τῇ παρεισδύσει [3] τȣ͂ ἀντιπαρήκοντος πελάγȣς ἀνακόπτεσθαι. Εὐθυμένης ὁ Μασσαλιώτης, ἐκ τȣ͂ Ὠκεανȣ͂ καὶ τῆς ἔξω [4] θαλάσσης γλυκείας κατ' αὐτὸν [5] ȣ̓́σης νομίζει πληρȣ͂σθαι τὸν ποτα-

Ee 4 μόν.

1 Gal. XXIII. p. 44. Caput hoc librarii negligentia temere a fine tertii libri in quarti initium esse transscriptum, consentiunt Cors. Ricard. W. Aliud sentiunt R. & Kaltw. cum id ad *τὰ κατὰ μέρος*, *res terrae particulares*, hoc libro tractandas, pertineat. Beck. notat, prooemium non satis recte quoad verba *τὰ κατὰ μέρος* convenire libri argumento, quod de anima & sensibus agat, nec bene cohaerere caput primum cum seqq. maxime vero hinc patere compilatoris inscitiam.

2 Mosq. *ἐτησίας*. Idem notatur in suppl. lect. var. ed. Frft.

3 Beck. e Mosq. dedit *παροισδήσει*. Idem W. notat ex E. M. Voss. Colleg. Nov. Accedit ad id Petav. *παροισδήσει*; & vertit Bud. In Ald. & Herw. *παρεισδήσει*.

4 R. mavult *ἔσω*, ut mare mediterraneum intelligatur, Oceano oppositum.

5 Xyl. e Ms legendum monuit *αὐτὴν*, quod quoque e Pet. notatur, interpretandum pro *καθ' αὑτὴν*, *suapte natura*. Bud. ita vertit. R. tuetur vulgatum, ut *αὐτὸν* redeat ad *ποταμὸν* — maris

μόν. Ἀναξαγόρας, ἐκ τῆς χιόνος τῆς ἐν τῇ [1] Αἰθιοπίᾳ, τηκομένης μὲν ἐν τῷ θέρει, ψυχομένης δὲ τῷ χειμῶνι [2]. Δημόκριτος, τῆς χιόνος [3] τῆς ἐν τοῖς πρὸς ἄρκτον μέρεσιν ὑπὸ θερινὰς τροπὰς ἀναλυομένης τε καὶ διαχεομένης, νέφη μὲν ἐκ τῶν ἀτμῶν πιλεῖσθαι· τούτων δ' ἀπελαυνομένων πρὸς μεσημβρίαν καὶ τὴν Αἴγυπτον ὑπὸ τῶν ἐτησίων ἀνέμων, ἀποτελεῖσθαι ῥαγδαίους ὄμβρους, ὑφ' ὧν ἀναπίμπλασθαι τάς τε λίμνας καὶ τὸν Νεῖλον ποταμόν. Ἡρόδοτος, ὁ συγγραφεὺς, ἴσον μὲν ἐκ τῶν πηγῶν φέρεσθαι χειμῶνος καὶ θέρους, φαίνεσθαι δ' ἐλάττονα τοῦ χειμῶνος, διὰ τὸ ἐν τούτῳ τῷ καιρῷ πλησίον ἰόντα τὸν ἥλιον τῆς Αἰγύπτου ἐξατμίζειν τὰ νάματα [4]. Ἔφορος, ὁ ἱστοριογράφος, κατὰ θέρος, φησὶν, ἀναχαλᾶσθαι τὴν ὅλην Αἴγυπτον, καὶ οἱονεὶ ἐξιδροῦν [5] τὸ πολὺ νᾶμα· συνδίδωσι δ' αὐτῇ καὶ ἡ Ἀραβία καὶ ἡ Λιβύη παρὰ τὸ ἀραιὸν καὶ ὑπόψαμμον. Εὔδοξος, τοὺς ἱερεῖς, φησι, λέγειν τὰ ὄμβρια τῶν ὑδάτων, καὶ τὴν ἀντιπερίστασιν τῶν ὡρῶν, ὅταν παρ'

*maris interioris, quod in fluvii regione dulce est.* Beck. judice verba γλυκ. κ. αὐ. οὔσης vix ab auctore libelli profecta videntur. In Gal. desunt, qui ita: τῆς ἔξωθεν θαλάττης πλημμυρεῖν τὸν ποταμὸν οἴονται.

1 ἐν deest in Gal. τῇ omittit Mosq.

2 Pet. ἐν χειμῶνι.

3 τῆς ante χιόν. omittit Gal. Tum idem ita pergit: χιόνος τῆς ἐν τοῖς πρὸς ἄρκτον μέρεσιν — ἀναλυομένης, νέφη ἐκ τῶν ἀτμῶν πληροῦσθαι καὶ συνελαυνόμενα πρὸς τὴν μεσημβρίαν καὶ τὴν Αἴγ. ὑ. τ. ἐ. ἀ. ἀποτελεῖν ῥ. ὁ. ὑ. ὧ. ἐγείρεσθαι τὸν Νεῖλον ποταμόν. Pro ἀπελαυν. Mosq. ἀνελαυνομένων, Beck. judice non male.

4 R. susp. post τὰ νάματα aliquid deesse. Beck. monente nil desideratur. Gal. omissis ὁ συγγραφεὺς, ita habet: ἴσον μὲν φέρεσθαι καὶ χειμῶνος καὶ θέρους ἐκ τῶν πηρῶν (vitiose pro πηγῶν) φαίνεσθαι —. Pro ἰόντα in eodem est ὄντα. Pet. ἐξατμίζει.

5 Ita Xyl. e Ms. legendum monuit pro vulg. ἐξυδροῦν, dedique cum Beck. & W. consentientibus E, Vost. Colleg. Nov. Mez. & vers. Bud.

παρ' ἡμῖν εἴη [1] θέρος τοῖς ὑπὸ τὸν θερινὸν τροπικὸν οἰκοῦσιν, τότε τοῖς ὑπὸ τὸν χειμερινὸν τροπικὸν ἀντοίκοις χειμὼν ἐστιν, ἐξ ὧν τὸ πλημμυροῦν ὕδωρ καταῤῥήγνυται.

## Περὶ ψυχῆς. β' [2].

Θαλῆς ἀπεφήνατο πρῶτος τὴν ψυχὴν, Φύσιν ἀεικίνητον [3], ἢ αὐτοκίνητον. Πυθαγόρας, ἀριθμὸν ἑαυτὸν κινοῦντα· τὸν δ' ἀριθμὸν ἀντὶ τοῦ νοῦ παραλαμβάνει. Πλάτων, οὐσίαν νοητὴν, ἐξ ἑαυτῆς κινητὴν [4], καθ' ἀριθμὸν ἐναρμόνιον κινουμένην. Ἀριστοτέλης, ἐντελέχειαν πρώτην σώματος Φυσικοῦ ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· τὴν δ' ἐντελέχειαν ἀκουστέον ἀντὶ τῆς ἐνεργείας [5]. Δικαίαρχος ἁρμονίαν τῶν τεσσάρων στοιχείων. Ἀσκληπιάδης, ὁ ἰατρὸς, συγγυμνασίαν τῶν αἰσθήσεων.

## Εἰ σῶμα ἡ ψυχὴ, καὶ τίς ἡ οὐσία αὐτῆς. γ' [6].

Οὗτοι πάντες οἱ προτεταγμένοι ἀσώματον τὴν ψυχὴν ὑποτίθενται, Φύσει [7] λέγοντες αὐτοκίνητον καὶ οὐσίαν νοητὴν, καὶ τοῦ Φυσικοῦ ὀργανικοῦ ζωὴν ἔχοντος



1 Petav. ἦ.

2 Stob. p. 93. In Gal. c. 9. p. 30. f. de anima agitur, sed copiosius ibi pleraque & aliter, nonnulla tamen leguntur, quae ap. Nostr. c. 2. 3. & 4. Hoc loco in Gal. post c. 1. statim sequitur c. 8. (p. 45.) sed c. 5. sqq. exhibentur inferius p. 49.

3 Stob. omittit Φύσιν, & habet ἀκίνητον. Mox post Πυθαγόρας Petav. addit δ'. Post παραλαμβάνει Stob. adjicit: ὁμοίως δὲ καὶ Ξενογένας, quod Cors. mutari jubet in Ξενοκράτης.

4 Mosq. κινητικήν

5 Stob. ἀντὶ τοῦ εἴδους καὶ τῆς ἐνεργείας; accuratius, W. judice.

6 Stob. p 93.

7 Corsin. mavult Φύσιν, cum breviter repetantur c. 2. dicta.

τος ἐντελέχειαν. οἱ δ' ἀπ' Ἀναξαγόρυ [1] ἀεροειδῆ ἔλεγόν τε καὶ σῶμα. οἱ Στωϊκοὶ, πνεῦμα θερμόν [2]. Δημόκριτος, πυρῶδες σύγκριμα ἐκ τῶν λόγῳ θεωρητῶν, σφαιρικὰς μὲν ἐχόντων τὰς ἰδέας, πυρίνην δὲ τὴν δύναμιν, ὅπερ σῶμα εἶναι. Ἐπίκυρος, κρᾶμα ἐκ τεσσάρων, ἐκ ποιῦ [3] πυρώδυς, ἐκ ποιῦ ἀερώδυς, ἐκ ποιῦ πνευματικῦ· ἐκ τετάρτυ τινὸς ἀκατονομάςυ, ὃ ἦν αὐτῷ αἰσθητικόν [4]. Ἡράκλειτος, τὴν μὲν τῦ κόσμυ ψυχὴν, ἀναθυμίασιν ἐκ τῶν ἐν αὐτῷ ὑγρῶν· τὴν δ' ἐν τοῖς ζώοις, ἀπὸ τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως, ὁμογενῆ.

## Περὶ μερῶν ψυχῆς. δ' [5].

Πυθαγόρας, Πλάτων, κατὰ μὲν τὸν ἀνωτάτω λόγον, διμερῆ τὴν ψυχήν· τὸ μὲν γὰρ ἔχει λογικὸν, τὸ δ' ἄλογον· κατὰ δὲ τὸ προσεχὲς καὶ ἀκριβὲς, τριμερῆ· τὸ γὰρ ἄλογον διαιρῦσιν εἴς τε τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν. οἱ Στωϊκοὶ, ἐξ ὀκτὼ μερῶν φασι συνεςάναι, πέντε μὲν τῶν αἰσθητικῶν [6], ὁρατικῦ, ἀκυςικῦ,

1 Anaxagorae Stob. Anaximenem, Archelaum & Diogenem Apolloniatem adjungit, sed tantum ἀεροειδῆ habet.

2 Stob. πν. νοερὸν, θερμόν; deinde ἐκ τῶν λόγων θεωρικῶν, male. Pro ἐκ Pet. καί.

3 Beck. e Mosq. inseruit γε. A Stob. male absunt ἐκ ποιῦ ἀερώδυς.

4 Stob. τῦτο δ' ἦν αὐτῇ αἰσθητικόν; & haec addit: ὧν τὸ μὲν πνεῦμα κίνησιν, τὸν δὲ ἀέρα ἠρεμίαν, τὸ δὲ θερμὸν τὴν φαινομένην θερμότητα τῦ σώματος, τὸ δὲ ἀκατονόμαςον τὴν ἐν ἡμῖν ἐμποιεῖ αἴσθησιν· ἐν ὐδενὶ γὰρ τῶν ὀνομαζομένων ςοιχείων αἴσθησιν. In eodem etiam aliae quaedam sententiae adjiciuntur, sed Heracliti decretum deest.

5 Stob p. 109. qui tamen in verbis aliquantum abit. Cf. Gal. c. 9. p. 31.

6 Ita dedi, praeeuntibus Beck. & W., e Mosq. Venet. Voss. Colleg. Nov. Vulgo αἰσθητῶν.

ϛικȣ̃, ὀσφρητικȣ̃, γευϛικȣ̃, ἁπτικȣ̃, ἕκτȣ δὲ φωνητικȣ̃, ἑβδόμȣ σπερματικȣ̃, ὀγδόȣ αὐτȣ̃ τȣ̃ ἡγεμονικȣ̃, ἀφ' ȣ̃ ταῦτα πάντα ἐπιτέτακται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τȣ̃ πολύποδος πλεκτάναις. Δημόκριτος, Ἐπίκȣρος, διμερῆ τὴν ψυχὴν, τὸ μὲν λογικὸν ἔχȣσαν ἐν τῷ θώρακι καθιδρυμένον, τὸ δ' ἄλογον καθ' ὅλην τὴν σύγκρισιν τȣ̃ σώματος διεσπαρμένον. ὁ δὲ Δημόκριτος πάντα μετέχειν φησὶ ψυχῆς ποιᾶς, καὶ τὰ νεκρὰ τῶν σωμάτων [1], διότι ἀεὶ διαφανῶς τινος θερμȣ̃ καὶ αἰσθητικȣ̃ μετέχει, τȣ̃ πλείονος διαπνεομένȣ.

## Τί τὸ τῆς ψυχῆς ἡγεμονικὸν, καὶ ἐν τίνι ἐϛίν. ε' [2].

Πλάτων, Δημόκριτος, ἐν ὅλῃ τῇ κεφαλῇ [3]. Στράτων, ἐν μεσοφρύῳ. Ἐρασίϛρατος, περὶ τὴν μήνιγγα τȣ̃ ἐγκεφάλȣ, ἣν ἐπικρανίδα λέγει. Ἡρόφιλος, ἐν τῇ τȣ̃ ἐγκεφάλȣ κοιλίᾳ [4], ἥτις ἐϛὶ καὶ βάσις. Παρμενίδης, ἐν ὅλῳ τῷ θώρακι, καὶ Ἐπίκȣρος. οἱ Στωϊκοὶ πάντες, ἐν ὅλῃ τῇ καρδίᾳ, ἢ τῷ περὶ καρδίαν [5] πνεύματι. Διογένης, ἐν τῇ ἀρτηριακῇ κοιλίᾳ τῆς καρδίας, ἥτις ἐϛὶ πνευματική. Ἐμπεδοκλῆς, ἐν τῇ τȣ̃ αἵματος συϛάσει. οἱ δὲ, ἐν τῷ τραχήλῳ τῆς καρδίας. οἱ δὲ, ἐν τῷ περὶ καρδίαν [6] ὑμένι· οἱ δὲ, ἐν τῷ διαφράγματι. τῶν νεωτέρων δέ τινες [7], διήκειν ἀπὸ κεφαλῆς

1 *τὰ νεκρὰ τῶν σωμάτων* Beck. explicari vult *corpora vita carentia*, non cadavera.

2 Gal. XXVIII. p. 49.

3 Gal. *Δημ. καὶ Πλ. τὸ ἡγεμονικὸν ἐν ὅ. τ. κ. καθίζουσι*; idem deinde *ἐν τῷ μεσοφρ.*

4 Gal. *ἐν ταῖς τȣ̃ ἐγκ. κοιλίαις*, omissis verbis *ἥτις — βάσις*. Turn. *Παρμ. καὶ Ἐπίκ. ἐ. ὅ. τ. θ.* Euseb. *θώρακι. Ἐπίκȣρος, οἱ Στωϊκοὶ πάντες*: quod Xyl. secutus est.

5 Gal. Mosq. *περὶ τὴν καρδίαν*.

6 Gal. *περὶ τὴν καρδίαν*; Mosq. *περικαρδίῳ*.

7 *τῶν* ante *νεωτ.* Pet. omittit; *τινες* abest a Mosq.

φαλῆς μέχρι τοῦ διαφράγματος. Πυθαγόρας, τὸ μὲν ζωτικὸν περὶ [1] τὴν καρδίαν, τὸ δὲ λογικὸν καὶ νοερὸν περὶ τὴν κεφαλήν.

## Περὶ κινήσεως ψυχῆς. ϛʹ [2].

Πλάτων, ἀεικίνητον [3] μὲν τὴν ψυχὴν, τὸν δὲ νοῦν ἀκίνητον τῆς μεταβατικῆς κινήσεως. Ἀριστοτέλης, ἀκίνητον τὴν ψυχὴν πάσης κινήσεως προηγουμένης [4], τῆς δὲ κατὰ συμβεβηκὸς μετέχειν, καθάπερ τὰ εἴδη τῶν σωμάτων [5].

## Περὶ ἀφθαρσίας ψυχῆς. ζʹ [6].

Πυθαγόρας, Πλάτων, ἄφθαρτον εἶναι τὴν ψυχὴν, ἐξιοῦσαν γὰρ εἰς τὴν [7] τοῦ παντὸς ψυχὴν ἀναχωρεῖν πρὸς τὸ ὁμογενές. οἱ Στωϊκοὶ, ἐξιοῦσαν τῶν σωμάτων [8] ὑποφέρεσθαι, τὴν μὲν ἀσθενεστέραν ἅμα τοῖς συγκρίμασι

1 Pet. pro περὶ dat ἐπὶ.

2 Gal. XXVIII. p. 49. Stob. p. 94.

3 Stob. male ἀκίνητον. Cum Beck. adjeci e Mosq. μέν. Post ἀκίνητον deinde R. subintelligi vult ὑπό. Beck. autem monet, ἀκίνητον simpliciter esse *expertem*, ἀμέτοχον.

4 Gal. καὶ πάσης κινήσεως προηγουμένην. Etiam Stob. & Mosq. προηγουμένην. Beck. docente κίνησις προηγουμένη est motus ex animo ipso, ejusque natura ortus. Eodem suadente, delevi comma, quod vulgo post ψυχὴν datur, cum Cors. & W.

5 Gal. καθάπερ σχήματα, καὶ τὰ πέρατα, καθάπερ τὰ περὶ τοῖς σώμασιν εἴδη. Stob. καθάπερ σχήματα, καὶ πέρατα, καθ᾽ ἅπαξ τὰ περὶ τοῖς σώμασιν εἴδη.

6 Gal. XXVIII. p. 49. addit in inscript. τῆς ante ψυχῆς.

7 Ita R. legendum monuit, dedique pro vulg. εἰς τὸ cum Beck. & W. consentientibus Venet. Colleg. Nov. Voss. Mosq. Mez. Xyl. Post ψυχὴν Gal. addit οἴονται.

8 Mosq. ἐκ τῶν σωμ. Pro ὑποφέρ. Gal. ὑποφθείρεσθαι, quod Cors. ita admitti posse putat, ut significet, sensim & certa qua-

κρίμασι γενέσθαι [1]. ταύτην δ' εἶναι τῶν ἀπαιδεύτων· τὴν δ' ἰσχυροτέραν, οἵα ἐστὶ περὶ τὰς σοφὰς, καὶ μέχρι τῆς ἐκπυρώσεως [2]. Δημόκριτος, Ἐπίκερος, φθαρτὴν [3], τῷ σώματι συνδιαφθειρομένην. Πυθαγόρας, Πλάτων, τὸ μὲν λογικὸν ἄφθαρτον, καὶ γὰρ τὴν ψυχὴν ἐ θεὸν, ἀλλ' ἔργον τῦ ἀϊδίε θεῦ ὑπάρχειν, τὸ δ' ἄλογον φθαρτόν [4].

## Περὶ αἰσθήσεων καὶ αἰσθητῶν. η [5].

Οἱ Στωϊκοὶ ὁρίζονται ἔτω τὴν αἴσθησιν· Αἴσθησίς ἐστιν ἀντίληψις αἰσθητᾶ δι' [6] αἰσθητηρίε, ἢ κατάληψις. πολλαχῶς δὲ λέγεται ἡ αἴσθησις· ἥ τε γὰρ ἕξις, καὶ η δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ φαντασία ἡ καταληπτικὴ [7] δι' αἰσθητηρίε γίνονται, καὶ αὐτὸ τὸ ὄγδοον ἡγεμονικὸν, ἀφ' ἐ συνίσαται [8]. πάλιν δ' αἰσθητήρια λέγεται

quadam lege corrumpi. Beck. praefert vulgatum, cum Stoici animam quidem olim interituram esse censuerint, sed post mortem tamen aliquamdiu subsistere atque *circumferri*. R. ὑποφέρ. explicat per ἀποίχεσθαι, & deinde legi vult ἐφ' ᾧ τὴν μὲν —.

1 Subesse vitium, W. monet. Mez. τοῖς συγκρίμασι mutat in τῷ σώματι. Salmas. excidisse quid suspicatur.

2 R. pro σοφὰς mavult φιλοσόφες, & post ἐκπυρ. addendum censet ἐπιδιαμένειν. Neutrum necessarium, Beck. judice. Post ἐκπυρ. subintell. ὑποφέρεσθαι vel γίνεσθαι.

3 Gal. φθαρτὴν εἶναι καὶ τ. σ. σ.

4 Gal. addit νομίζεσι. R. verba καὶ γὰρ — ὑπάρχειν post φθαρτὸν poni vult.

5 Gal. XXIV. p. 45. in inscript. habet αἰσθητᾶ pro αἰσθητῶν. Stob. p. 150. solam habet Platonis opinionem.

6 Haec duo vocabula αἰσθητᾶ δι' vulgo absunt. Ea adjeci cum Beck. ex Gal. in quo legitur: κατὰ τὲς Στωϊκὲς αἴσθησίς ἐστιν ἀντ. αἰσθ. δι' αἰσθ. ἢ κ. ἢ δὲ αἰσθ. πολλ. λέγεται. Probat correctionem Cors. Consentit W. simul ex Excerpt. Damasc. Stob. laudans δι' αἰσθητηρίε κατάληψιν.

7 R. susp. φαντασία, ἢ κατάληψιν, ἢ δι'. αἰσθ *phantasia, aut perceptio animi, quae per organum sensui serviens fit*. Beck. hoc vulgata melius censet.

8 Gal. ἀφ' ἐ ἡ αἰσθητικὴ βία συνίσαται.

γεται πνεύματα νοερὰ, ἀπὸ τȣ̃ ἡγεμονικȣ̃ ἐπὶ τὰ ὄργανα τεταμένα [1]. Ἐπίκȣρος· Τὸ μόριόν ἐςιν ἡ αἴσθησις, ἥτις ἐςὶν ἡ δύναμις· καὶ τὸ ἐπαίσθημα, ὅπερ [2] ἐςὶ τὸ ἐνέργημα· ὥςε διχῶς παρ' αὐτȣ̃ λέγεσθαι, αἴσθησιν μὲν τὴν δύναμιν, αἰσθητικὸν δὲ τὸ ἐνέργημα [3]. Πλάτων τὴν αἴσθησιν ἀποφαίνεται ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός· ἡ μὲν γὰρ δύναμις, ψυχῆς· τὸ δ' ὄργανον, σώματος· ἄμφω δὲ διὰ φαντασίαν [4] ἀντιληπτικὰ τῶν ἔξωθεν γίνεται. Λεύκιππος, Δημόκριτος, τὴν αἴσθησιν καὶ τὴν νόησιν γίνεσθαι, εἰδώλων ἔξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τȣ̃ προσπίπτοντος εἰδώλȣ.

Εἰ ἀληθεῖς αἱ αἰσθήσεις καὶ αἱ φαντασίαι. θ' [5].

Οἱ Στωϊκοὶ τὰς μὲν αἰσθήσεις ἀληθεῖς· τῶν δὲ φαντασιῶν τὰς μὲν ἀληθεῖς, τὰς δὲ ψευδεῖς. Ἐπίκȣρος,

1 Xyl. e Ms. legendum monuit vertitque τεταγμένα. Consentit in hac voce Mosq. Utrique paruit Beck. recipiendo in textum τεταγμένα. hoc sensu: spiritus a principali animae parte usque ad instrumenta sensus positi, i. e. pertinentes. In annot. tamen mavult reliquisse vulgatum, a R. pro optima & unice vera lectione judicatum & defensum, coll. c. 21. h. l. & Diog. Laërt. VII, 52.

2 Ita W. dedit ex Stob. Damasc. Exc. & correctione Mez. & Salmas. pro vulg ὅθεν. R. susp. τὸ κριτήριόν ἐςιν ἡ αἴσθησις, ἥτις ἐςὶ καὶ ἡ δύναμις, καὶ τὸ ἐπαίσθημα, ὅ ἐςι τὸ ἐνέργημα. Beck. ante verba τὸ μόριον, vel inter ea excidisse quaedam putat, & quaerit, num τὸ αἰσθητικὸν μόριον? Pro ὅθεν idem legendum censuit ὅ τι.

3 R. susp. λέγεσθαι αἴσθησιν, νῦν μὲν τὴν δύναμιν τὴν αἰσθητικὴν, νῦν δὲ τὸ ἐνέργημα. Beck. autem λέγεσθαι αἴσθησιν, αἰσθητικὴν μὲν τ. δ., αἰσθητικȣ̃ δ. τ. ἐ. vel αἰσθητὸν δ' τ. ἐ. In M. & P. verba ὥςε — τὸ ἐνέργ. absunt, in Mosq. tamen a manu recentiori adjecta

4 R. censet legendum φαντασίας aut φαντασιῶν. Prius est in Stob. At Beck. seriores scriptores minus diligentes in usu part. διὰ fuisse notat.

5 Gal. XXIV. p. 45. ubi inscribitur: εἰ ἀληθὴς ἡ αἴσθησις καὶ ἡ φαντασία.

